This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

### Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

### About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

Columbia University
in the City of New York

THE LIBRARIES

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google



# ΜΗΝΑΙΟΝ
## ΤΟΥ
# ΟΚΤΩΒΡΙΟΥ

ΠΕΡΙΕΧΟΝ
ΤΗΝ ΠΡΕΠΟΥΣΑΝ ΑΥΤῼ ΑΠΑΣΑΝ

## ΑΚΟΛΟΥΘΙΑΝ.

Μετὰ καὶ τῆς ἀναγκαιοτέρας προσθήκης

## ΤΟΥ ΤΥΠΙΚΟΥ.

Νεωστὶ μετατυπωθὲν, καὶ ἐπιμελῶς διορθωθέν.

ΕΝΕΤΙΗΣΙΝ.
Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.
1815




Digitized by Google




Digitized by Google

APR 3 1959

# ΜΗΝ ΟΚΤΩΒΡΙΟΣ

Ἔχων ἡμέρας, λα΄. Ἡ ἡμέρα ἔχει ὥρας, ια΄. καὶ ἡ νύξ, ὥρας, ιγ΄.

Εἰς τὴν α΄. Τοῦ Ἁγίου Ἀποστόλου Ἀνανίου, ἑνὸς τῶν Ἑβδομήκοντα. Καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ῥωμανοῦ τοῦ Μελῳδοῦ. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν π. ϛ΄. καὶ ψάλλομεν π. τοῦ Ἀποστόλου. Ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ τὴν ἀκτῖνα τὴν Θείαν δεδεγμένος, ὅτε γνώσει κρείττονι πεπληρωμένος σοι, ὁ πρώην ζόφῳ κρατούμενος, προσῆλθε Σαῦλος, τὴν θείαν κάθαρσιν ἐξαιτούμενος. τότε παμμακάριστε ὡς Ἱεράρχης σοφὸς, υἱοθετεῖς τῷ βαπτίσματι, τὸν μετὰ ταῦτα, τὴν Οἰκουμένην υἱοθετήσαντα. ὅθεν σὺν τούτῳ, μακαρίζομεν, σὲ τοῦ Χριστοῦ τὸν Ἀπόστολον, Ἀνανία θεόφρον, ἱκετεύοντα σωθῆναι ἡμᾶς.

Μεμυημένος τὰ Θεῖα παραδόξως, βροντῆς γεγονωτέρον μάκαρ ἐσάλπισας, λόγον Θεοῦ τὸν σωτήριον, καὶ τοὺς ὑπνοῦντας, ἐν τοῖς μνημείοις τῆς ματαιότητος, ἐξήγειρας νέκρωσιν, ἐναπορρίψαντας, τὴν τοῖς νεκροῖς συνοικίζουσαν, καὶ ἐν τῷ Ἅδῃ, τοὺς κεκτημένους ἐναποστρέφουσαν. οὓς ἀπειργάσω, τοῦ νεκρώσαντος, τὴν νεκρωτὴν σκεύη τίμια, Ἰησοῦ τοῦ Δεσπότου, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ὡς φωτοφόρος ὡς Θεῖος ὑποφήτης, ὡς Μάρτυς θεόκριτος τῶν παθημάτων Χριστοῦ. καὶ τῆς μελλούσης φανήσεσθαι, ἀρρήτου δόξης, συγκληρονόμος τε καὶ συμμέτοχος. σὺν ᾧ τῷ Δεσπόζοντι καὶ ἐνηδόμενος, ταῖς πηγαζούσαις ἑκάστοτε, φωτοχυσίαις, ἐκ τοῦ ἀδύτου φέγγους θεσπέσιε, τὴν φαιδροτάτην τοὺς τελοῦντάς σου, νῦν Ἑορτὴν ἱκεσίαις σου, ζοφερῶν ἐκ κινδύνων, Ἀνανία ἐλευθέρωσον.

Ἕτερα στιχηρὰ προσόμ. τοῦ Ὁσίου. Ἦχος α΄.

Πρός, Τῶν Οὐρανίων ταγμάτων.

Ὁ μουσουργέτης ἡ λύρα, τοῦ Θείου Πνεύματος, ἡ ἀηδὼν ὁ τέττιξ, ὁ τῶν θείων ᾀσμάτων, αὐλὸς τῆς Ἐκκλησίας, πᾶσιν ἡμῖν, τὰς αὐτοῦ παρατίθεται, μελῳδικὰς εὐωχίας, καὶ δι᾽ αὐτῶν, κατευφραίνει τοὺς θεόφρονας.

Ὁ φαεινότατος λύχνος, καὶ διειδέστατος, ἡ μελουργὸς κιθάρα, ἡ νεῦρα τῶν εὐσήμων, τοῦ Πνεύματος λογίων, ᾄδει τερπνῶς, ἐκδιδάσκων τὰ πέρατα, ἐν ἀσιγήτοις τοῖς ὕμνοις δοξολογεῖν, τῆς Θεότητος τὴν μίαν αὐγήν.

Σὺ τῷ Δεσπότῃ τῶν ὅλων, ὡς παρεστάμενος, καὶ παρρησίαν Πάτερ, πρὸς αὐ-



Digitized by Google

τὸν κεκτημένους, ἡμῶν τῶν ἐκτελούντων, μνήμην ποιοῦ, τὴν φαιδρὰν σου πανήγυριν, τοῦ λυτρωθῆναι κινδύνων καὶ πειρασμῶν, Ῥωμανὲ θεομακάριστε.

Δόξα. Ἦχος α΄. Βυζαντίου. Οἱ δὲ Ἀνατολίου.

Τὸ Σκεῦος τῆς ἐκλογῆς, τὸ μέγα δοχεῖον τοῦ Πνεύματος, Παῦλον τὸν Ἀπόστολον ἐφώτισας Ἀπόστολε. Θεόθεν κατ' ἀποκάλυψιν χρηματισθείς, ὡς αὐτόπτης τοῦ Λόγου, καὶ μύστης τῶν θαυμάτων αὐτοῦ. Ἀπόστολος δὲ πρὸ τῶν μαθητῶν καὶ πιστὸς οἰκονόμος, τῆς νέας Διαθήκης. διὸ αὐτὸν μιμούμενος, τὸν Διδάσκαλον Χριστόν, τὸ οἰκεῖον αἷμα ἐξέχεας, μαρτυρικῷ πάθει, ὁμολογητὴς γενόμενος Ἀνανία Ἱεράρχα Χριστοῦ. καὶ τὸν δρόμον τελέσας, τὴν πίστιν δὲ ἄσυλον τηρήσας, σὺν τοῖς ἄνω λειτουργοῖς, ἐν ὑψίστοις αὐλιζόμενος, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτ. Πανεύφημοι Μάρτυρες.

Ἐλέους ἡ ἄβυσσος ἐμέ, τὸν βυθὸν γενόμενον, ἀκαθαρσίας ἐλέησον, καὶ λῦσον πάντα μου, τῶν παθῶν τὸν ῥύπον, μετανοίας δάκρυα, καὶ θείᾳ κατανύξει λαμπρύνασα· δι' ἧς μοι δώρησαι, ταπεινὸν τῷ ὄντι φρόνημα, καὶ καρδίας, συντριβὴν σωτήριον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἴδιον ἄρνα ἡ ἀμνάς, καὶ ἄμωμος Δέσποινα, ἐν τῷ σταυρῷ ὡς ἑώρακεν, εἶδος οὐκ ἔχοντα, οὐδὲ κάλλος οἴμοι, θρηνῳδοῦσα ἔλεγε· ποῦ σου τὸ κάλλος ἔδυ γλυκύτατε; ποῦ ἡ εὐπρέπεια; ποῦ ἡ χάρις ἡ ἀστράπτουσα, τῆς μορφῆς σου; Υἱέ μου παμφίλτατε.

Εἰς τὸν Στ. Στ. τῆς Ὀκτωήχου, λέγομεν δὲ καὶ τὸ παρὸν ἰδιόμελ. τοῦ Ἀποστόλου, μετὰ στ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. Ἦχος δ΄.

Ἐθελοφορικὸν ἐνδιαίτημα ἀπεφάνθης Ἀνανία Ἀπόστολε, τοῖς λίθοις ὡς ἄνθεσι πυκαζόμενος, ὑπὲρ τοῦ παθόντος σαρκὶ δι' ἡμᾶς, ἑκουσίως τὸ αἷμά σου ἐξέχεας. ὅθεν ἡ Δαμασκὸς ἐναβρύνεται, τῇ ἱερᾷ πανηγύρει σου σήμερον. οὐ μόνον δὲ ἐκείνη, ἀλλὰ καὶ πᾶσα ἡ ὑφήλιος, τῶν θαυμάτων σου τὰ τέρατα σαφῶς ἀνακηρύττουσα βοᾷ. πρέσβευε πρὸς Θεόν, τοῦ δωρήσασθαι ἡμῖν, τῶν πταισμάτων τὴν συγχώρησιν.

Δόξα. Ἦχος Πλ. β΄.

Πρώτη καλῶν ἀπαρχή, ὤφθης σωτηρίας ἀφορμή, Ῥωμανὲ Πατὴρ ἡμῶν. Ἀγγελικὴν γὰρ ὑμνῳδίαν συστησάμενος, θεοπρεπῶς ἐπεδείξω τὴν πολιτείαν σου. Χριστὸν τὸν Θεὸν ἱκέτευε, πειρασμῶν καὶ κινδύνων λυτρωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

Καὶ νῦν. Θεοτ. Τριήμερος ἀνέστης Χριστέ.

Ἀντίληψις καὶ σκέπη μου, ὑπάρχεις πανάμωμε, Θεοτόκε. σὲ γὰρ ἔχω βοηθόν, ἐν θλίψεσι καὶ νόσοις, καὶ ταῖς στενοχωρίαις, καὶ σὲ δοξάζω τὴν ἀμώμητον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ πάναγνος ὡς εἶδέ σε, ἐπὶ σταυροῦ κρεμάμενον, θρηνῳδοῦσα, ἀνεβόα μητρικῶς, Υἱέ μου καὶ Θεέ μου, γλυκύτατόν μου τέκνον, πῶς φέρεις πάθος ἐπονείδιστον;

Ἀπολυτίκιον. Ἦχος γ΄.

Ἀπόστολε Ἅγιε. καὶ τοῦ Ὁσίου. Ἦχος πλ. δ΄.

Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. Κανὼν τῆς Ὀκτωήχου εἷς, καὶ τῶν Ἁγίων δύο. ὁ Κανὼν τοῦ Ἀποστόλου. Οὗ ἡ ἀκροστ.

Ἄνευ τῶν Θεοτοκίων.

Ἀνανίαν με τὸ κλέος δοξαζέτω.

Ὠδὴ α΄. Ἦχος Πλ. δ΄. Ἰωάννου Μοναχοῦ.

Ὑγρὰν διοδεύσας.

Ἀνοίξωμεν στόμα εὐφημικόν, τρανώσωμεν γλῶτταν, ἐν τῇ μνήμῃ πάντες πιστοί, τοῦ Ἀρχιποιμένος Ἀνανίου, καὶ σὺν αὐτῷ τῷ Θεῷ ἡμῶν ᾄσωμεν.

Νυμφίῳ Ἀχράντῳ νυμφαγωγεῖ, τὴν ἄσπιλον νύμφην, Ἀνανίας ὁ εὐκλεής. Χριστοῦ τὴν ἐνταῦθα Ἐκκλησίαν, μεθ' ἧς φαιδρῶς τῷ Θεῷ ἡμῶν ᾄσωμεν.

Ἀρχαῖος γενόμενος μαθητής, τῷ νέῳ βραβεύεις, τὴν ἀνάβλεψιν φοιτητῇ, τῷ πάλαι διώκτῃ Ἀνανία, καὶ μελῳδεῖς τῷ Θεῷ ἡμῶν ᾄσωμεν.

Θεοτοκίον.

Τάξεις σε Ἀγγέλων καὶ τῶν βροτῶν, ἀνύμφευτε Μῆτερ, εὐφημοῦσιν ἀνελλιπῶς.

Digitized by Google

πῶς· τὸν Κτίστην γὰρ τούτων ὥσπερ βρέφος, ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

Ἕτερος Κανὼν τοῦ Ὁσίου.

Ὠδὴ ά. Ἦχος Πλ. β΄. Ὡς ἐν ἠπείρῳ.

Φωτολαμπεῖς λαμπηδόνας ἐξ Οὐρανοῦ, ἡμῖν ἐξαπόστειλον, ταῖς πρεσβείαις σου σοφὲ, Ῥωμανὲ θεσπέσιε τὴν σὴν, εὐφημῆσαι ἱερὰν, μνήμην ἐν ᾄσμασιν.

Ὑπὸ νεότητος ὅλον σὺ τῷ Χριστῷ, σαυτὸν παραθέμενος, ἠκολούθησας αὐτῷ, φεγγοβόλοις λάμψεσι τὸν νοῦν, οὐρανόθεν Ῥωμανὲ καταστραπτόμενος.

Ὡραϊσμένος τῷ κάλλει τοῦ παντουργοῦ, καὶ Ἁγίου Πνεύματος, ὡς ἀστὴρ φωτολαμπής. ἀρετῶν φαιδρότητι σοφὲ, ἀνεδείχθης Ῥωμανὲ Κόσμου τοῖς πέρασιν.

Θεοτοκίον.

Ἐκ σοῦ προῆλθεν ἀφράστως ὁ τοῦ Θεοῦ, Λόγος ὁ συνάναρχος ἐπ᾽ ἐσχάτων τῶν καιρῶν. καὶ τὸν πρῶτον ἄνθρωπον Ἀδὰμ, πεπτωκότα Θεοτόκε ἀνεσώσατο.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Νάμασιν ἑπόμενος, τοῦ διδασκάλου σοῦ γέγονας, Ἀρχιερεῦ, ἀθλοφορικόν τε, ἱερεῖον Ἀπόστολε.

Τέλεον ἐν τάξεσι, θεοπειθέσι σὺ εἴργασαι, τὸν λυτρωτὴν, τοῖς σὲ ἀνυμνοῦσιν, Ἀνανία Ἀπόστολε.

Ὅλην σοι ἐπέδησε, τὴν τοῦ θηρὸς ὁρμὴν Κύριος, ἐπιφανεὶς, ἐν φωτὶ ἀῤῥήτῳ, ἀμαυρώσας τὸ πρόσωπον. Θεοτ.

Σὲ πάντες κεκτήμεθα, καταφυγὴν καὶ τεῖχος ἡμῶν, Χριστιανοί. σὲ δοξολογοῦμεν, ἀσιγήτως ἀνύμφευτε.

Ἄλλος. Οὐκ ἔστιν Ἅγιος.

Ὄντως σου γέγονε σοφὲ, σκήνωμα τῆς Τριάδος, Ῥωμανὲ τῆς Ἁγίας, πεπλησμένος εὐσεβῶς, τὴν γνῶσιν τὴν ἀληθῆ, καὶ προχέων, ἔνθεα διδάγματα.

Ῥαμάτων ἔβλυσε πηγὰς, ἡ τιμία σου γλῶσσα, κελαδοῦσα τὰ θεῖα, καὶ τρανοῦσα ἐμφανῶς, τὴν τοῦ Χριστοῦ πρὸς ἡμᾶς, ἐκ Παρθένου, γέννησιν τὴν ἄφραστον.

Ἰδοὺ ἐκτρέφεις δαψιλῶς, ταῖς σοφαῖς ὁμιλίαις, καὶ τερπναῖς μελῳδίαις, τὰς διανοίας ἡμῶν, καὶ ἐμπιπλᾷς γλυκασμοῦ, θειοτάτου, Ῥωμανὲ θεσπέσιε.

Θεοτοκίον.

Πασῶν ὑπάρχεις στρατιῶν, ἀνωτέρα Παρθένε. τὸν ἐκείνων γὰρ Κτίστην, τὸν Υἱὸν τὸν τοῦ Θεοῦ, συνέλαβες ἐν γαστρὶ, καὶ τεκοῦσα, μένεις Ἀειπάρθενος.

Ὁ Εἱρμός.

„Οὐκ ἔστιν Ἅγιος ὡς σὺ, Κύριε ὁ Θεός „μου. ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν „σου ἀγαθὲ, καὶ στερεώσας ἡμᾶς, ἐν τῇ πέ„τρᾳ, τῆς ὁμολογίας σου.

Κάθ. Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Τοῖς πάθεσι Χριστοῦ, κοινωνὸς ἀνεδείχθης, Ἀπόστολε σοφὲ, καὶ αὐτόπτα τοῦ Λόγου. πιὼν γὰρ τὸ ποτήριον, ἐτελέσθης δι᾽ αἵματος. ἀλλ᾽ ὡς σύνθρονος, καὶ κληρονόμος ὑπάρχων, ἐκδυσώπησον, ὑπὲρ εἰρήνης τοῦ Κόσμου, αὐτὸν ὡς φιλάνθρωπον.

Δόξα. Ἦχος Πλ. ά.

Τὸν συνάναρχον.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, δογματίσας τῷ Κόσμῳ ὡς ὁμοούσιον, τοὺς πιστοὺς ὡς ἀληθῶς κατεφώτισας. καὶ αἱρέσεων δεινὰς, ἐρεσχελίας καθελὼν, παρίστασαι τῷ Κυρίῳ, ὑπὲρ ἡμῶν ἱκετεύων, τῶν σὲ ὑμνούντων Ῥωμανὲ θαυμάσιε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὸν ἐκ σοῦ σαρκωθέντα Θεὸν καὶ Κύριον, δι᾽ ἡμᾶς τοὺς φθαρέντας τοῖς ἁμαρτήμασι. τοῦτον ἱκέτευε θερμῶς, τοῦ οἰκτειρῆσαι ἡμᾶς, καὶ ἀποστρέψαι τὸν θυμὸν, καὶ τὴν ὀργὴν αὐτοῦ Σεμνή, ἀπὸ τῶν πιστῶν τιμώντων, καὶ εὐφημούντων ἀπαύστως, τὴν δυναστείαν καὶ τὸ κράτος σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν Σταυρῷ σε ὁρῶσα Χριστὲ ἡ Μήτηρ σου, ἑκουσίως ἐν μέσῳ λῃστῶν κρεμάμενον, κοπτομένη μητρικῶς, τὰ σπλάγχνα ἔλεγεν· ἀναμάρτητε Υἱὲ, πῶς ἀδίκως ἐν Σταυρῷ, ὥσπερ κακοῦργος ἐπάγης; γένος τὸ τῶν ἀνθρώπων, ζωῶσαι θέλων ὡς ὑπεράγαθος.



Digitized by Google

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ὑπὸ σοῦ παιδευόμενος, ἀθλοφορικῶς προσπτύεται τὸν θάνατον, Ἀνανίας ὁ ἀοίδιμος, διὰ σοῦ βραβεῖα κομιζόμενος.

Μαθητὴς ἐχρημάτισας, τοῦ διωκομένου Λόγου ἀοίδιμε, Ἀνανία καὶ Διδάσκαλος, τῆς θεοσεβείας τῷ διώκοντι.

Ἐνεφάνισε Κύριος, Σαύλῳ ἀομμάτῳ σὲ τὸν κρυπτόμενον, καὶ ὑπέδειξε μεσίτην σε, Ἀνανία τούτῳ τῆς ἰάσεως. Θτ.

Τὸν Θεὸν ὃν ἐκύησας, ἄχραντε Παρθένε, τοῦτον ἱκέτευε, ἀπὸ πάσης πειράσεως, λυτρωθῆναι πάντας τοὺς ὑμνοῦντάς σε.

Ἄλλος. Χριστός μου δύναμις.

Δοχεῖον γέγονας, τοῦ Θείου Πνεύματος. καὶ πυρίπνοον στόμα ἀναφωνοῦν, θεῖα μελῳδήματα· καὶ καταθέλγον τὰς ψυχάς, Ῥωμανὲ τῶν ἀνυμνούντων σε.

Ὡς λύρα πέφηνας, σὺ ἐπουράνιος, καὶ κιθάρα ἡ πᾶσαν πρὸς ἑαυτήν, ἑλκύσασα διάνοιαν, τοῖς διηγήμασι τοῖς σοῖς, καὶ τερπνοῖς σου μελῳδήμασιν.

Ἡ χάρις ἔπνευσε, καὶ κατεσκήνωσε, τῇ ἁγίᾳ ψυχῇ σου, τοῦ παντουργοῦ, Πνεύματος πανεύφημε. καὶ σὲ δοχεῖον καὶ σοφόν, θεηγόρον ἀπειργάσατο.

Τὸν ἐξέχεε, ταῖς τῆς προμήτορος, ἀκοαῖς μὲν ὁ ὄφις. ἀλλ᾿ ἡ Ἁγνή, τοῦτον ἐξετίναξε, τοῦ Ἀρχαγγέλου τῇ φωνῇ, συλλαβοῦσα καὶ τεκοῦσα Χριστόν.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Τοῖς ἐν σάλῳ λιμένα, θεῖον ἡ ἀέναος πηγή σε ἔδοξε, τοῖς ἐν ζόφῳ φέγγος, τὸ ἀπρόσιτον φῶς ἀπειργάσατο, Ἀνανία μάκαρ, ὡς φοιτητῇ ἀξιοθέῳ, ἀμέμπτως ἐν σοὶ ἀναπαυσάμενον.

Ὁ ὁρῶν κεκρυμμένα, καὶ πρὸ τῆς γενέσεως εἰδὼς τὰ σύμπαντα, σοὶ τῷ κεκρυμμένῳ, τὸν λανθάνοντα Ἥλιον ἔδειξε, τὸν ποτὲ διώκτην, μετ᾿ οὐ πολὺ τῆς πορθουμένης, ὑπ᾿ αὐτοῦ ἀληθείας Ἀπόστολον.

Καταλήψεως πέρας, ἡ ἀνεξιχνίαστος οἰκονομία σου. δι᾿ αὐτῆς γὰρ Σῶτερ, ὀφειλετὸς ἐξουδένωται θάνατος. Ἀνανίας ὅθεν, ὡς νικητὴς καὶ Ἱεράρχης, ὑπὲρ σοῦ γενναίως σφαγιάζεται. Θεοτοκίον.

Ὡς Θεὸν συλλαβοῦσα, τὸν Δημιουργὸν τῶν ἁπάντων καὶ Κύριον, γενεαί σε πᾶσαι, τῶν ἀνθρώπων Ἁγνὴ μακαρίζουσι. καὶ τῶν Ἀσωμάτων αἱ νοεραὶ ταξιαρχίαι, ὡς Μητέρα Θεοῦ σε δοξάζουσι.

Ἄλλος. Τῷ θείῳ φέγγει σου.

Ὡς εὐπρεπέστατον ἱερόν, σκεῦος ὡς ἁγνότατον ἀῤῥών, τοῦ Παρακλήτου ἡ χάρις σε, Ῥωμανὲ θεόφρον, ναὸν εἰργάσατο, φωτὶ λελαμπρυσμένον, καὶ κατεσκήνωσε.

Σεσαρκωμένον ἡ τὸν Υἱόν, τοῦ Θεοῦ τεκοῦσα ἀληθῶς, σοῦ τὴν ψυχὴν κατεφώτισε, καὶ τὸν νοῦν ἐνθέου γνώσεως ἔπλησε, νυκτός σοι ἐπιστᾶσα ἡ Ἀειπάρθενος.

Ταῖς συγγραφαῖς σου τῶν ἱερῶν, λόγων πανοίδιμε ὀφθεὶς, τοῖς πᾶσιν ὄντως ἡδύτατος. πάντας κατευφραίνεις, πάντων φωτίζων τὸν νοῦν, καὶ πάντας ἐκδιδάσκων γνῶσιν σωτήριον. Θεοτοκίον.

Φῶς ἡ τεκοῦσα τὸν τοῦ Πατρὸς, Λόγον τὸν ἀΐδιον Ἁγνή, φωτιστικαῖς ταῖς πρεσβείαις σου, φώτισον τὸν νοῦν, καὶ ἀποδίωξον τὸ σκότος τῆς ψυχῆς μου, πάναγνε Δέσποινα.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Πατρῴοις ζῶντι Θεῷ, μεμαθηκὼς ἱερώτατε, καὶ λύσας πολυσχεδῆ, ἀφρόνων κακόνοιαν, τὴν μίαν ἐδίδαξας, Ἀνανία σέβειν, τρισυπόστατον Θεότητα.

Ἐδέξω ἐν ταῖς χερσὶ, τῆς Ἐκκλησίας τοὺς οἴακας, τῷ κυβερνήτῃ Χριστῷ, φοιτήσας Ἀπόστολε. καὶ ταύτην τῷ Πνεύματι, ὡς ὁλκάδα θείαν, Ἀνανία ἐκυβέρνησας.

Ὁ πλαστουργήσας εὐθὺς, ὁδὸν εὐθύπορον στέλλεσθαι, τῷ κλεινῷ σου μαθητῇ, προσέταξας Δέσποτα, τῆς δικαιοτάτης σου, ἐκλογῆς τὸ σκεῦος, ἐκκαλύπτων προσδεχόμενον. Θεοτοκίον.

Ὡς ἔμψυχος κιβωτὸς, τὸν νομοδότην ἐχώρησας. ὡς Ἅγιος δὲ Ναὸς ἐδέξω τὸν ἅγιον, ἄνθρωπον γενόμενον, ἐπ᾿

ἀερ-

Digitized by Google

εὐεργεσίᾳ, τῶν ἀνθρώπων Μητροπάρθενε.
Ἄλλος. Τοῦ βίου τὴν θάλασσαν.
Φωτισμοῦ πληρούμενος, καὶ πρὸς ὕψος ἀρετῶν, ἐνθέων ἀναγόμενος, κατεφρόνησας πάντων τῶν ἐπὶ γῆς. καὶ στύλος οὐράνιος, καὶ φωστὴρ εὐσεβείας ἐχρημάτισας.
Σαρκὸς κατεμάρανας, τὰς ὀρέξεις καὶ ψυχὴν, τὴν σεαυτοῦ ἐκόσμησας, λαμπροτάταις ἁγνείας μαρμαρυγαῖς, καὶ κάλλος ἐράσμιον, ἀρετῶν εὐμορφίᾳ περιέθηκας.
Μισήσας τὴν πρόσκαιρον, καὶ ματαίαν καὶ σαθρὰν, καὶ ῥέουσαν ἀπόλαυσιν, τῷ Ναῷ τῆς Πανάγνου προσκαρτερῶν, τὸν νοῦν καθηγίασας, καὶ ψυχὴν καὶ τὸ σῶμα ἀξίαγαστε. Θεοτοκίον.
Ἃ πάντες προβλέποντες, οἱ Προφῆται τηλαυγῶς, τὴν ἐσομένην ὕστερον, ἐκ Παρθένου Χριστέ σου ἐπὶ τῆς γῆς, παράδοξον γέννησιν, ἐμφανῶς οἱ θεόπται προηγόρευσαν. Ὁ Εἱρμός.
„Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην
„καθορῶν, τῶν πειρασμῶν τῷ κλύ-
„δωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμὼν,
„βοῶ σοι· ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωὴν
„μου πολυέλεε.
Κοντάκ. Ἦχος β'. Τὴν ἐν πρεσβείαις.
Ὁ ἐν πρεσβείαις θερμότατος ἀντιλήπτωρ, καὶ τοῖς αἰτοῦσι ταχύτατα εἰσακούων, δέξαι τὴν δέησιν Ἀνανία ἡμῶν. καὶ τῷ Χριστῷ δυσώπει τοῦ ἐλεῆσαι ἡμᾶς, ὁ μόνος ἐν ἁγίοις δοξαζόμενος. Ὁ Οἶκος.
Τῷ φωτισμῷ τῆς ἐλλάμψεώς σου, ἐκκαθάρας Σωτήρ μου τὴν ἀχλὺν, τῆς ἐμῆς καρδίας τε καὶ τὴν πώρωσιν, δίδου μοι λόγον ἀνυμνῆσαι, καθαρῷ συνειδότι τοῦ Ἀποστόλου τὰς θεαυγεῖς ἀρετὰς, καὶ τοὺς ἄθλους τοῦ Μάκαρος. πηγὴ γὰρ σὺ εἶ σοφίας καὶ δοτὴρ ἀγαθὸς πολυεύσπλαγχνε. διὸ πτερώσας τὴν γλῶτταν μου, τὸν ἐφύμνιον ὕμνον μου πρόσδεξαι. Ὁ μόνος ἐν ἁγίοις δοξαζόμενος.
Μὴν Ὀκτώβριος, ἔχων ἡμέρας λά. ἡ ἡμέρα ἔχει ὥρας ιά. καὶ ἡ νὺξ ὥρας ιγ'.
Εἰς τὴν α'. Τοῦ Ἁγίου Ἀποστόλου Ἀνανίου.

Στίχ. Λίθοις νέμειν θέλοντα μηδαμῶς σέβας.
Ἀνανίαν βάλλουσι, δυσσεβεῖς λίθοις.
Λάθη Ἀνανίας Ὀκτωβρίου ἤματι πρώτῳ.
Οὗτος ὁ Ἅγιος Ἀνανίας ὁ Ἀπόστολος ὑπῆρχεν ἐκ πόλεως Δαμασκοῦ, ὃς καὶ Παῦλον ἐβάπτισε δι᾽ ἀποκαλύψεως, γενόμενος Ἐπίσκοπος ἐν τῇ αὐτῇ πόλει. τελῶν οὖν πολλὰς ἰάσεις ἐν Δαμασκῷ, καὶ ἐν Ἐλευθερουπόλει, καὶ πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐπιστρώμενος πίστιν, ὑπὸ Λουκιανοῦ Ἡγεμόνος τύπτεται βουνεύροις, καὶ τὰς πλευρὰς ξέεται, καὶ λαμπᾶσι καταφλέγεται, καὶ ἐξωθεὶς τῆς Πόλεως, λιθοβολεῖται, καὶ οὕτω πληροῖ τὸ μαρτύριον, καὶ πρὸς τὰς αἰωνίους σκηνὰς ἀπαίρει.
Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Μιχαὴλ ἐκ τῆς Μονῆς Ζώβης, καὶ τῶν σὺν αὐτῷ λς'. Ἁγίων Μοναχῶν, τῶν μαρτυρησάντων ἐν τῇ ἐνορίᾳ Σεβαστουπόλεως.
Στ. Τμηθεὶς Μιχαὴλ σὺν Μαθηταῖς τρισδέκα.
Χορῷ συνήφθη τῶν Μοναστομαρτύρων.
Οὗτοι οἱ Ἅγιοι ὑπῆρχον ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης, καθεζόμενοι ἐν Μοναστηρίῳ λεγομένῳ Ζώβη, πλησίον Σεβαστουπόλεως. ἐκστρατεύσας δὲ Ἀλεὶμ ὁ Ἀμηρᾶς τῶν Ἀγαρηνῶν κατὰ τῆς χώρας ἐκείνης, ἐκράτησε τοὺς Ἁγίους. οἱ δὲ Ὅσιοι Πατέρες ἀντέστησαν αὐτῷ, κραταιούμενοι τῇ δυνάμει τοῦ Χριστοῦ, καὶ στὰς ἐν μέσῳ Μιχαὴλ ὁ ὁσιώτατος Ἡγούμενος, καὶ κατηχήσας, ὡδήγησε πάντας πρὸς τὸν ὑπὲρ Χριστοῦ θάνατον. καὶ πρῶτοι τοὺς αὐχένας κλίναντες, ἀπετμήθησαν, εἶθ᾽ οὕτως ὁ πανόσιος Μιχαήλ.
Οἱ Ἅγιοι ἓξ Ὁσιομάρτυρες, ξίφει τελειοῦνται.
Στ. Ἓξ συμμονασταὶ τοὺς ἑαυτῶν μανδύας,
Ἄθλοις ἐρυθραίνουσι τοῖς διὰ ξίφους.
Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ῥωμανοῦ τοῦ Ποιητοῦ τῶν Κοντακίων.
Στίχ. Καὶ πρὶν μὲν ὕμνει Ῥωμανὸς Θεὸν Λόγον,


Digitized by Google

Ὑμνεῖ δὲ καὶ νῦν, ἀλλὰ καὶ σὺν Ἀγγέλοις.

Οὗτος ὁ ἐν Ἁγίοις Ῥωμανὸς ὑπῆρχεν ἀπὸ Συρίας ἐκ τῆς Ἐμεσηνῶν Πόλεως, Διάκονος γενόμενος τῆς ἐν Βηρυτῷ Ἁγίας Ἐκκλησίας. Καταλαβὼν δὲ τὴν Κωνσταντινούπολιν, ἐν τοῖς χρόνοις Ἀναστασίου τοῦ Βασιλέως, κατέμενεν ἐν τῷ Ναῷ τῆς Ὑπεραγίας Θεοτόκου, ἐν τοῖς Κύρου, ἐν εὐλαβείᾳ διάγων, καὶ διανυκτερεύων ἐν τῇ παννυχίδι τῶν Βλαχερνῶν. Ἐπετέλει οὖν ἐκεῖσε τὴν παννυχίδα, καὶ πάλιν ὑπέστρεφεν ἐν τοῖς Κύρου, ἔνθα καὶ τὸ χάρισμα τῆς συντάξεως τῶν Κοντακίων ἔλαβεν, ἐπιφανείσης αὐτῷ τῆς Ὑπεραγίας Θεοτόκου κατ' ὄναρ, καὶ τόμον χάρτου ἐπιδούσης, καὶ κελευσάσης αὐτὸν καταφαγεῖν. ἔδοξεν οὖν ἀνοῖξαι τὸ στόμα, καὶ καταπιεῖν τὸν χάρτην. ἦν δὲ ἡ Ἑορτὴ τῶν Χριστοῦ γεννῶν. καὶ εὐθέως ἔξυπνος γενόμενος, ἀναβὰς ἐν τῷ ἄμβωνι, ἤρξατο ψάλλειν· Ἡ Παρθένος σήμερον τὸν ὑπερούσιον τίκτει. καὶ ποιήσας καὶ τῶν λοιπῶν Ἑορτῶν τὰ Κοντάκια, ἀλλὰ δὴ καὶ τῶν ἐπισήμων Ἁγίων, ὡς εἶναι τὸ πλῆθος τῶν ὑπ' αὐτοῦ γενομένων Κοντακίων ὑπὲρ τὰ χίλια, ἐν εἰρήνῃ ἐτελειώθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Δομνίνου.

Στίχ. Δεινὴν Δομνῖνος συντριβὴν σκελῶν φέρει.

Ὑποσκελισμὸς τοῦ Σατὰν κατασχύνων.

Οὗτος ὑπῆρχεν ἀπὸ Θεσσαλονίκης. τοῦ δὲ Μαξιμιανοῦ Βασίλεια κτίζοντος ἐν Θεσσαλονίκῃ, ὡς Χριστιανὸς ἐκρατήθη, καὶ τῷ βήματι παρέστη αὐτοῦ. ὁ δὲ μετ' ὀργῆς εἶπε πρὸς αὐτόν· διὰ τί ἐμοῦ προκαθημένου τῇ Πόλει, τολμᾷς Θεὸν ἕτερον ὁμολογεῖν; ἀλλὰ θῦσον τοῖς θεοῖς, εἰ βούλει ζῆν. τοῦ δὲ μὴ πειθομένου, ἐκέλευσε καταξαίνεσθαι τούτου τὸ σῶμα. ὡς δὲ ἑώρα ἑαυτὸν ὑπὸ τοῦ Ἁγίου καταμωκώμενόν τε καὶ γελώμενον, ἐκέλευσε πρὸς τῆς Πόλεως ἀπενεχθέντα, συντριβῆναι τὰ σκέλη. καὶ τοὺς πόδας ἀποκοπεὶς ὁ Ἅγιος Μάρτυς, ἑπτὰ ἡμέρας διεκαρτέρει ζῶν, μὴ μεταλαβὼν τροφῆς, καὶ τῷ Θεῷ οὕτως εὐχαριστῶν, παρέδωκεν αὐτῷ τὴν μακαρίαν αὐτοῦ ψυχήν.

Ταῖς αὐτῶν πρεσβείαις Χριστὲ ὁ Θεός.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Σαλπιζέτω ἐμφρόνως, ἡ θεόλεκτος ποίμνη εὐήχῳ σάλπιγγι, τοὺς ἄθλους τοῦ Ποιμένος, Ἀνανίου βοῶσα, αὐτῆς Ποιμενάρχῃ Χριστῷ· ὁ τῶν Πατέρων ἡμῶν.

Δοξαζέτω Θεοῦ σε, μαθητὴν Ἀνανία, καὶ Ἱεράρχην σεπτόν, καὶ Μάρτυρα τῶν θείων, παθημάτων φωνοῦσα, ἡ σεπτὴ Ἐκκλησία Χριστῷ· ὁ τῶν Πατέρων ἡμῶν.

Οὐ θανάτου τῷ δέει, ἀλλὰ πόθῳ τῆς ποίμνης, ἀποκρυπτόμενος, τὸν λύκον ὥσπερ ἄρνα, ὁρῶν τιθασευθέντα, Ἀνανίας ἐκραύγαζεν· ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Παρθενικῆς ἐκ νηδύος, σαρκωθεὶς ἐπεφάνης εἰς σωτηρίαν ἡμῶν. διό σου τὴν Μητέρα, εἰδότες Θεοτόκον, εὐχαρίστως κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Οἱ παῖδες ἐν Βαβυλῶνι.

Τὴν Θεοτόκον Μαρίαν, θεόφρον ἔχεις διδάσκαλον, συνετίζουσάν σε, καὶ μυοῦσαν καὶ ψάλλειν προτρέπουσαν· εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῶν σῶν ῥημάτων ὁ φθόγγος, τὴν Οἰκουμένην ἐπλήρωσε, καὶ τερπνῶς μελῳδεῖν τοὺς ἀνθρώπους, Χριστῷ παρεσκεύασεν. εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἐξέλαμψας ἐν τῷ Κόσμῳ, ὡς φαεινότατος Ἥλιος, Ῥωμανὲ καὶ πυρσὸς καταυγάζων, τοὺς ἐν πίστει κραυγάζοντας· εὐλογητὸς εἶ Κύριε ὁ Θεός. Θτ.

Νῦν μακαρίζουσι πᾶσαι, αἱ γενεαὶ τῶν ἀνθρώπων σε, Θεοτόκε Ἁγνὴ ὡς προέφης, καὶ πίστει δοξάζουσιν. εὐλογημένος πανάγνε, ὁ καρπὸς τῆς κοιλίας σου.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ζηλώσας ἔδειξας πανάλκιμον, Ἀνανίας ὁ ἔνδοξος, τῆς ἁρπακτικῆς, τοῦ πορθητοῦ τῆς ποίμνης σου, δυνάμεως Δέσποτα, τὴν ὑπὲρ

περ λόγου ἄμειψιν, πρὸς ποιμαντικὴν. ὅθεν σκιρτῶν ἀνεβόα· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε.

Ἀγαλλιάσθω σήμερον, καὶ σκιρτάτω τῷ πνεύματι, ἡ πανεύκλεης, καὶ μακαρία Πόλις σου, τὴν σὴν ἀμοιβήσασα, ἐπιστασίαν εὔδοξε, καὶ εὐχαριστοῦσα τῷ Σωτῆρι βοάτω· οἱ Παῖδες εὐλογεῖτε.

Ζωοποιῷ προστάγματι Ἀμανία ὑπέρτιμε, τὴν Φωτοποιὸν, τοῦ ὁραθέντος δύναμιν, τῷ Σκύλῳ ἐκήρυξας, καὶ ἀπεκρύσω πήρωσιν, τὰς ἀλεξικάκους, ἐπιθεὶς σου παλάμας, βολίδας βρακοντίους, ἐκβαλὼν ὡς λεπίδας, βοῶν· ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Ἡ ἐν ἀνάγκαις σῴζουσα, καὶ θερμῶς προστατεύουσα, πάντας τοὺς ἐν θλίψει, Παναγία Δέσποινα, σπλαγχνίσθητι σῶσόν με, καὶ πεπτωκότα ἔγειρον. χεῖρα βοηθείας, πρὸ τοῦ τέλους διδοῦσα, μὴ νύξ με τοῦ θανάτου, καταλάβῃ ὑπνοῦντα, ἵνα σε καταξίως, δοξάζω εἰς αἰῶνας.

Ἄλλος. Νόμων πατρῴων.

Πᾶσαν τοῦ Κόσμου τὴν τερπνότητα, καὶ τὴν τρυφὴν καὶ δόξαν ἀποσεισάμενος, τὴν ψυχήν σου ἀνεπτέρωσας, πρὸ τὰς ἄνω χορείας, πρὸς τὰς ἐκείνων, δόξας καὶ λαμπρότητας ἀεὶ, πρὸς τὰ κάλλη τὰ ἄῤῥητα, πρὸς μονὰς τὰς ἐκεῖσε, πρὸς φῶς τῆς Θεαρχίας κραυγάζων· σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Τῷ θείῳ πόθῳ πυρπολούμενος, τὰς ἀναβάσεις ἔθου ἐν τῇ καρδίᾳ σου, καὶ ἀσώματον ἐν σώματι, πολιτείαν ἐκτήσω, τὰς τῶν Ἀγγέλων, τάξεις ἐκμιμούμενος σοφὲ, τὰς ἐκείνων ἐπόθησας ἐν Κόσμῳ μελῳδίας, ἐν πίστει Ῥωμανὲ ἀνακράζων· σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἡ ψηγορεία τῶν ἐνθέων σου, καὶ γλυκυτάτων λόγων μακαριώτατε, Ῥωμανὲ πᾶσαν διάνοιαν, καταθέλγεις ἀνθρώπων καὶ κατευφραίνεις, οἷά τις προφάδες πλουτοποιὸς, καὶ φωτίζεις φαιδρότατα, καὶ βοᾶν ἐκδιδάσκεις· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε.

Θεοτοκίον.

Ἰσοθεΐα δελεάσας με, ὁ βροτοκτόνος ὄφις ὁ σκολιώτατος, ὡς αἰχμάλωτον ἀφήρπασε, τρυφῆς τοῦ Παραδείσου. ἀλλ' ὁ Δεσπότης, φύσει ὁ Υἱὸς ὁ τοῦ Θεοῦ σαρκωθεὶς, ἐπεδήμησεν ἐκ Παρθένου Μαρίας, καὶ ἦρέ με πρὸς ὕψος θεώσας, ὃν ὑπερυψοῦμεν εἰς πάντας. Ὁ Εἱρμός.

„Νόμων πατρῴων οἱ μακαριστοὶ, ἐν „Βαβυλῶνι Νέοι προκινδυνεύοντες, „βασιλεύοντος κατέπτυσαν, προσταγῆς „ἀλογίστου. καὶ συνημμένοι, ᾧ οὐκ ἐχωνεύ„θησαν πυρὶ, τοῦ κρατοῦντος ἐπάξιον ἀνέ„μελπον τὸν ὕμνον· τὸν Κύριον ὑμνεῖ„τε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας „τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Σὲ τὴν ἀπειρόγαμον.

Ἔλυσας πανεύφημε, τὸ σκότος τὸ τῆς ἀγνωσίας, φῶς δὲ ἀληθῶς ἐξήστραψας, Δαμασκῷ τρισυπόστατον, ἀλλὰ ὡς φιλότεκνος Πατὴρ, καὶ φιλόστοργος Ποιμενάρχης, ὀρθοδοξοῦσαν ταύτην φύλαττε.

Τὴν αὐτὴν τὴν ἐτήσιον, πανήγυριν ἐπιτελοῦντες, δεῦτε φωταυγεῖ ἐκλάμποντες, τῆς ψυχῆς ἀξιώματι, τοῦ τῆς Τριάδος λατρευτοῦ τε καὶ κήρυκος Ἀμανίου, τὴν τριφεγγῆ ἀρετὴν μέλψωμεν.

Ὤ τῆς ὑπὲρ ἄνθρωπον, ἀξίας μάκαρ Ἀμανία. ὡς γὰρ μαθητὴς ἠγάπησας, ὡς Ποιμὴν ἀναπέπαυσαι, καὶ ὡς ἀθλοφόρος, τῷ Χριστῷ συνδεδόξασαι, τοῖς στεφάνοις μαρτυρικῶς ἀγλαϊζόμενος.

Θεοτοκίον.

Ἀνάψαντε πανάμωμε, τὸ σκεῦος τὸ τῆς εὐωδίας, αἴτησαι Χριστὸν ὃν ἔτεκες, Βασιλεῖ μὲν τὰ τρόπαια, τοῦ τῆς δουλείας δὲ ζυγοῦ, δοῦναι τὴν ἄφεσιν τῷ λαῷ σου· σὲ γὰρ ἀπαύστως μεγαλύνομεν.

Ἄλλος. Ἀπορεῖ πᾶσα γλῶσσα.

Ταῖς ἀνωτάταις ἔνδοξε, χορείαις συνήφθης τῶν ἀσωμάτων, ἔνθα ἡ ἀνέκφραστος ὑπάρχει εὐφροσύνη, καὶ διηνεκὴς ἀπόλαυσις. ἔνθα ἐκεῖνο, τῆς Θεαρχίας φάος ὑπάρχει καὶ χαρά. ἔνθα ἡ ἀνεκλάλητος δόξα μακαριώτατε.

Με-

Μετὰ δικαίων ἔνδον, εἰς Θεοῦ θείαν Δόξαν κατασκηνώσας, βλέπεις τὴν τερπνότητα, τὴν ἄφραστον ἐκείνην. βλέπεις τὴν τρυφὴν τὴν ἄληκτον. βλέπεις τὰ κάλλη τῶν Οὐρανῶν, τὰ ὄντα ἐράσμια σοφέ. βλέπεις Πατριαρχῶν τὰς χορείας Ῥωμανὲ ἔνδοξε.

Σοῦ τὴν φωσφόρον μνήμην, τοὺς πιστῶς ἐκτελοῦντας, ἐκ τῶν κινδύνων, λύτρωσαι πρεσβείαις σου, Θεόφρον καὶ ἐκ πάσης, βλάβης Ῥωμανὲ καὶ θλίψεως τοῦ ἀλλοτρίου, καὶ τῆς ἐπουρανίου ἀξίωσον τυχεῖν, δόξης καὶ Βασιλείας, τῆς ἄνω μακαριώτατε.

Ὡραϊσμένος κάλλει, ἀσυγκρίτῳ θεόφρον, τῷ τῆς Τριάδος, καὶ πεποικιλμένος λαμπηδόνας ἐξαστράπτεις, καὶ περιχαρῶς πανόλβιε περιπολεύεις, περὶ τὸν θρόνον ὄντως τοῦ κτίστου καὶ Θεοῦ. ἔνθα ἑορταζόντων ὁ ἦχος, Ῥωμανὲ ἔνδοξε.

Θεοτοκίον.

Ὑπὸ τῆς πάλαι, πτώσεως ἀνθρώπων τὸ γένος, τοῦ πρωτοπλάστου, γέγονεν αἰχμάλωτον Παρθένε Θεοτόκε, καὶ δεδουλωμένον πάθεσι, τῆς ἁμαρτίας. ἀλλ᾽ ὁ ἐκ σοῦ τεχθεὶς ὑπεράγαθος Θεός, τοῦτο τῇ ἑαυτοῦ εὐσπλαγχνίᾳ ἀνεκαλέσατο.

Ὁ Εἱρμός. Ἀπορεῖ πᾶσα γλῶσσα.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Ἀρχαῖος μαθητὴς Χριστοῦ, γεγονὼς Ἀνανία, τῷ νέῳ τὴν ἀνάβλεψιν, μαθητῇ σὺ βραβεύεις, Παύλῳ τῷ θείῳ. διό σε, σὺν αὐτῷ εὐφημοῦμεν, ὡς Ἱεράρχην ἔνθεον, ὡς Ἀπόστολον θεῖον, ὡς ἀληθῆ, Μάρτυρα καὶ κήρυκα θεηγόρον, καὶ πρεσβευτὴν θερμότατον, πάσης τῆς Οἰκουμένης.

Θεοτοκίον. Ὅμοιον.

Ἐν θεοπνεύστοις ᾄσμασι, κατετράνωσας μάκαρ, τὴν τοῦ Χριστοῦ ἀπόρρητον, θείαν οἰκονομίαν, καὶ ὕμνοις ἔστεψας πάντας, Ῥωμανὲ τοὺς Ἁγίους. μεθ᾽ ὧν φαιδρῶς ἀνύμνησας. τὴν Ἁγνὴν καὶ Παρθένον, καὶ ἀληθῆς, τοῦ Θεοῦ Μητέρα πάνσοφε Πάτερ. μεθ᾽ ἧς ἡμῶν μνημόνευε, παρεστὼς τῇ Τριάδι.

Εἰς τὸν Στ. στιχηρὰ τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος πλ. δ΄. Ἀνατολίου.

Μαθητὰ τοῦ Σωτῆρος, Ἀρχιεράρχα ἔνδοξε, κλέος Μαρτύρων, Ἀνανία φωστὴρ φαεινότατε, ἡμῶν δὲ πολιοῦχε, ἐκτενῶς ἱκέτευε, ῥυσθῆναι τὴν ποίμνην σου, ἐκ κινδύνων, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτ. Ὢ τοῦ Παραδόξου.

Ἤδη τὰ μακρὰν ποιοῦντά με, τοῦ ἀγαθοῦ σου Υἱοῦ, ἀγαθὴ καὶ πανάμωμε, πόρρω μου ἀπέλασον, τῆς ἀθλίας καρδίας μου. καὶ τὸν ζητοῦντα καὶ ὠρυόμενον, καταπιεῖν με κάκιστον λέοντα, ὄφιν τὸν δόλιον, σκολιὸν καὶ δράκοντα, τὸν πονηρόν, σύντριψον τῷ κράτει σου, ὑπὸ τοὺς πόδας μου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὢ τοῦ παραδόξου θαύματος. ὢ μυστηρίου καινοῦ. ὢ φρικτῆς ἐγχειρήσεως. ἡ Παρθένος ἔλεγεν ἐν Σταυρῷ σε ὡς ἔβλεψεν, ἐν μέσῳ δύο λῃστῶν κρεμάμενον, τὸν ἀνωδύνως φρικτῶς κυήσασα. ἔκλαιε κράζουσα, οἴμοι τέκνον φίλτατον, πῶς σε δεινός, δῆμος καὶ ἀχάριστος, Σταυρῷ προσήλωσεν.

Εἰς τὴν Λειτουργίαν, οἱ μακαρισμοὶ τοῦ ἤχου, καὶ ἀπὸ τοῦ Κανόνος τοῦ Ἀποστόλου. Προκείμενον. ἦχος πλ. α΄. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. Στ. Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ Ἀπόστολος, Πράξεων τῶν Ἀποστόλων. Ἐν ταῖς ἡμέραις ἐκείναις ἦν τίς. Ζήτει τῇ παρασκευῇ τῆς γ΄. ἑβδομάδος τοῦ Πάσχα ἀπὸ τοῦ μέσου. Ἀλληλούϊα. Ἦχος α΄. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον κατὰ Λουκᾶν. Εἶπεν ὁ Κύριος, ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. Καὶ τὰ ἑξῆς.

## Τῷ αὐτῷ Μηνὶ Β΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Κυπριανοῦ, καὶ Ἰουστίνης τῆς Παρθένου. Στ. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἱερέων ἐν χρίσματι, καὶ Μαρτύρων ἐν αἵματι, τῷ Θεῷ προσήγγισας, τελεώτατα, Κυπριανὲ πανοίδιμε, τὸ ἄνθος



Digitized by Google

τῆς φύσεως, ἡ τῶν λόγων καλλονή. τῆς σοφίας ἀκρόπολις, τῆς ὀρθότητος. τῶν δογμάτων ἡ στάθμη, τῶν κανόνων, παναρμόνιος εὐθύτης, Ἐκκλησιῶν ἡ εὐπρέπεια.

Τῶν ἀθλούντων τὴν εὔκλειαν, τῶν Μαρτύρων τὸν στέφανον, ὑπογράφων ἔπεισας, τοὺς θεόφρονας, κατατολμᾶν γενναιότατα, ποικίλων κολάσεων, καὶ δεσμῶν καὶ φυλακῆς, καὶ σωμάτων γυμνώσεως, καὶ στρεβλώσεως, καὶ κρυμοῦ δριμυτάτου καὶ μαστίγων, καὶ θανάτου τελευταῖον, Κυπριανὲ πανσεβάσμιε.

Ἐπῳδαῖς ταῖς τοῦ δαίμονος, τὰς ᾠδὰς τὰς τοῦ Πνεύματος, καὶ Σταυροῦ τὸ τρόπαιον, ἀντιτάξασα, τὴν παρθενίαν ἐτήρησας. καὶ Μάρτυς ἀήττητος, προσηνέχθης τῷ Χριστῷ, ἱερώτατον σφάγιον. ὅθεν ἔτυχες, τῶν στεφάνων τῆς νίκης, Ἰουστῖνα, τῶν παρθένων καὶ Μαρτύρων, κεκοσμημένη φαιδρότητι.

Δόξα. Ἦχος β΄.

Διδασκαλίας τὴν πλάνην, καὶ γνῶσιν τῶν εἰδώλων, ἀπεδύσω ἀληθῶς, καὶ Σταυρὸν ἠμφιάσω, ὅπλον εἰς σωτηρίαν, Κυπριανὲ παμμακάριστε. ἔρριψας τὰς βίβλους τὰς μαγικὰς, τὸν ἄνθρωπον ἀπέθου τὸν παλαιὸν, καὶ ᾤκησεν ἐν σοὶ Θεογνωσία, ἡ Τριὰς ἡ ὁμοούσιος. αὐτὴν ἱκέτευε, Ἱεράρχα, σὺν Ἀγγέλοις τοῦ σωθῆναι ἡμᾶς.

Καὶ νῦν. Θεοτ. Ὅτε ἐκ τοῦ ξύλου σε.

Πάντων, θλιβομένων ἡ χαρὰ, καὶ ἀδικουμένων προστάτις, καὶ πενομένων τροφὴ, ξένων τε παράκλησις, χειμαζομένων λιμὴν, ἀσθενούντων ἐπίσκεψις, καταπονουμένων, σκέπη, καὶ ἀντίληψις, καὶ βακτηρία τυφλῶν. Μήτηρ τοῦ Θεοῦ τοῦ ὑψίστου, σὺ ὑπάρχεις Ἄχραντε σπεῦσον, δυσωποῦμεν σῶσαι καὶ τοὺς δούλους σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ξύλῳ τοῦ Σταυροῦ σε Ἰησοῦ, προσαρτηθέντα ὁρῶσα ἡ ἀπειρόγαμος, ἔκλαιε καὶ ἔλεγε· τέκνον γλυκύτατον, ἵνα τί ἐγκατέλιπες, ἐμὲ τὴν τεκοῦσαν, μόνην φῶς ἀπρόσιτον, τοῦ προανάρχου Πατρός; σπεῦσον, καὶ δοξάσθητι· ὅπως, δόξης ἐπιτύχωσι θείας, οἱ τὰ θεῖα πάθη σου δοξάζοντες.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος β΄.

Τὸν φωστῆρα τὸν θεολαμπῆ, τὸν τοῦ Παύλου συνόμιλον, καὶ ἔργοις συμμέτοχον, Κυπριανὸν εὐφημήσωμεν. μετ' Ἀγγέλων γὰρ ἀγάλλεται, λαβὼν τὸ στέφος τῆς ἀφθαρσίας παρὰ τοῦ μόνου Θεοῦ· καὶ πρεσβεύει, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτ. Ὅτε ἐκ τοῦ ξύλου σε.

Ἄλλην, κραταιὰν καταφυγὴν, καὶ ἰσχύος πύργον, καὶ τεῖχος ἀκαταμάχητον, ὄντως οὐ κεκτήμεθα, εἰμὴ σὲ πάναγνε, καὶ πρὸς σὲ καταφεύγομεν, καὶ σοὶ ἐκβοῶμεν· Δέσποινα βοήθησον, μὴ ἀπολλώμεθα, δεῖξον εἰς ἡμᾶς τὴν σὴν χάριν, καὶ τῆς δυναστείας τὴν δόξαν, καὶ τῆς εὐσπλαγχνίας σου τὸ μέγεθος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὅτε ἡ ἀμίαντος ἀμνὰς, ἔβλεψε τὸν ἴδιον ἄρνα, ἐπὶ σφαγὴν ὡς βροτὸν, θέλοντα ἑλκόμενον, θρηνοῦσα ἔλεγεν· ἀτεκνῶσαι νῦν σπεύδεις με, Χριστὲ τὴν τεκοῦσαν. τί τοῦτο πεποίηκας, ὁ λυτρωτὴς τοῦ παντός; ὅμως, ἀνυμνῶ καὶ δοξάζω, σοῦ τὴν ὑπὲρ νοῦν τε καὶ λόγον, ἄκραν ἀγαθότητα φιλάνθρωπε.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν. διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος. Ἱερομάρτυς Κυπριανὲ, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. Οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου, Οὗ ἡ ἀκροστιχίς.

Μέλπω μάκαρ σου τὴν κυπρίζουσαν χάριν.

Ὠδὴ α΄. Ἦχος δ΄.

Θαλάσσης τὸ ἐρυθραῖον.

Μετὰ τῆς ὑπερκοσμίου τάξεως, νῦν αὐλιζόμενος, ὦ ἱερὰ καὶ θεία κεφαλὴ,

Digitized by Google

λή, ουρανόθεν ἐπίβλεψον, τοὺς εὐσεβῶς ὑμνοῦντάς σε, ταῖς σαῖς πρεσβείαις περιφρούρησον.

Ἐν ζόφῳ τῆς ἀγνωσίας πρότερον, δεινῶς κρατούμενος, καὶ ψυχολεθροις πάθεσι σαρκὸς, ἀκρασίᾳ πυρούμενος, μεταβολὴν παράδοξον, εὗρες ἀθρόως παμμακάριστε.

Ποιμὴν μὲν ἐπὶ καθέδραν πρότερον, Πάτερ ἐκάθησας, καὶ ἐν καθέδρᾳ πάλιν τὸν Χριστὸν, Πρεσβυτέρων ἐδόξασας, ἀλλοιωθεὶς σαφέστατα, τῇ τοῦ ὑψίστου θείᾳ χάριτι. Θεοτοκίον.

Παρθένος μετὰ τὸν τόκον ἔμεινας, αὐτὸν γὰρ τέτοκας, τὸν Ποιητὴν τῶν ὅλων καὶ Θεὸν, ἀσυνήθως καὶ ξένως ἡμῖν, ἐπιφανέντα σώματι, Θεογεννῆτορ Μητροπάρθενε.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Ὡς Παῦλος πρὸς τὸν Χριστὸν, τὴν τῆς ψυχῆς, μεταβαλὼν ἔφεσιν, Κυπριανὲ πάνσοφε, τούτου μαθητὴς ἐχρημάτισας.

Μνηστεύεταί σε Χριστὸς, ἀντὶ χιτῶνος τῶν παθῶν δόξης σοι, καταστολὴν δωρούμενος, καὶ ἀναγεννήσεως ἔνδυμα.

Ἀλείπτης μαρτυρικὸς, προηγουμένως καρτερικὸς ὕστερον, Κυπριανὲ παμμάκαρ, μάρτυς ἀληθείας γεγένησαι.

Θεοτοκίον.

Κυρίως καὶ ἀληθῶς, σὲ Θεοτόκον οἱ πιστοὶ σέβομεν· σὺ γὰρ Θεὸν τέτοκας, σάρκα γεγονότα Παναμωμε.

Ὁ Εἱρμός.

„Εὐφραίνεται ἐπὶ σοὶ, ἡ Ἐκκλησία σου „Χριστὲ κράζουσα· σύ μου ἰσχὺς Κύ„ριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Ἄλλος. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Παιδαθεὶς ἐν τῇ πλάνῃ ἐπιμελῶς, ὡς ὁ Παῦλος ἐκλήθης ἐξ Οὐρανοῦ. Σταυρῷ ὁδηγούμενος, πρὸς τὸ φῶς τὸ τῆς γνώσεως. τῆς γὰρ σεμνῆς Παρθένου, τῷ πόθῳ φλεγόμενος, δι' αὐτῆς ἡρμόσθης, τῷ πλάστῃ τῆς κτίσεως. ὅθεν θριαμβεύσας, τοῦ ἐχθροῦ τὸ ἀνίσχυρον, σὺν αὐτῇ κατηξίωσαι, τοῦ χοροῦ τῶν Μαρτύρων, Κυπριανὲ ἱερώτατε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν.

Δόξα. τὸ αὐτό. Καὶ νῦν. Θεοτ. Ὅμοιον.

Λογισμοῖς ὀλισθαίνων τοῖς πονηροῖς, εἰς βυθὸν κατηνέχθην ἁμαρτιῶν. καὶ στένων κραυγάζω σοι, ἐκ καρδίας Πανάχραντε· ἐν ἐμοὶ θαυμάστωσον, τὸ πλούσιον ἔλεος, καὶ τῆς σῆς εὐσπλαγχνίας, τὸ ἄπειρον πέλαγος, καὶ τῶν οἰκτιρμῶν σου, τὸν ἀμέτρητον πλοῦτον, καὶ δός μοι μετάνοιαν, καὶ πταισμάτων συγχώρησιν, ἵνα πόθῳ κραυγάζω σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι. σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἀμνὸν καὶ ποιμένα καὶ λυτρωτὴν, ἡ ἀμνὰς θεωροῦσα ἐν τῷ Σταυρῷ, ἠλάλαζε δακρύουσα, καὶ πικρῶς ἀνεκραύγαζεν. ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν. τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν σταύρωσιν, ἣν περ ὑπομένεις, διὰ σπλάγχνα ἐλέους. μακρόθυμε Κύριε, τοῦ ἐλέους ἡ ἄβυσσος, καὶ πηγὴ ἀνεξάντλητος, σπλαγχνίσθητι καὶ δώρησαι, τῶν πταισμάτων ἄφεσιν τοῖς πίστει σου, ἀνυμνοῦσι τὰ θεῖα παθήματα.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἀναφήνας Θεοφάντορ τῆς περὶ μαγίας, δαιμονικὴν ἀπάτην, καὶ ψυχόλεθρον πλάνην, πᾶσιν ἐθριάμβευσας, καὶ χαίρων ἐκραύγαζες· δόξα τῇ δυνάμει σου Κύριε.

Ὁμαλαίως Ἰουστίνα κραταιουμένη, καὶ τὴν Ἁγνὴν Παρθένον καὶ κεχαριτωμένην, σφόδρα ἱκετεύουσα, τοὺς βρόχους διέφυγες, καὶ τὰ τῶν ἐχθρῶν μηχανήματα.

Ἐνισχυομένη τῇ πίστει τοῦ σοῦ νυμφίου, καὶ τοῦ Σταυροῦ τὴν δύναμιν, περιβεβλημένη, δαίμοσιν ἀνάλωτος, βοῶσα διέμεινας, δόξα τῇ δυνάμει σου Κύριε. Θεοτ.

Ὁ κατὰ φύσιν ἐλεύθερος τὴν ἰδίαν, δούλου μορφὴν ἐπτώχευσε χρηστότητος πλούτῳ. Μῆτερ Ἀειπάρθενε, ἐκ σοῦ καθ' ὑπόστασιν, ὅλον προσλαβὼν τὸ ἀνθρώπινον.

Ὠδὴ

Digitized by Google

Ὠδὴ έ. Σὺ Κύριέ μου φῶς.

Ὑπέρμαχον σαφῶς, τὴν Ἁγνὴν Θεομήτορα, πλουτήσασα Ἰουστίνα, τὴν σεπτὴν Παρθενίαν, ἐτήρησας ἀμώμητον.

Τὸ ἔμψυχον Θεοῦ, καὶ τερπνότατον ἄγαλμα, τιμήσωμεν Ἰουστίναν, τὸ ἀπόθετον κάλλος, τὸ ἄσυλον ἀνάθημα.

Ἡ νύμφη τοῦ Χριστοῦ, ἡ γνησία καὶ ἄσπιλος, τὴν ἄθλησιν τῇ ἀσκήσει, προσλαβοῦσα δικαίως, διπλοῦν στέφος κομίζεται. Θεοτοκίον.

Νοῦς οὐκ Ἀγγελικὸς, οὐκ ἀνθρώπινος δύναται, τὸ ἄφραστον ἑρμηνεῦσαι, καὶ παράδοξον θαῦμα, τοῦ τόκου σου Παμμάκαρ.

Ὠδὴ ς΄. Θύσω σοι μετὰ φωνῆς.

Κακίας, τὸν πυθμένα τὸν κάτω κατείληφας, τῆς ἀκροτάτης δὲ πάλιν, ἀρετῆς ἀνῆλθες, Πάτερ εἰς ὕψος, παραδόξως, ἀλλοιωθεὶς τῷ θείῳ βαπτίσματι.

Ὑπῆρξας, ὑπηρέτης δαιμόνων τὸ πρότερον, ἀλλὰ Χριστοῦ Θεοφάντορ, μαθητὴς ἐσύστερον ἀνεδείχθης, διαθέσει, τῶν ὀρεκτῶν ποθήσας τὸ ἔσχατον.

Πολλοὺς σὺ, τῷ Δεσπότῃ προσήγαγες Μάρτυρας, πραγματειῶν τὴν μεγίστην, ὑποφαίνων αἵματι βραχυτάτῳ, Βασιλείαν, τῶν Οὐρανῶν θεόφρον ὠνήσασθαι. Θεοτοκίον.

Τρῆξόν μου, τὰς σειρὰς τῶν πταισμάτων Θεόνυμφε, τῆς ἁμαρτίας τοῦ μόνου, τῆς ζωῆς τῷ μόνῳ ἐλευθερίαν, δωρουμένη, ἡ δοτῆρα τοῦ μόνου κυήσασα.

Ὁ Εἱρμός.

„ Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε,
„ ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύ-
„ θρου κεκαθαρμένη· τῷ δι' οἶκτον ἐκ τῆς
„ πλευρᾶς σου ῥεύσαντι Αἵματι.

Κοντάκ. Ἦχος Πλ. δ΄. Ὡς ἀπαρχάς.

Ὡς Ἱεράρχην τίμιον, καὶ ἀθλητὴν στερρότατον, ἡ Οἰκουμένη ἀξίως γεραίρει σε, Κυπριανὲ ἀοίδιμε. καὶ τοῖς ὕμνοις δοξάζει, τὴν ἁγίαν σου μνήμην, αἰτοῦσα πάντοτε, πταισμάτων ἄφεσιν, διὰ σοῦ δωρηθῆναι, τοῖς μέλπουσιν· Ἀλληλούϊα.

Ὁ Οἶκος.

Τὸν σοφὸν Ἱεράρχην τιμήσωμεν, ὡς ποιμένα σοφὸν καὶ Διδάσκαλον, ὅτι ἐξ ἀκανθῶν πλάνης ἐξήνθησεν, ὥσπερ ῥόδον τερπνότατον, καὶ ἡμᾶς τοὺς πιστοὺς κατεμύρισεν, ἰαμάτων ὀδμαῖς, καὶ βολαῖς θαυμάτων. ὥστε ψάλλειν ἡμᾶς τοῦ Δαβὶδ τὴν ᾠδὴν, Ἀλληλούϊα.

Τῷ αὐτῷ Μηνὶ Β΄. Τοῦ Ἁγίου Ἱερομάρτυρος Κυπριανοῦ, καὶ Ἰουστίνης.

Στ. Ἀλγεῖ Σατανᾶς τὸν πάλαι φίλον βλέπων,
Ξίφει φιλοῦντα, συνθανεῖν Ἰουστίνῃ.
Τμηθη δευτέρῃ σὺν Ἰουστίνῃ Κυπριανός.

Οὗτος ὑπῆρχεν ἀπὸ Ἀντιοχείας τῆς Συρίας ἐπὶ Δεκίου τοῦ Βασιλέως, ἀγεννὴς καὶ πλούσιος, φιλόσοφος καὶ μάγος ἄκρος. ἠγρεύθη δὲ πρὸς τὴν εἰς Χριστὸν πίστιν παρὰ Ἰουστίνης τῆς Παρθένου καὶ Χριστιανῆς, πάσας τὰς δαιμονικὰς αὐτοῦ ἐνεργείας, ὡς ἱστὸν ἀράχνης διαλυσάσης, ὁρμωμένης καὶ αὐτῆς ἐξ Ἀντιοχείας. ἀνὴρ γάρ τις Ἕλλην, Ἀγλαΐδας λεγόμενος, ἔρωτι τοῦ κάλλους αὐτῆς τρωθεὶς, καὶ μὴ τυχὼν τοῦ σκοποῦ, προσῆλθε τῷ Κυπριανῷ. ὁ δὲ ἐκ τρίτου δαίμονας ἐξαποστείλας πρὸς τὴν Κόρην, ἤνυσεν οὐδέν. ὡς γοῦν ἔγνω τὴν ἑαυτοῦ τέχνην ἀπρακτοῦσαν, ἐβαπτίσθη, καὶ κατακαύσας τὰ μαγικὰ αὐτοῦ βιβλία, ἐπίστευσε τῷ Κυρίῳ. γίνεται δὲ καὶ τελευταῖον Ἐπίσκοπος. καὶ πολλοὺς ὁδηγήσας πρὸς τὴν εἰς Χριστὸν πίστιν, ἐκρατήθη παρὰ τοῦ τῆς Δαμασκοῦ Κόμητος σὺν Ἰουστίνῃ. καὶ τὰς πλευρὰς ξέονται· καὶ σιδηρῷ τηγάνῳ ἐμβάλλονται. καὶ ἐπὶ Νικομήδειαν ἀπαχθέντες, τὰς κεφαλὰς ἀφαιροῦνται. ὁ δὲ μέγας Γρηγόριος ὁ Θεολόγος, οὐχ ἕτερον, ἀλλ' αὐτὸν ἐραστὴν τῆς Παρθένου φησί. τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ αὐτῶν μαρτυρείῳ, τῷ ὄντι πέραν ἐν τοῖς Σολομῶντος.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοφίλου τοῦ Ὁμολογητοῦ,

Στίχ. Ἐναντίον μου σὴ τελευτὴ τιμία.
Λέγει Θεός σοι τῷ φίλῳ Θεοφίλῳ.

Ὁ

Digitized by Google

Ὁ ὅσιος Πατὴρ ἡμῶν καὶ Ὁμολογητὴς Θεόφιλος, ὑπῆρχε Μοναχὸς εὐλαβὴς, ἐπὶ τῆς Βασιλείας Λέοντος τοῦ Ἰσαύρου. οὗ τὴν ἀθεότητα ἰδὼν, καὶ τὴν πρὸς τὰς ἁγίας Εἰκόνας ἐπίθεσιν πονηρὰν, ἦλθε κατὰ πρόσωπον αὐτοῦ παῤῥησιασάμενος, καὶ ἤλεγξεν, ἄθεον αὐτὸν ἀποκαλῶν καὶ παράνομον, καὶ τοῦ Ἀντιχρίστου πρόδρομον. ὅθεν εἰς θυμὸν καὶ ὀργὴν τοῦ Βασιλέως κινηθέντος, τύπτεται σφοδρῶς, καὶ εἰς φυλακὴν ἐμβάλλεται, καὶ λιμοκτονεῖται ἱκανῶς. καὶ πάλιν τῆς φυλακῆς ἐκβληθεὶς, καὶ μὴ πεισθεὶς, εἰς ἐξορίαν πέμπεται. κἀκεῖσε τῷ Θεῷ εὐχαριστῶν, τὸ πνεῦμα αὐτῷ παρέθετο.

Ὠδὴ ζ΄. Ὁ διασώσας ἐν πυρί.

Ἱεραρχίας ἐπιβὰς, ἱεραρχικώτατον τύπον, τοῖς Ἱεράρχαις σεαυτὸν, καὶ εἰκόνα κραυγάζων ἀνέδειξας. ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ζωαρχικῆς σοι δεξιᾶς, ὄντως ἡ ἀλλοίωσις Πάτερ, Κυπριανὲ τὴν καὶ σοφὸν, θεηγόρον εἰργάσατο ψάλλοντα· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ὅπλον ἀήττητον ἡμῖν, κατὰ τοῦ ἀλάστορος μάκαρ, σὺ ἀνεδείχθης τὰς αὐτοῦ, στηλιτεύων ἀπάτας τοῖς μέλπουσιν· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ὑπερουράνιοι χοροὶ, καὶ οἱ ἐπουράνιοι δῆμοι, ὑμνολογοῦσι τὸν ἐκ σοῦ, Θεοτόκε τεχθέντα κραυγάζοντες· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Εὐφράνθητι Ἱερουσαλήμ.

Σοφώτατα τῆς ἑλληνικῆς, καταπεφρόνηκας σοφίας ἔνδοξε. τῶν Ἀποστόλων δὲ, τὸν θεῖον φθόγγον, Πνεύματι τὸν κηρυττόμενον Πάτερ, καὶ πυρίνῃ γλώσσῃ τρανῶς ἐκφωνούμενον, ἀνεβόας· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Ὑπέδραμες πρὸς τὰ ὑψηλὰ, καὶ ὑπερκόσμια φαιδροῖς σκηνώματα, Χριστῷ δι' αἵματος ὡς ἱερεῖον, ἄμωμον προσαγόμενος Πάτερ, καὶ θυσία ζῶσα δεκτὴ καὶ εὐάρεστος, ἀναμέλπων· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Νικώμεναι ὑπὸ τῆς ἐν σοὶ, σκηνωσάσης χάριτος δαιμόνων φάλαγγες, ἀποδιώκονται καὶ δραπετεύει, πάθη Κυπριανὲ τῶν νοσούντων. οἱ πιστοὶ δὲ θείου φωτὸς ἐμφορούμενοι, βοῶμεν· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Θεοτοκίον.

Χορεύουσα σὺν Ἀγγελικαῖς, Ἁγνὴ Δυνάμεσιν ἐπὶ τῷ τόκῳ σου, οἱ Θεομήτορα καὶ Θεοτόκον, πίστει σε καταγγέλλοντες. σὺ γὰρ τὸν Δεσπότην καὶ λυτρωτὴν ἡμῶν τέτοκας, ᾧ βοῶμεν· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Ὁ Εἱρμός.

„Εὐφράνθητι Ἱερουσαλὴμ, πανηγυρίσατε οἱ ἀγαπῶντες Σιών. ὁ βασιλεύων γὰρ εἰς τοὺς αἰῶνας, Κύριος τῶν Δυνάμεων ἦλθεν. εὐλαβείσθω πᾶσα ἡ γῆ ἐκ προσώπου αὐτοῦ, καὶ βοάτω· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Ὠδὴ θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ἄρωθεν ἡμᾶς τοὺς εὐσεβῶς ὑμνοῦντάς σε, ἐποπτεύων θείᾳ χάριτι, Κυπριανὲ ταῖς ἱκεσίαις, ἐν ὅπλῳ εὐδοκίας στεφάνωσον, εἰρήνην καὶ σωτηρίαν βραβεύων ἡμῖν, ὡς Ἱεράρχης ἐνθεώτατος.

Τὸ ἄθροον ἰαμάτων δαψιλῶς ἡ κόνις σου, τοῖς ποθοῦσιν ἀναδέδεικται. σὲ δὲ Κυπριανὲ γυναῖκες, ὡς θεῖον θησαυρὸν ὑποδέχονται, καὶ πρόθυμοι φανεροῦσι κρυπτόμενον, ἵνα σοῦ πάντες ἀπολαύσωμεν.

Ἴθυνον ἡμῶν πρὸς τὸν Χριστὸν πανόλβιε, τὴν πορείαν διὰ πράξεως, καὶ θεαρέστου πολιτείας, καὶ εἰλικρινεστάτης καθάρσεως, τὴν ὄντως θείαν γαλήνην αἰτούμενος, ὡς Ἱεράρχης συμπαθέστατος.

Νόσων ἡμῶν τὴν τῆς ψυχῆς ἀσθένειαν, Θεομήτορ τῇ δυνάμει σου. λῦσον τὸ κράτος Παναγία, τῶν ἐπιτιθεμένων τοῖς δούλοις σου, ἡ Κόσμῳ Δικαιοσύνης τὸν Ἥλιον, ἀνερμηνεύτως ἀνατείλασα.

Ὁ Εἱρμός.

„Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι, „τὴν κατάραν εἰσῳκίσατο. σὺ δὲ Παρ„θένε Θεοτόκε, τῷ τῆς κυοφορίας βλα-



Digitized by Google

„ σχήματι, τῷ Κόσμῳ τὴν εὐλογίαν ἐξηύθησας. ὅθεν σε πάντες μεγαλύνομεν.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Τὸν πρότερον ὑπάρχοντα, κακίας μύστην ὕστερον, διὰ τιμίας Παρθένου, Ἀρχιερέα φανέντα, Κυπριανὸν τὸν μέγιστον, συμφώνως μακαρίσωμεν, καὶ πρὸς αὐτὸν βοήσωμεν· ταῖς σαῖς λιταῖς ἀμείλιξον ἡμῖν τὸν πάντων Δεσπότην.

Θεοτοκίον. Ὅμοιον.

Χαρὰν τὴν ἀνεκλάλητον, ἡ τεκοῦσα παμάκαρε, χαρᾶς ἡμᾶς αἰωνίου, μετόχους ποίησον πάντας, Παρθένε Θεονύμφευτε, ἡ σκέπη τὸ κραταίωμα, τῶν εὐσεβῶς βοώντων σοι· μὴ ἐπιλάθῃ σῶν δούλων, Θεοκυῆτορ Μαρία.

Εἰς τὸν στ. στιχ. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος Πλ. δ΄.

Ὁ τῆς κακίας πρότερον, ἀκριβὴς ὑπέρμαχος, τῆς Ἐκκλησίας ὕστερον, ἀληθὴς διδάσκαλος· ὁ λειτουργὸς τῆς πλάνης τῶν εἰδώλων, Ἀρχιερεὺς τῆς Πίστεως ἐφάνη. καὶ ὁ ἀκόλαστος, σώφρων διὰ τιμίας Παρθένου. ἀμφοτέρων ταῖς εὐχαῖς, σῶσον ἡμᾶς Κύριε.

Καὶ νῦν. Θεοτ. Ὢ τοῦ παραδόξου.

Πῶς σου τὴν χάριν ὑμνήσαιμι, καὶ τὴν πολλὴν πρὸς ἐμὲ, τὸν ἀνάξιον δοῦλόν σου, καθ' ἑκάστην πρόνοιαν, ἣν σαφῶς ἐπιδείκνυσαι; πῶς δέ σου φράσω τὴν ἀγαθότητα, καὶ τὴν ποικίλην ὄντως κυβέρνησιν; σὺ οὖν καὶ ἔτι νῦν, εἰς ἀεί μοι πρόσηθι, παντὸς κακοῦ, ζῶντα καὶ θανόντα με, ἐκλυτρουμένη σεμνή.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σὲ καθηλούμενον βλέπουσα, ἐν τῷ σταυρῷ Ἰησοῦ, καὶ τὰ πάθη δεχόμενον, ἑκουσίως Δέσποτα, ἡ Παρθένος καὶ Μήτηρ σου, τέκνον ἐβόα, τέκνον γλυκύτατον, πληγὰς ἀδίκως, πῶς φέρεις ὁ Ἰατρός; ὁ ἰασάμενος, βροτῶν τὴν ἀσθένειαν καὶ τῆς φθορᾶς, ἅπαντας ῥυσάμενος, τῇ εὐσπλαγχνίᾳ σου.

Εἰς τὴν Λειτουργίαν. Προκείμενον. Ἦχος βαρύς. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ὁσίων. στ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων. Ὁ Ἀπόστολος, πρὸς Ἑβραίους. Ζήτει Κυριακῇ γ΄. τῶν Νηστειῶν. Ἀλληλούϊα. Ἦχος β΄. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην. Εὐαγγέλιον κατὰ Ἰωάννην Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα. Ζήτει Σεπτεμβρίῳ γ΄. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον. Καὶ τὰ λοιπά.

## Τῷ αὐτῷ Μηνὶ Γ΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου. στιχ. Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες.

Ἀγκίστρῳ τῆς χάριτος σοφῶς, ὁ Παῦλος ὁ ἔνθεος, δημηγορήσας ἐζώγρησεν, Ἱεροφάντορα, καὶ τῶν ἀπορρήτων, θεωρὸν εἰργάσατο, σὲ σκεῦος ἐκλογῆς θεασάμενος. μεθ' οὗ δυσώπησον, θεόρρημον Διονύσιε, τοῦ σωθῆναι, τοὺς πόθῳ ὑμνοῦντάς σε.

Ἀγγέλοις ὁμότιμον τὸν νοῦν, Πάτερ Διονύσιε, δι' ἀρετῆς ἐργασάμενος, τὴν ὑπερκόσμιον, τῆς Ἱεραρχίας, εὐταξίαν πάνσοφε, τὴν τούτων ἱερῶς ἀνιστόρησας, καθ' ἣν ἐῤῥύθμισας, Ἐκκλησίας τὰ συστήματα, οὐρανίων τὰς τάξεις μιμούμενος.

Ἐμφιλοσοφώτατα Θεῷ, μάκαρ Διονύσιε, ὡς δυνατὸν ὁμοιούμενος, τῶν ὀνομάτων σου, μυστικῶς τῶν θείων, εὐσεβῶς ἐξήπλωσας, τὴν ἔνθεον Θεόφρον ἀνάπτυξιν, ἑνώσει κρείττονι, μυηθεὶς τὰ ὑπὲρ ἔννοιαν, καὶ μυήσας τοῦ Κόσμου τὰ πέρατα.

Δόξα. Ἦχος β΄.

Ἀνδρέου Ἱεροσολυμίτου, οἱ δὲ Βυζαντίου.

Δεῦτε συμφώνως οἱ πιστοὶ, τὴν ἐτήσιον μνήμην, τῶν Ἱεραρχῶν εὐφημήσωμεν, Διονυσίου τε καὶ Κυπριανοῦ. ὁ μὲν γὰρ διαπτύσας, τῶν ἰσοθεικῶν φιλοσόφων, καὶ τῷ σκεύει τῆς ἐκλογῆς μαθητευθεὶς, τῶν ἀπορρήτων μυστηρίων γνώστης ἐγένετο. ὁ δὲ διὰ τῆς Καλλίστου Παρθένου Ἰουστίνης, τὴν διάνοιαν φωτισθεὶς, τὴν τῶν δαιμόνων ἀπάτην ἐξέφυγε, καὶ τὰς μαγικὰς βίβλους ἐν πυρὶ ἀναλώσας, τοῦ Εὐαγγελίου κήρυξ γεγο-

Digitized by Google




Digitized by Google



# ΜΗΝ ΟΚΤΩΒΡΙΟΣ

Ἔχων ἡμέρας, λα΄. Ἡ ἡμέρα ἔχει ὥρας, ια΄.
καὶ ἡ νὺξ, ὥρας, ιγ΄.

Εἰς τὴν α΄. Τοῦ Ἁγίου Ἀποστόλου Ἀνανίου, ἑνὸς τῶν Ἑβδομήκοντα. Καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ῥωμανοῦ τοῦ Μελῳδοῦ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχ. τοῦ Ἀποστόλου. Ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ τὴν ἀκτῖνα τὴν Θείαν δεδεγμένος, ὅτε νώσει κρείττονι πεπληρωμένος σοι, ὁ πρώην ζόφῳ κρατούμενος, προσῆλθε Σαῦλος, τὴν θείαν κάθαρσιν ἐξαιτούμενος. τότε παμμακάριστε ὡς Ἱεράρχης σοφὸς, υἱοθετεῖς τῷ βαπτίσματι, τὸν μετὰ ταῦτα, τὴν Οἰκουμένην υἱοθετήσαντα. ὅθεν σὺν τούτῳ, μακαρίζομεν, σὲ τοῦ Χριστοῦ τὸν Ἀπόστολον, Ἀνανία θεόφρον, ἱκετεύοντα σωθῆναι ἡμᾶς.

Μεμυημένος τὰ Θεῖα παραδόξως, βροντῆς γεγονώτερον μάκαρ ἐσάλπισας, λόγον Θεοῦ τὸν σωτήριον, καὶ τοὺς ὑπνοῦντας, ἐν τοῖς μνημείοις τῆς ματαιότητος, ἐξήγειρας νέκρωσιν, ἐναπορρίψαντας, τὴν τοῖς νεκροῖς συνοικίζουσαν, καὶ ἐν τῷ Ἅδῃ, τοὺς κεκτημένους ἐναποστρέψουσαν. οὓς ἀπειργάσω, τοῦ νεκρώσαντος, τὴν νεκρωτὴν σκύλη τίμια, Ἰησοῦ τοῦ Δεσπότου, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ὡς φωτοφόρος ὡς Θεῖος ὑποφήτης, ὡς Μάρτυς θεόκριτος τῶν παθημάτων Χριστοῦ. καὶ τῆς μελλούσης φανήσεσθαι, ἀρρήτου δόξης, συγκληρονόμος τε καὶ συμμέτοχος. συνὼν τῷ Δεσπόζοντι καὶ ἐνηδόμενος, ταῖς πηγαζούσαις ἑκάστοτε, φωτοχυσίαις, ἐκ τοῦ ἀδύτου φέγγους θεσπέσιε, τὴν φαιδροτάτην τοὺς τελοῦντάς σου, νῦν Ἑορτὴν ἱκεσίαις σου, ζοφερῶν ἐκ κινδύνων, Ἀνανία ἐλευθέρωσον.

Ἕτερα στιχηρὰ προσόμ. τοῦ Ὁσίου. Ἦχος α΄.

Πρὸς, Τῶν Οὐρανίων ταγμάτων.

Ὁ μουσουργέτης ἡ λύρα, τοῦ Θείου Πνεύματος, ἡ ἀηδὼν ὁ τέττιξ, ὁ τῶν θείων ᾀσμάτων, αὐλὸς τῆς Ἐκκλησίας, πᾶσιν ἡμῖν, τὰς αὐτοῦ παρατίθεται, μελῳδικὰς εὐωχίας, καὶ δι᾽ αὐτῶν, κατευφραίνει τοὺς θεόφρονας.

Ὁ φαεινότατος λύχνος, καὶ διειδέστατος, ἡ μελουργὸς κιθάρα, ἡ νάβλα τῶν ᾀσμάτων, τοῦ Πνεύματος λογίων, ᾄδει τερπνῶς, ἐκδιδάσκων τὰ πέρατα, ἐν ἀσιγήτοις τοῖς ὕμνοις δοξολογεῖν, τῆς Θεότητος τὴν μίαν αὐγήν.

Σὺ τῷ Δεσπότῃ τῶν ὅλων, ὡς παριστάμενος, καὶ παρρησίαν Πάτερ, πρὸς αὐ-

τὸν κεκτημένους, ἡμῶν τῶν ἐκτελούντων, μνήμην ποιοῦ, τὴν φαιδρὰν σου πανήγυριν, τοῦ λυτρωθῆναι κινδύνων καὶ πειρασμῶν, Ῥωμανὲ θεομακάριστε.

Δόξα. Ἦχος α΄. Βυζαντίου. Οἱ δὲ Ἀνατολίου.

Τὸ Σκεῦος τῆς ἐκλογῆς, τὸ μέγα δοχεῖον τοῦ Πνεύματος, Παῦλον τὸν Ἀπόστολον ἐφώτισας Ἀπόστολε. Θεόθεν κατ' ἀποκάλυψιν χρηματισθείς, ὡς αὐτόπτης τοῦ Λόγου, καὶ μύστης τῶν θαυμάτων αὐτοῦ. Ἀπόστολος δὲ πρὸ τῶν μαθητῶν καὶ πιστὸς οἰκονόμος, τῆς νέας Διαθήκης. διὸ αὐτὸν μιμούμενος, τὸν Διδάσκαλον Χριστόν, τὸ οἰκεῖον αἷμα ἐξέχεας, μαρτυρικῷ πάθει, ὁμολογητὴς γενόμενος Ἀνανία Ἱεράρχα Χριστοῦ. καὶ τὸν δρόμον τελέσας, τὴν πίστιν δὲ ἄσυλον τηρήσας, σὺν τοῖς ἄνω λειτουργοῖς, ἐν ὑψίστοις αὐλιζόμενος, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θτ. Πανεύφημοι Μάρτυρες.

Ἐλέους ἡ ἄβυσσος ἐμέ, τὸν βυθὸν γενόμενον, ἀκαθαρσίας ἐλέησον, καὶ λῦσον πάντα μου, τῶν παθῶν τὸν ῥύπον, μετανοίας δάκρυσι, καὶ θείᾳ κατανύξει λαμπρύνασα· δι' ἧς μοι δώρησαι, ταπεινὸν τὸ ὄντι φρόνημα, καὶ καρδίας, συντριβὴν σωτήριον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἴδιον ἄρνα ἡ ἀμνάς, καὶ ἄμωμος Δέσποινα, ἐν τῷ σταυρῷ ὡς ἑώρακεν, εἶδος οὐκ ἔχοντα, οὐδὲ κάλλος οἴμοι, θρηνῳδοῦσα ἔλεγε· ποῦ σου τὸ κάλλος ἔδυ γλυκύτατε; ποῦ ἡ εὐπρέπεια; ποῦ ἡ χάρις ἡ ἀστράπτουσα, τῆς μορφῆς σου; Υἱέ μου παμφίλτατε.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου, λέγομεν δὲ καὶ τὸ παρὸν ἰδιόμελ. τοῦ Ἀποστόλου, μετὰ στ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. Ἦχος δ΄.

Ἀγλαοφορικὸν ἐνδιαίτημα ἀπεφάνθης Ἀνανία Ἀπόστολε, τοῖς λίθοις ὡς ἄνθεσι πυκαζόμενος, ὑπὲρ τοῦ παθόντος σαρκὶ δι' ἡμᾶς, ἑκουσίως τὸ αἷμά σου ἐξέχεας. ὅθεν ἡ Δαμασκὸς ἐναβρύνεται, τῇ ἱερᾷ πανηγύρει σου σήμερον. οὐ μόνον δὲ ἐκείνη, ἀλλὰ καὶ πᾶσα ἡ ὑφήλιος, τῶν θαυμάτων σου τὰ τέρατα σαφῶς ἀνακηρύττουσα βοᾷ. πρέσβευε πρὸς Θεόν, τοῦ δωρήσασθαι ἡμῖν, τῶν πταισμάτων τὴν συγχώρησιν.

Δόξα. Ἦχος Πλ. β΄.

Πρώτη καλῶν ἀπαρχή, ὤφθης σωτηρίας ἀφορμή, Ῥωμανὲ Πατὴρ ἡμῶν. Ἀγγελικὴν γὰρ ὑμνῳδίαν συστησάμενος, θεοπρεπῶς ἐπεδείξω τὴν πολιτείαν σου. Χριστὸν τὸν Θεὸν ἱκέτευε, πειρασμῶν καὶ κινδύνων λυτρωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

Καὶ νῦν. Θτ. Τριήμερος ἀνέστης Χριστέ.

Ἀντίληψις καὶ σκέπη μου, ὑπάρχεις πανάμωμε, Θεοτόκε. σὲ γὰρ ἔχω βοηθόν, ἐν θλίψεσι καὶ νόσοις, καὶ ταῖς στενοχωρίαις, καὶ σὲ δοξάζω τὴν ἀμώμητον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ πάναγνος ὡς εἶδέ σε, ἐπὶ σταυροῦ κρεμάμενον, θρηνῳδοῦσα, ἀνεβόα μητρικῶς, Υἱέ μου καὶ Θεέ μου, γλυκύτατόν μου τέκνον, πῶς φέρεις πάθος ἐπονείδιστον;

Ἀπολυτίκιον. Ἦχος γ΄.

Ἀπόστολε Ἅγιε. καὶ τοῦ Ὁσίου. Ἦχος πλ. δ΄.

Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. Κανὼν τῆς Ὀκτωήχου εἷς, καὶ τῶν Ἁγίων δύω. ὁ Κανὼν τοῦ Ἀποστόλου. Οὗ ἡ ἀκροστ.

Ἄνευ τῶν Θεοτοκίων.

Ἀνανίου με τὸ κλέος δοξαζέτω.

Ὠδὴ α΄. Ἦχος Πλ. δ΄. Ἰωάννου Μοναχοῦ.

Ὑγρὰν διοδεύσας.

Ἀνοίξωμεν στόμα εὐφημικόν, πλατύνωμεν γλῶτταν, ἐν τῇ μνήμῃ πάντες πιστοί, τοῦ Ἀρχιποιμένος Ἀνανίου, καὶ σὺν αὐτῷ τῷ Θεῷ ἡμῶν ᾄσωμεν.

Νυμφίῳ Ἀχράντῳ νυμφαγωγεῖ, τὴν ἄσπιλον νύμφην, Ἀνανίας ὁ εὐκλεής. Χριστοῦ τὴν ἐνταῦθα Ἐκκλησίαν, μεθ' ἧς φαιδρῶς τῷ Θεῷ ἡμῶν ᾄσωμεν.

Ἀρχαῖος γενόμενος μαθητής, τῷ νέῳ βραβεύεις, τὴν ἀνάβλεψιν φοιτητῇ, τῷ πάλαι διώκτῃ Ἀνανία, καὶ μελῳδεῖς τῷ Θεῷ ἡμῶν ᾄσωμεν.

Θεοτοκίον.

Τάξεις σε Ἀγγέλων καὶ τῶν βροτῶν, ἀνύμφευτε Μῆτερ, εὐφημοῦσιν ἀνελλιπῶς.

Digitized by Google

πῶς· τὸν Κτίστην γὰρ τούτων ὥσπερ βρέφος, ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

Ἕτερος Κανὼν τοῦ Ὁσίου.

Ὠδὴ α΄. Ἦχος Πλ. β΄. Ὡς ἐν ἠπείρῳ.

Φωτολαμπεῖς λαμπηδόνας ἐξ Οὐρανοῦ, ἡμῖν ἐξαπόστειλον, ταῖς πρεσβείαις σου σοφὲ, Ῥωμανὲ θεσπέσιε τὴν σὴν, ἀνυμνῆσαι ἱερὰν, μνήμην ἐν ᾄσμασιν.

Ἀπὸ νεότητος ὅλον σὺ τῷ Χριστῷ, σαυτὸν παραθέμενος, ἠκολούθησας αὐτῷ, φεγγοβόλοις λάμψεσι τὸν νοῦν, οὐρανόθεν Ῥωμανὲ καταστραπτόμενος.

Ὡραϊσμένος τῷ κάλλει τοῦ παντουργοῦ, καὶ Ἁγίου Πνεύματος, ὡς ἀστὴρ φωτολαμπής. ἀρετῶν φαιδρότητι σοφὲ, ἀνεδείχθης Ῥωμανὲ Κόσμου τοῖς πέρασιν.

Θεοτοκίον.

Ἐκ σοῦ προῆλθεν ἀφράστως ὁ τοῦ Θεοῦ, Λόγος ὁ συνάναρχος ἐπ' ἐσχάτων τῶν καιρῶν. καὶ τὸν πρῶτον ἄνθρωπον Ἀδὰμ, πεπτωκότα Θεοτόκε ἀνεσώσατο.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Νάμασιν ἑπόμενος, τοῦ διδασκάλου σου γέγονας, Ἀρχιερεὺς, ἀθλοφορικόν τε, ἱερεῖον Ἀπόστολε.

Τελέων ἐν τάξεσι, θεοπειθέσι σου ἔργασαι, τὸν λυτρωτὴν, τοῖς σὲ ἀνυμνοῦσιν, Ἀνανία Ἀπόστολε.

Ὅλην σοι ἐπέδησε, τὴν τοῦ θηρὸς ὁρμὴν Κύριος, ἐπιφανεὶς, ἐν φωτὶ ἀρρήτῳ, ἀμαυρώσας τὸ πρόσωπον. Θεοτ.

Σὲ πάντες κεκτήμεθα, καταφυγὴν καὶ τεῖχος ἡμῶν, Χριστιανοί. σὲ δοξολογοῦμεν, ἀσιγήτως ἀνύμφευτε.

Ἄλλος. Οὐκ ἔστιν Ἅγιος.

Ὁ νοῦς σου γέγονε σοφὲ, σκήνωμα τῆς Τριάδος, Ῥωμανὲ τῆς Ἁγίας, πεπλησμένος εὐσεβῶς, τὴν γνῶσιν τὴν ἀληθῆ, καὶ προχέων, ἔνθεα διδάγματα.

Ῥευμάτων ἔβλυσε πηγὰς, ἡ τιμία σου γλῶσσα, κελαδοῦσα τὰ θεῖα, καὶ τρανοῦσα ἐμφανῶς, τὴν τοῦ Χριστοῦ πρὸς ἡμᾶς, ἐκ Παρθένου, γέννησιν τὴν ἄφραστον.

Ἰδοὺ ἐκτρέφεις δαψιλῶς, ταῖς σοφαῖς ὁμιλίαις, καὶ τερπναῖς μελῳδίαις, τὰς διανοίας ἡμῶν, καὶ ἐμπιπλᾷς γλυκασμοῦ, θειοτάτου, Ῥωμανὲ θεσπέσιε.

Θεοτοκίον.

Πασῶν ὑπάρχεις στρατιῶν, ἀνωτέρα Παρθένε. τὸν ἐκείνων γὰρ Κτίστην, τὸν Υἱὸν τὸν τοῦ Θεοῦ, συνέλαβες ἐν γαστρὶ, καὶ τεκοῦσα, μένεις Ἀειπάρθενος.

Ὁ Εἱρμός.

„ Οὐκ ἔστιν Ἅγιος ὡς σὺ, Κύριε ὁ Θεός
„ μου. ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν
„ σου ἀγαθὲ, καὶ στερεώσας ἡμᾶς, ἐν τῇ πέ-
„ τρᾳ, τῆς ὁμολογίας σου.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τοῖς πάθεσι Χριστοῦ, κοινωνὸς ἀνεδείχθης, Ἀπόστολε σοφὲ, καὶ αὐτόπτα τοῦ Λόγου. πιὼν γὰρ τὸ ποτήριον, ἐτελέσθης δι' αἵματος. ἀλλ' ὡς σύνθρονος, καὶ κληρονόμος ὑπάρχων, ἐκδυσώπησον, ὑπὲρ εἰρήνης τοῦ Κόσμου, αὐτὸν ὡς φιλάνθρωπον.

Δόξα. Ἦχος Πλ. α΄.

Τὸν συνάναρχον.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, δογματίσας τῷ Κόσμῳ ὡς ὁμοούσιον, τοὺς πιστοὺς ὡς ἀληθῶς κατεφώτισας. καὶ αἱρέσεων δεινὰς, ἐρεσχελίας καθελὼν, παρίστασαι τῷ Κυρίῳ, ὑπὲρ ἡμῶν ἱκετεύων, τῶν σὲ ὑμνούντων Ῥωμανὲ θαυμάσιε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὸν ἐκ σοῦ σαρκωθέντα Θεὸν καὶ Κύριον, δι' ἡμᾶς τοὺς φθαρέντας τοῖς ἁμαρτήμασι. τοῦτον ἱκέτευε θερμῶς, τοῦ οἰκτειρῆσαι ἡμᾶς, καὶ ἀποστρέψαι τὸν θυμὸν, καὶ τὴν ὀργὴν αὐτοῦ Σεμνὴ, ἀπὸ τῶν πίστει τιμώντων, καὶ εὐφημούντων ἀπαύστως, τὴν δυναστείαν καὶ τὸ κράτος σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν Σταυρῷ σε ὁρῶσα Χριστὲ ἡ Μήτηρ σου, ἑκουσίως ἐν μέσῳ λῃστῶν κρεμάμενον, κοπτομένη μητρικῶς, τὰ σπλάγχνα ἔλεγεν· ἀναμάρτητε Υἱὲ, πῶς ἀδίκως ἐν Σταυρῷ, ὥσπερ κακοῦργος ἐπάγης; γένος τὸ τῶν ἀνθρώπων, ζωῶσαι θέλων ὡς ὑπεράγαθος.



Digitized by Google

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ὑπὸ σοῦ παιδευόμενος, ἀθλοφορικῶς τροποῦται τὸν θάνατον, Ἀνανίας ὁ ἀοίδιμος, διὰ σοῦ βραβεῖα κομιζόμενος.

Μαθητὴς ἐχρημάτισας, τοῦ διωκομένου Λόγου ἀοίδιμε, Ἀνανία καὶ Διδάσκαλος, τῆς θεοσεβείας τῷ διώκοντι.

Ἐνεφάνισε Κύριος, Σαύλῳ ἀομμάτῳ σὲ τὸν κρυπτόμενον, καὶ ὑπέδειξε μεσίτην σε, Ἀνανία τούτῳ τῆς ἰάσεως. Θτ.

Τὸν Θεὸν ὃν ἐκύησας, ἄχραντε Παρθένε, τοῦτον ἱκέτευε, ἀπὸ πάσης περιστάσεως, λυτρωθῆναι πάντας τοὺς ὑμνοῦντάς σε.

Ἄλλος. Χριστός μου δύναμις.

Δοχεῖον γέγονας, τοῦ Θείου Πνεύματος. καὶ πυρίπνοον στόμα ἀναφωνοῦν, θεῖα μελῳδήματα· καὶ καταθέλγον τὰς ψυχὰς, Ῥωμανὲ τῶν ἀνυμνούντων σε.

Ὡς λύρα πέφηνας, σὺ ἐπουράνιος, καὶ κιθάρα ἡ πᾶσαν πρὸς ἑαυτὴν, ἑλκύουσα διάνοιαν, τοῖς διηγήμασι τοῖς σοῖς, καὶ τερπνοῖς σου μελῳδήμασιν.

Ἡ χάρις ἐπνευσε, καὶ κατεσκήνωσε, τῇ ἁγίᾳ ψυχῇ σου, τοῦ παντουργοῦ, Πνεύματος πανεύφημε. καὶ σὲ δοχεῖον καὶ σοφὸν, θεηγόρον ἀπειργάσατο.

Τὸν ἐξέχεε, ταῖς τῆς προμήτορος, ἀκοαῖς μὲν ὁ ὄφις. ἀλλ' ἡ Ἁγνὴ, τοῦτον ἐξετίναξε, τῇ Ἀρχαγγέλου τῇ φωνῇ, συλλαβοῦσα καὶ τεκοῦσα Χριστόν.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Τοῖς ἐν σάλῳ λιμένα, θεῖον ἡ ἀέναος πηγή σε ἔνδοξε, τοῖς ἐν ζόφῳ φέγγος, τὸ ἀπρόσιτον φῶς ἀπειργάσατο, Ἀνανία μάκαρ, ὡς φοιτητὴν ἀξιόθεον, ἀμέμπτως ἐν σοὶ ἀναπαυσάμενον.

Ὁ ὁρῶν κεκρυμμένα, καὶ πρὸ τῆς γεννήσεως εἰδὼς τὰ σύμπαντα, σοὶ τῷ κεκρυμμένῳ, τὸν λανθάνοντα Ἥλιον ἔδειξε, τὸν ποτὲ διώκτην, μετ' οὐ πολὺ τῆς πορθουμένης, ὑπ' αὐτοῦ ἀληθείας Ἀπόστολον.

Καταλήψεως πέρας, ἡ ἀνεξιχνίαστος οἰκονομία σου. δι' αὐτῆς γὰρ Σῶτερ, ὁ φρικτὸς ἐξουδένωται θάνατος. Ἀνανίας ὅθεν, ὡς μιμητὴς καὶ Ἱεράρχης, ὑπὲρ σοῦ γεγηθὼς σφαγιάζεται. Θεοτοκίον.

Ὡς Θεὸν συλλαβοῦσα, τὸν Δημιουργὸν τῶν ἁπάντων καὶ Κύριον, γενεαί σε πᾶσαι, τῶν ἀνθρώπων Ἁγνὴ μακαρίζουσι. καὶ τῶν Ἀσωμάτων αἱ νοεραὶ ταξιαρχίαι, ὡς Μητέρα Θεοῦ σε δοξάζουσι.

Ἄλλος. Τῷ θείῳ φέγγει σου.

Ὡς εὐπρεπέστατον ἱερὸν, σκεῦος ὡς ἁγνότατον εὑρὼν, τοῦ Παρακλήτου ἡ χάρις σε, Ῥωμανὲ θεόφρον, ναὸν εἰργάσατο, φωτὶ λελαμπρυσμένον, καὶ κατεσκήνωσε.

Σεσαρκωμένον ἡ τὸν Υἱὸν, τοῦ Θεοῦ τεκοῦσα ἀληθῶς, σοῦ τὴν ψυχὴν κατεφώτισε, καὶ τὸν νοῦν ἐνθέου γνώσεως ἔπλησε, νυκτός σοι ἐπιστᾶσα ἡ Ἀειπάρθενος.

Ταῖς συγγραφαῖς σου τῶν ἱερῶν, λόγων πανοίδιμε ὀφθεὶς, τοῖς πᾶσιν ὄντως ἡδύτατος. πάντας κατευφραίνεις, πάντων φωτίζων τὸν νοῦν, καὶ πάντας ἐκδιδάσκων γνῶσιν σωτήριον. Θεοτοκίον.

Φῶς ἡ τεκοῦσα τὸν τοῦ Πατρὸς, Λόγον τὸν ἀΐδιον Ἁγνὴ, φωτιστικαῖς ταῖς πρεσβείαις σου, φώτισον τὸν νοῦν, καὶ ἀπόδιωξον τὸ σκότος τῆς ψυχῆς μου, πάναγνε Δέσποινα.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Λατρεύεις ζῶντι Θεῷ, μεμαθηκὼς ἱερώτατε, καὶ λύσας πολυσχεδῆ, ἀφρόνων κακόνοιαν, τὴν μίαν ἐδίδαξας, Ἀνανία σέβειν, τρισυπόστατον Θεότητα.

Ἐδέξω ἐν ταῖς χερσὶ, τῆς Ἐκκλησίας τοὺς οἴακας, τῷ κυβερνήτῃ Χριστῷ, φοιτήσας Ἀπόστολε. καὶ ταύτην τῷ Πνεύματι, ὡς ὁλκάδα θείαν, Ἀνανία ἐκυβέρνησας.

Ὁ πλαστουργήσας εὐθὺς, ὁδὸν εὐθύπορον στέλλεσθαι, τῷ κλεινῷ σου μαθητῇ, προσέταξας Δέσποτα, τῆς δικαιοτάτης σου, ἐκλογῆς τὸ σκεῦος, ἐκκαλύπτων προσερχόμενον. Θεοτοκίον.

Ὡς ἔμψυχος κιβωτὸς, τὸν νομοδότην ἐχώρησας. ὡς Ἅγιος δὲ Ναὸς ἐδέξω τὸν ἅγιον, ἄνθρωπον γενόμενον, ἐπ'

εὐερ-

Digitized by Google

εὐεργεσίᾳ, τῶν ἀνθρώπων Μητροπάρθενε.

Ἄλλος. Τοῦ βίου τὴν θάλασσαν.

Φωτισμοῦ πληρούμενος, καὶ πρὸς ὕψος ἀρετῶν, ἐνθέων ἀναγόμενος, κατεφρόνησας πάντων τῶν ἐπὶ γῆς. καὶ στύλος οὐράνιος, καὶ φωστὴρ εὐσεβείας ἐχρημάτισας.

Σαρκὸς κατεμάρανας, τὰς ὀρέξεις καὶ ψυχὴν, τὴν σεαυτοῦ ἐκόσμησας, λαμπροτάταις ἁγνείας μαρμαρυγαῖς, καὶ κάλλος ἐράσμιον, ἀρετῶν εὐμορφίᾳ περιέθηκας.

Μισήσας τὴν πρόσκαιρον, καὶ ματαίαν καὶ σαθρὰν, καὶ ῥέουσαν ἀπόλαυσιν, τῷ Ναῷ τῆς Παναγνου προσκαρτερῶν, τὸν νοῦν καθηγίασας, καὶ ψυχὴν καὶ τὸ σῶμα ἀξιάγαστε. Θεοτοκίον.

Ἅπαντες προβλέποντες, οἱ Προφῆται τηλαυγῶς, τὴν ἐσομένην ὕστερον, ἐκ Παρθένου Χριστέ σου ἐπὶ τῆς γῆς, παράδοξον γέννησιν, ἐμφανῶς οἱ θεόπται προηγόρευσαν. Ὁ Εἱρμός.

„Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην „καθορῶν, τῶν πειρασμῶν τῷ κλύ-„δωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμὼν, „βοῶ σοι· ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν „μου πολυέλεε.

Κοντάκ. Ἦχος β΄. Τὴν ἐν πρεσβείαις.

Ὁ ἐν πρεσβείαις θερμότατος ἀντιλήπτωρ, καὶ τοῖς αἰτοῦσι ταχύτατα εἰσακούων, δέξαι τὴν δέησιν Ἀνανία ἡμῶν. καὶ τῷ Χριστῷ δυσώπει τοῦ ἐλεῆσαι ἡμᾶς, ὁ μόνος ἐν ἁγίοις δοξαζόμενος. Ὁ Οἶκος.

Τῷ φωτισμῷ τῆς ἐλλάμψεώς σου, ἐκκαθάρας Σωτὴρ μου τὴν ἀχλὺν, τῆς ἐμῆς καρδίας τε καὶ τὴν πώρωσιν, δίδου μοι λόγον ἀνυμνῆσαι, καθαρῷ συνειδότι τοῦ Ἀποστόλου τὰς θεαυγεῖς ἀρετὰς, καὶ τοὺς ἄθλους τοῦ Μάκαρος. πηγὴ γὰρ σὺ εἶ σοφίας καὶ δοτὴρ ἀγαθὸς πολυεύσπλαγχνε. διὸ τρανώσας τὴν γλῶτταν μου, τὸν ἐφύμνιον ὕμνον μου πρόσδεξαι. Ὁ μόνος ἐν ἁγίοις δοξαζόμενος.

Μὴν Ὀκτώβριος, ἔχων ἡμέρας λά. ἡ ἡμέρα ἔχει ὥρας ια΄. καὶ ἡ νὺξ ὥρας ιγ΄.

Εἰς τὴν α΄. Τοῦ Ἁγίου Ἀποστόλου Ἀνανίου.

Στίχ. Λίθοις νέμειν θέλοντα μηδαμῶς σέβας.
Ἀνανίαν βάλλουσι, δυσσεβεῖς λίθοις.
Λάσθη Ἀνανίας Ὀκτωβρίου ἤματι πρώτῳ.

Οὗτος ὁ Ἅγιος Ἀνανίας ὁ Ἀπόστολος ὑπῆρχεν ἐκ πόλεως Δαμασκοῦ, ὃς καὶ Παῦλον ἐβάπτισε δι' ἀποκαλύψεως, γενόμενος Ἐπίσκοπος ἐν τῇ αὐτῇ πόλει. τελῶν οὖν πολλὰς ἰάσεις ἐν Δαμασκῷ, καὶ ἐν Ἐλευθερουπόλει, καὶ πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐπισπώμενος πίστιν, ὑπὸ Λουκιανοῦ Ἡγεμόνος τύπτεται βουνεύροις, καὶ τὰς πλευρὰς ξέεται, καὶ λαμπάσι καταφλέγεται, καὶ ἐξωθεὶς τῆς Πόλεως, λιθοβολεῖται, καὶ οὕτω πληροῖ τὸ μαρτύριον, καὶ πρὸς τὰς αἰωνίους σκηνὰς ἀπαίρει.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Μιχαὴλ ἐκ τῆς Μονῆς Ζώβης, καὶ τῶν σὺν αὐτῷ λς΄. Ἁγίων Μοναχῶν, τῶν μαρτυρησάντων ἐν τῇ ἐνορίᾳ Σεβαστουπόλεως.

Στ. Τμηθεὶς Μιχαὴλ σὺν Μαθηταῖς τρισδέκα.
Χορῷ συνήφθη τῶν Μοναστομαρτύρων.

Οὗτοι οἱ Ἅγιοι ὑπῆρχον ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης, καθεζόμενοι ἐν Μοναστηρίῳ λεγομένῳ Ζώβη, πλησίον Σεβαστουπόλεως. ἐκστρατεύσας δὲ Ἀλεὶμ ὁ Ἀμηρᾶς τῶν Ἀγαρηνῶν κατὰ τῆς χώρας ἐκείνης, ἐκράτησε τοὺς Ἁγίους. οἱ δὲ Ὅσιοι Πατέρες ἀντέστησαν αὐτῷ, κραταιούμενοι τῇ δυνάμει τοῦ Χριστοῦ, καὶ στὰς ἐν μέσῳ Μιχαὴλ ὁ ὁσιώτατος Ἡγούμενος, καὶ κατηχήσας, ὡδήγησε πάντας πρὸς τὸν ὑπὲρ Χριστοῦ θάνατον. καὶ πρῶτοι τοὺς αὐχένας κλίναντες, ἀπετμήθησαν, εἶθ' οὕτως ὁ πανόσιος Μιχαήλ.

Οἱ Ἅγιοι ἓξ Ὁσιομάρτυρες, ξίφει τελειοῦνται.

Στ. Ἓξ συμμονασταὶ τοὺς ἑαυτῶν ἀνδύας,
Ἄθλοις ἐρυθραίνουσι τοῖς διὰ ξίφους.

Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ῥωμανοῦ τοῦ Ποιητοῦ τῶν Κοντακίων.

Στίχ. Καὶ πρὶν μὲν ὕμνει Ῥωμανὸς Θεὸν Λόγον,


Digitized by Google

Ὑμνεῖ δὲ καὶ νῦν, ἀλλὰ καὶ σὺν Ἀγγέλοις.

Οὗτος ὁ ἐν Ἁγίοις Ῥωμανὸς ὑπῆρχεν ἀπὸ Συρίας ἐκ τῆς Ἐμεσηνῶν Πόλεως, Διάκονος γενόμενος τῆς ἐν Βηρυτῷ Ἁγίας Ἐκκλησίας. Καταλαβὼν δὲ τὴν Κωνσταντινούπολιν, ἐν τοῖς χρόνοις Ἀναστασίου τοῦ Βασιλέως, κατέμενεν ἐν τῷ Ναῷ τῆς Ὑπεραγίας Θεοτόκου, ἐν τοῖς Κύρου, ἐν εὐλαβείᾳ διάγων, καὶ διανυκτερεύων ἐν τῇ παννυχίδι τῶν Βλαχερνῶν. Ἐπετέλει οὖν ἐκεῖσε τὴν παννυχίδα, καὶ πάλιν ὑπέστρεφεν ἐν τοῖς Κύρου, ἔνθα καὶ τὸ χάρισμα τῆς συντάξεως τῶν Κοντακίων ἔλαβεν, ἐπιφανείσης αὐτῷ τῆς Ὑπεραγίας Θεοτόκου κατ' ὄναρ, καὶ τόμον χάρτου ἐπιδούσης, καὶ κελευσάσης αὐτὸν καταφαγεῖν. ἔδοξεν οὖν ἀνοῖξαι τὸ στόμα, καὶ καταπιεῖν τὸν χάρτην. ἦν δὲ ἡ Ἑορτὴ τῶν Χριστοῦ γεννῶν. καὶ εὐθέως ἔξυπνος γενόμενος, ἀναβὰς ἐν τῷ ἄμβωνι, ἤρξατο ψάλλειν· Ἡ Παρθένος σήμερον τὸν ὑπερούσιον τίκτει. καὶ ποιήσας καὶ τῶν λοιπῶν Ἑορτῶν τὰ Κοντάκια, ἀλλὰ δὴ καὶ τῶν ἐπισήμων Ἁγίων, ὡς εἶναι τὸ πλῆθος τῶν ὑπ' αὐτοῦ γενομένων Κοντακίων ὑπὲρ τὰ χίλια, ἐν εἰρήνῃ ἐτελειώθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Δομνίνου.

Στίχ. Δεινὴν Δομνῖνος συντριβὴν σκελῶν φέρει.

Ὑποσκελισμὸς τοῦ Σατὰν καταισχύνων.

Οὗτος ὑπῆρχεν ἀπὸ Θεσσαλονίκης. τοῦ δὲ Μαξιμιανοῦ Βασίλεια κτίζοντος ἐν Θεσσαλονίκῃ, ὡς Χριστιανὸς ἐκρατήθη, καὶ τῷ βήματι παρέστη αὐτοῦ. ὁ δὲ μετ' ὀργῆς εἶπε πρὸς αὐτόν· διὰ τί ἐμοῦ προκαθημένου τῇ Πόλει, τολμᾷς Θεὸν ἕτερον ὁμολογεῖν; ἀλλὰ θῦσον τοῖς θεοῖς, εἰ βούλει ζῆν. τοῦ δὲ μὴ πειθομένου, ἐκέλευσε καταξαίνεσθαι τοῦτο τὸ σῶμα. ὡς δὲ ἑώρα ἑαυτὸν ὑπὸ τοῦ Ἁγίου καταμωκώμενόν τε καὶ γελώμενον, ἐκέλευσε πρὸς τῆς Πόλεως ἀπενεχθέντα, συντριβῆναι τὰ σκέλη. καὶ τοὺς πόδας ἀποκοπεὶς ὁ Ἅγιος Μάρτυς, ἑπτὰ ἡμέρας διεκαρτέρει ζῶν, μὴ μεταλαβὼν τροφῆς, καὶ τῷ Θεῷ οὕτως εὐχαριστῶν, παρέδωκεν αὐτῷ τὴν μακαρίαν αὐτοῦ ψυχήν.

Ταῖς αὐτῶν πρεσβείαις Χριστὲ ὁ Θεός.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἐσαλπίζετο ἐμφρόνως, ἡ θεόλεκτος ποίμνη εὐήχῳ σάλπιγγι, τοὺς ἄθλους τοῦ Ποιμένος, Ἀναμίου βοῶσα, αὐτῆς Ποιμενάρχῃ Χριστῷ· ὁ τῶν Πατέρων ἡμῶν.

Δοξαζέτω Θεοῦ σε, μαθητὴν Ἀναμία, καὶ Ἱεράρχην σεπτόν, καὶ Μάρτυρα τῶν θείων, παθημάτων φωνοῦσα, ἡ σεπτὴ Ἐκκλησία Χριστῷ· ὁ τῶν Πατέρων ἡμῶν.

Οὐ θανάτου τῷ δέει, ἀλλὰ πόθῳ τῆς ποίμνης, ἀποκρυπτόμενος, τὸν λύκον ὥσπερ ἄρνα, ὁρῶν τιθασσευθέντα, Ἀναμίας ἐκραύγαζεν· ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Παρθενικῆς ἐκ νηδύος, σαρκωθεὶς ἐπεφάνης εἰς σωτηρίαν ἡμῶν. διό σου τὴν Μητέρα, εἰδότες Θεοτόκον, εὐχαρίστως κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Οἱ παῖδες ἐν Βαβυλῶνι.

Τὴν Θεοτόκον Μαρίαν, θεόφρον ἔχεε διδάσκαλον, συνετίζουσάν σε, καὶ μυοῦσαν καὶ ψάλλειν προτρέπουσαν· εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῶν σῶν ῥημάτων ὁ φθόγγος, τὴν Οἰκουμένην ἐπλήρωσε, καὶ τερπνῶς μελῳδεῖν τοὺς ἀνθρώπους, Χριστῷ παρεσκεύασεν. εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἐξέλαμψας ἐν τῷ Κόσμῳ, ὡς φαεινότατος Ἥλιος, Ῥωμανὲ καὶ πυρσὸς καταυγάζων, τοὺς ἐν πίστει κραυγάζοντας· εὐλογητὸς εἶ Κύριε ὁ Θεός. Θτ.

Σὲ νῦν μακαρίζουσι πᾶσαι, αἱ γενεαὶ τῶν ἀνθρώπων σε, Θεοτόκε Ἁγνὴ ὡς προέφης, καὶ πίστει δοξάζουσιν. εὐλογημένος πανάγνε, ὁ καρπὸς τῆς κοιλίας σου.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ζωγραφεῖν ἐνόμιζεν, Ἀναμίας ὁ ἔνδοξος, ἐξ ἁρπακτικῆς, τοῦ πορθητοῦ τῆς ποίμνης σου, δυνάμεως Δέσποτα, τὴν ὑπὲρ



Digitized by Google

περ λόγον ἄμειψιν, πρὸς ποιημαστικήν. ὅθεν σκιρτῶν ἀνεβόα· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε.

Ἀγαλλιάσθω σήμερον, καὶ σκιρτάτω τῷ πνεύματι, ἡ πανάκλεης, καὶ μακαρία Πόλις σου, τὴν σὴν ἀνυμνήσασα, ἐπιστασίαν ἔνδοξε, καὶ εὐχαριστοῦσα τῷ Σωτῆρι βοάτω· οἱ Παῖδες εὐλογεῖτε.

Ζωοποιῷ προστάγματι Ἀνανία ὑπέρτιμε, τὴν Φωτοποιὸν, τοῦ ὁραθέντος δύναμιν, τῷ Σαύλῳ ἐκήρυξας, καὶ ἀπεκρούσω πήρωσιν, τὰς ἀλεξικάκους, ἐπιθεὶς σου παλάμας, βολίδας βρακοντίους, ἐκβαλὼν ὡς λεπίδας, βοῶν· ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Ἡ ἐν ἀνάγκαις σῴζουσα, καὶ θερμῶς προστατεύουσα, πάντας τοὺς ἐν θλίψει, Παναγία Δέσποινα, σπλαγχνίσθητι σῶσόν με, καὶ πεπτωκότα ἔγειρον. χεῖρα βοηθείας, πρὸ τοῦ τέλους διδοῦσα, μὴ νύξ με τοῦ θανάτου, καταλάβῃ ὑπνοῦντα, ἵνα σε καταξίως, δοξάζω εἰς αἰῶνας.

Ἄλλος. Νόμων πατρῴων.

Πᾶσαν τοῦ Κόσμου τὴν τερπνότητα, καὶ τὴν τρυφὴν καὶ δόξαν ἀποσεισάμενος, τὴν ψυχήν σου ἀνεπτέρωσας, πρὸ τὰς ἄνω χορείας, πρὸς τὰς ἐκείνων, δόξας καὶ λαμπρότητας ἀεὶ, πρὸς τὰ κάλλη τὰ ἄρρητα, πρὸς μονὰς τὰς ἐκεῖσε, πρὸς φῶς τῆς Θεαρχίας κραυγάζων· σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Θείῳ πόθῳ πυρπολούμενος, τὰς ἀναβάσεις ἔθου ἐν τῇ καρδίᾳ σου, καὶ ἀσώματον ἐν σώματι, πολιτείαν ἐκτήσω, τὰς τῶν Ἀγγέλων, τάξεις ἐκμιμούμενος σοφὲ, τὰς ἐκείνων ἐπόθησας ἐν Κόσμῳ μελῳδίας, ἐν πίστει Ῥωμανὲ ἀνακράζων· σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Ὑψηγορία τῶν ἐνθέων σου, καὶ γλυκυτάτων λόγων μακαριώτατε, Ῥωμανὲ πᾶσαν διάνοιαν, καταθέλγεις ἀνθρώπων καὶ κατευφραίνεις, οἷά τις τροφὰς πλουτοποιός, καὶ φωτίζεις φαιδρότατα, καὶ βοᾶν ἐκδιδάσκεις· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε.

Θεοτοκίον.

Ἰσοθεΐα δελεάσας με, ὁ βροτοκτόνος ὄφις ὁ σκολιώτατος, ὡς αἰχμάλωτον ἀφήρπασε, τρυφῆς τοῦ Παραδείσου. ἀλλ' ὁ Δεσπότης, φύσει ὁ Υἱὸς ὁ τοῦ Θεοῦ σαρκωθεὶς, ἐπεδήμησεν ἐκ Παρθένου Μαρίας, καὶ ἦρέ με πρὸς ὕψος θεώσας, ὃν ὑπερυψοῦμεν εἰς πάντας. Ὁ Εἱρμός.

„Νόμων πατρῴων οἱ μακαριστοὶ, ἐν
„Βαβυλῶνι Νέοι προκινδυνεύοντες,
„βασιλεύοντος κατέπτυσαν, προσταγῆς
„ἀλογίστου. καὶ συνημμένοι, ᾧ οὐκ ἐχωνεύ-
„θησαν πυρὶ, τοῦ κρατοῦντος ἐπάξιον ἀνέ-
„μελπον τὸν ὕμνον· τὸν Κύριον ὑμνεῖ-
„τε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας
„τοὺς αἰῶνας.

Ὠδὴ θ'. Σὲ τὴν ἀπειρόγαμον.

Ἔλυσας πανεύφημε, τὸ σκότος τὸ τῆς ἀγνωσίας, φῶς δὲ ἀληθῶς ἐξήστραψας, Δαμασκῷ τρισυπόστατον, ἀλλὰ ὡς φιλότεκνος Πατὴρ, καὶ φιλόστοργος Ποιμενάρχης, ὀρθοδοξοῦσαν ταύτην φύλαττε.

Ταύτην τὴν ἐτήσιον, πανήγυριν ἐπιτελοῦντες, δεῦτε φωταυγεῖ ἐκλάμποντες, τῆς ψυχῆς ἀξιώματι, τοῦ τῆς Τριάδος λατρευτοῦ τε καὶ κήρυκος Ἀνανίου, τὴν τρισφεγγῆ ἀρετὴν μέλψωμεν.

Ὢ τῆς ὑπὲρ ἄνθρωπον, ἀξίας μάκαρ Ἀνανία. ὡς γὰρ μαθητὴς ἠγάπησας, ὡς Ποιμὴν ἀναπέπαυσαι, καὶ ὡς ἀθλοφόρος, τῷ Χριστῷ συνδεδόξασαι, τοῖς στεφάνοις μαρτυρικῶς ἀγλαϊζόμενος.

Θεοτοκίον.

Ἄχραντε πανάμωμε, τὸ σκεῦος τὸ τῆς εὐωδίας, αἴτησαι Χριστὸν ὃν ἔτεκες, Βασιλεῖ μὲν τὰ τρόπαια, τοῦ τῆς δουλείας δὲ ζυγοῦ, δοῦναι τὴν ἄφεσιν τῷ λαῷ σου· σὲ γὰρ ἀπαύστως μεγαλύνομεν.

Ἄλλος. Ἀπορεῖ πᾶσα γλῶσσα.

Ταῖς ἀνωτάταις ἔνδοξε, χορείαις συνήφθης τῶν ἀσωμάτων, ἔνθα ἡ ἀνέκφραστος ὑπάρχει εὐφροσύνη, καὶ διηνεκὴς ἀπόλαυσις. ἔνθα ἐκεῖνο, τῆς Θεαρχίας φάος ὑπάρχει καὶ χαρά. ἔνθα ἡ ἀνεκλάλητος δόξα μακαριώτατε.


Digitized by Google

Μετὰ δικαίων ἔνδον, εἰς Θεοῦ θείαν Δόξαν κατασκηνώσας, βλέπεις τὴν τερπνότητα, τὴν ἄφραστον ἐκείνην. βλέπεις τὴν τρυφὴν τὴν ἄληκτον. βλέπεις τὰ κάλλη τῶν Οὐρανῶν, τὰ ὄντα ἐράσμια σοφέ. βλέπεις Πατριαρχῶν τὰς χορείας Ῥωμανὲ ἔνδοξε.

Ἐν τὴν φωσφόρον μνήμην, τοὺς πιστῶς ἐκτελοῦντας, ἐκ τῶν κινδύνων, λύτρωσαι πρεσβείαις σου, Θεόφρον καὶ ἐκ πάσης, βλάβης Ῥωμανὲ καὶ θλίψεως τοῦ ἀλλοτρίου, καὶ τῆς ἐπουρανίου ἀξίωσον τυχεῖν, δόξης καὶ Βασιλείας, τῆς ἄνω μακαριώτατε.

Ὡραϊσμένος κάλλει, ἀσυγκρίτῳ θεόφρον, τῷ τῆς Τριάδος, καὶ πεποικιλμένος λαμπηδόνας ἐξαστράπτεις, καὶ περιχαρῶς πανόλβιε περιπολεύεις, περὶ τὸν θρόνον ὄντως τοῦ κτίστου καὶ Θεοῦ. ἔνθα ἑορταζόντων ὁ ἦχος, Ῥωμανὲ ἔνδοξε.

Θεοτοκίον.

Ὑπὸ τῆς πάλαι, πτώσεως ἀνθρώπων τὸ γένος, τοῦ πρωτοπλάστου, γεγονὸς αἰχμάλωτον Παρθένε Θεοτόκε, καὶ δεδουλωμένον πάθεσι, τῆς ἁμαρτίας. ἀλλ' ὁ ἐκ σοῦ τεχθεὶς ὑπεράγαθος Θεὸς, τοῦτο τῇ ἑαυτοῦ εὐσπλαγχνίᾳ ἀνεκαλέσατο.

Ὁ Εἱρμός. Ἀπορεῖ πᾶσα γλῶσσα.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Ἀρχαῖος μαθητὴς Χριστοῦ, γεγονὼς Ἀνανία, τῷ νέῳ τὴν ἀνάβλεψιν, μαθητῇ σὺ βραβεύεις, Παύλῳ τῷ θείῳ. διό σε, σὺν αὐτῷ εὐφημοῦμεν, ὡς Ἱεράρχην ἔνθεον, ὡς Ἀπόστολον θεῖον, ὡς ἀληθῆ, Μάρτυρα καὶ κήρυκα θηγόρον, καὶ πρεσβευτὴν θερμότατον, πάσης τῆς Οἰκουμένης.

Θεοτοκίον. Ὅμοιον.

Ἐν θεοπνεύστοις ᾄσμασι, κατεστράπτωσας μάκαρ, τὴν τοῦ Χριστοῦ ἀπόρρητον, θείαν οἰκονομίαν, καὶ ὕμνοις ἔστεψας πάντας, Ῥωμανὲ τοὺς Ἁγίους. μεθ' ὧν φαιδρῶς ἀνύμνησας. τὴν Ἁγνὴν καὶ Παρθένον, καὶ ἀληθῆς, τοῦ Θεοῦ Μητέρα πάνσοφε Πάτερ. μεθ' ἧς ἡμῶν μνημόνευε, παρεστὼς τῇ Τριάδι.

Εἰς τὸν στ. στιχηρὰ τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος πλ. δ'. Ἀνατολίου.

Μαθητὰ τοῦ Σωτῆρος, Ἀρχιεράρχα ἔνδοξε, κλέος Μαρτύρων, Ἀνανία φωστὴρ φαεινότατε, ἡμῶν δὲ πολιοῦχε, ἐκτενῶς ἱκέτευε, ῥυσθῆναι τὴν ποίμνην σου, ἐκ κινδύνων, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτ. Ὢ τοῦ Παραδόξου.

Ἤδη τὰ μακρὰν ποιοῦντά με, τοῦ ἀγαθοῦ σου Υἱοῦ, ἀγαθὴ καὶ πανάμωμε, πόρρω μου ἀπέλασον, τῆς ἀθλίας καρδίας μου. καὶ τὸν ζητοῦντα καὶ ὠρυόμενον, καταπιεῖν με κάκιστον λέοντα, ὄφιν τὸν δόλιον, σκολιὸν καὶ δράκοντα, τὸν πονηρὸν, σύντριψον τῷ κράτει σου, ὑπὸ τοὺς πόδας μου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὢ τοῦ παραδόξου θαύματος. ὢ μυστηρίου καινοῦ. ὢ φρικτῆς ἐγχειρήσεως. ἡ Παρθένος ἔλεγεν· ἐν Σταυρῷ σε ὡς ἔβλεψεν, ἐν μέσῳ δύω λῃστῶν κρεμάμενον, τὸν ἀνωδύνως φρικτῶς κυήσασα. ἔκλαιε κράζουσα, οἴμοι τέκνον φίλτατον, πῶς σε δεινὸς, δῆμος καὶ ἀχάριστος, Σταυρῷ προσήλωσεν.

Εἰς τὴν Λειτουργίαν, οἱ μακαρισμοὶ τοῦ ἤχου, καὶ ἀπὸ τοῦ Κανόνος τοῦ Ἀποστόλου. Προκείμενον. ἦχος πλ. α'. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. στ. Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ Ἀπόστολος, Πράξεων τῶν Ἀποστόλων. Ἐν ταῖς ἡμέραις ἐκείναις ἦν τίς. Ζήτει τῇ παρασκευῇ τῆς γ'. Ἑβδομάδος τοῦ Πάσχα ἀπὸ τοῦ μέσου. Ἀλληλούϊα. Ἦχος α'. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον κατὰ Λουκᾶν. Εἶπεν ὁ Κύριος, ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. Καὶ τὰ ἑξῆς.

## Τῷ αὐτῷ Μηνὶ Β'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Κυπριανοῦ, καὶ Ἰουστίνης τῆς Παρθένου. στ. Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἱερέων ἐν χρίσματι, καὶ Μαρτύρων ἐν αἵματι, τῷ Θεῷ προσήγγισας, τελεώτατα, Κυπριανὲ πανάοιδιμε, τὸ ἄνθος

τῆς

τῆς φύσεως, ἡ τῶν λόγων καλλονή. τῆς σοφίας ἀκρόπολις, τῆς ὀρθότητος. τῶν δογμάτων ἡ στάθμη, τῶν κανόνων, παναρμόνιος εὐθύτης, Ἐκκλησιῶν ἡ εὐπρέπεια.

Τῶν ἀθλούντων τὴν εὔκλειαν, τῶν Μαρτύρων τὸν στέφανον, ὑπογράφων ἔπεισας, τοὺς θεόφρονας, κατατολμᾶν γενναιότατα, ποικίλων κολάσεων, καὶ δεσμῶν καὶ φυλακῆς, καὶ σωμάτων γυμνώσεως, καὶ στρεβλώσεων, καὶ κρυμοῦ δριμυτάτου καὶ μαστίγων, καὶ θανάτου τελευταίου, Κυπριανὲ πανσεβάσμιε.

Ἐπῳδαῖς ταῖς τοῦ δαίμονος, τὰς ᾠδὰς τὰς τοῦ Πνεύματος, καὶ Σταυροῦ τὸ τρόπαιον, ἀντιτάξασα, τὴν παρθενίαν ἐτήρησας. καὶ Μάρτυς ἀήττητος, προσηνέχθης τῷ Χριστῷ, ἱερώτατον σφάγιον. ὅθεν ἔτυχες, τῶν στεφάνων τῆς νίκης, Ἰουστίνα, τῶν παρθένων καὶ Μαρτύρων, κεκοσμημένη φαιδρότησιν.

Δόξα. Ἦχος β'.

Διδασκαλίας τὴν πλάνην, καὶ γνῶσιν τῶν εἰδώλων, ἀπεδύσω ἀληθῶς, καὶ Σταυρὸν ἠμφιάσω, ὅπλον εἰς σωτηρίαν, Κυπριανὲ παμμακάριστε. ἔρριψας τὰς βίβλους τὰς μαγικάς, τὸν ἄνθρωπον ἀπέθου τὸν παλαιόν, καὶ ᾤκησεν ἐν σοὶ Θεογνωσία, ἡ Τριὰς ἡ ὁμοούσιος. αὐτὴν ἱκέτευε, Ἱεράρχα, σὺν Ἀγγέλοις τοῦ σωθῆναι ἡμᾶς.

Καὶ νῦν. Θεοτ. Ὅτε ἐκ τοῦ ξύλου σε.

Πάντων, θλιβομένων ἡ χαρά, καὶ ἀδικουμένων προστάτις, καὶ πενομένων τροφή, ξένων τε παράκλησις, χειμαζομένων λιμήν, ἀσθενούντων ἐπίσκεψις, καταπονουμένων, σκέπη, καὶ ἀντίληψις, καὶ βακτηρία τυφλῶν. Μήτηρ τοῦ Θεοῦ τοῦ ὑψίστου, σὺ ὑπάρχεις Ἄχραντε σπεῦσον, δυσωποῦμεν σῶσαι καὶ τοὺς δούλους σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ξύλῳ τοῦ Σταυροῦ σε Ἰησοῦ, προσαναρτηθέντα ὁρῶσα ἡ ἀπειρόγαμος, ἔκλαιε καὶ ἔλεγε· τέκνον γλυκύτατον, ἵνα τί ἐγκατέλιπες, ἐμὲ τὴν τεκοῦσαν, μόνην φῶς ἀπρόσιτον, τοῦ προανάρχου Πατρός; σπεῦσον, καὶ δοξάσθητι· ὅπως, δόξης ἐπιτύχωσι θείας, οἱ τὰ θεῖα πάθη σου δοξάζοντες.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος β'.

Τὸν φωστῆρα τὸν θεολαμπῆ, τὸν τοῦ Παύλου συνόμιλον, καὶ ἔργοις συμμέτοχον, Κυπριανὸν εὐφημήσωμεν. μετ' Ἀγγέλων γὰρ ἀγάλλεται, λαβὼν τὸ στέφος τῆς ἀφθαρσίας παρὰ τοῦ μόνου Θεοῦ· καὶ πρεσβεύει, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτ. Ὅτε ἐκ τοῦ ξύλου σε.

Ἄλλην, κραταιὰν καταφυγήν, καὶ ἰσχύος πύργον, καὶ τεῖχος ἀκαταμάχητον, ὄντως οὐ κεκτήμεθα, εἰμὴ σὲ πάναγνε, καὶ πρὸς σὲ καταφεύγομεν, καὶ σοὶ ἐκβοῶμεν· Δέσποινα βοήθησον, μὴ ἀπολλώμεθα, δεῖξον εἰς ἡμᾶς τὴν σὴν χάριν, καὶ τῆς δυναστείας τὴν δόξαν, καὶ τῆς εὐσπλαγχνίας σου τὸ μέγεθος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὅτε ἡ ἀμίαντος ἀμνάς, ἔβλεψε τὸν ἴδιον ἄρνα, ἐπὶ σφαγὴν ὡς βροτόν, θέλοντα ἑλκόμενον, θρηνοῦσα ἔλεγεν· ἀτεκνῶσαι νῦν σπεύδεις με, Χριστὲ τὴν τεκοῦσαν. τί τοῦτο πεποίηκας, ὁ λυτρωτὴς τοῦ παντός; ὅμως, ὑμνῶ καὶ δοξάζω, σοῦ τὴν ὑπὲρ νοῦν τε καὶ λόγον, ἄκραν ἀγαθότητα φιλάνθρωπε.

Ἀπολυτίκιον. Ἦχος δ'.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν. διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος. Ἱερομάρτυς Κυπριανέ, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. Οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου, Οὗ ἡ ἀκροστιχίς.

Μέλπω μάκαρσου τὴν κυπρίζουσαν χάριν.

Ὠδὴ α'. Ἦχος δ'.

Θαλάσσης τὸ ἐρυθραῖον.

Μετὰ τῆς ὑπερκοσμίου τάξεως, νῦν αὐλιζόμενος, ὦ ἱερὰ καὶ θεία κεφαλή,

Digitized by Google

λῆ, ὑρανόθεν ἐπίβλεψον, τοὺς ἀσεβῶς ὑμνοῦντάς σε, ταῖς σαῖς πρεσβείαις περιφρούρησον.

Ἐν ζόφῳ τῆς ἀγνωσίας πρότερον, δεινῶς κρατούμενος, καὶ ψυχολέθροις πάθεσι σαρκὸς, ἀκρασίᾳ πυρούμενος, μεταβολὴν παράδοξον, εὗρες ἀθρόως παμμακάριστε.

Ποιμὼν μὲν ἐπὶ καθέδραν πρότερον, Πάτερ ἐκάθησας, καὶ ἐν καθέδρᾳ πάλιν τὸν Χριστὸν, Πρεσβυτέρων ἐδόξασας, ἀλλοιωθεὶς σαφέστατα, τῇ τοῦ ὑψίστου θείᾳ χάριτι. Θεοτοκίον.

Παρθένος μετὰ τὸν τόκον ἔμεινας, αὐτὸν γὰρ τέτοκας, τὸν Ποιητὴν τῶν ὅλων καὶ Θεὸν, ἀσυνήθως καὶ ξένως ἡμῖν, ἐπιφανέντα σώματι, Θεογεννῆτορ Μητροπάρθενε.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Ὡς Παῦλος πρὸς τὸν Χριστὸν, τὴν τῆς ψυχῆς, μεταβαλὼν ἔφεσιν, Κυπριανὲ πάνσοφε, τούτου μαθητὴς ἐχρημάτισας.

Μισθώσεταί σε Χριστὸς, ἀντὶ χιτῶνος τῶν παθῶν δόξης σοι, καταστολὴν δωρούμενος, καὶ ἀναγεννήσεως ἔνδυμα.

Ἀλείπτης μαρτυρικὸς, προηγουμένως καρτερικὸς ὕστερον, Κυπριανὲ παμμάκαρ, μάρτυς ἀληθείας γεγένησαι.

Θεοτοκίον.

Κυρίως καὶ ἀληθῶς, σὲ Θεοτόκον οἱ πιστοὶ σέβομεν· σὺ γὰρ Θεὸν τέτοκας, σάρκα γεγονότα Παμάμωμε.

Ὁ Εἱρμός.

„Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου
„Χριστὲ κράζουσα· σύ μου ἰσχὺς Κύ-
„ριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Παιδευθεὶς ἐν τῇ πλάνῃ ἐπιμελῶς, ὡς ὁ Παῦλος ἐκλήθης ἐξ Οὐρανοῦ. Σταυρῷ ὁδηγούμενος, πρὸς τὸ φῶς τὸ τῆς γνώσεως. τῆς γὰρ σεμνῆς Παρθένου, τῷ πόθῳ φλεγόμενος, δι' αὐτῆς ἡρμόσθης, τῷ πλάστῃ τῆς κτίσεως. ὅθεν θριαμβεύσας, τοῦ ἐχθροῦ τὸ ἀνίσχυρον, σὺν αὐτῇ κατηξιώσαι, τοῦ χοροῦ τῶν Μαρτύρων, Κυπριανὲ ἱερώτατε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτ. Ὅμοιον.

Λογισμοῖς ὀλισθαίνων τοῖς πονηροῖς, εἰς βυθὸν κατηνέχθην ἁμαρτιῶν. καὶ στένων κραυγάζω σοι, ἐκ καρδίας Παμάμωμε· ἐν ἐμοὶ θαυμάστωσον, τὸ πλούσιον ἔλεος, καὶ τῆς σῆς εὐσπλαγχνίας, τὸ ἄπειρον πέλαγος, καὶ τῶν οἰκτιρμῶν σου, τὸν ἀμέτρητον πλοῦτον, καὶ δός μοι μετάνοιαν, καὶ πταισμάτων συγχώρησιν, ἵνα πόθῳ κραυγάζω σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι. σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἀμνὸν καὶ ποιμένα καὶ λυτρωτὴν, ἡ ἀμνὰς θεωροῦσα ἐν τῷ Σταυρῷ, ἠλάλαζε δακρύουσα, καὶ πικρῶς ἀνεκραύγαζεν. ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν. τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν σταύρωσιν, ἣν περ ὑπομένεις, διὰ σπλάγχνα ἐλέους. μακρόθυμε Κύριε, τοῦ ἐλέους ἡ ἄβυσσος, καὶ πηγὴ ἀνεξάντλητος, σπλαγχνίσθητι καὶ δώρησαι, τῶν πταισμάτων ἄφεσιν τοῖς πίστει σου, ἀνυμνοῦσι τὰ θεῖα παθήματα.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἀπαρνήσας Θεοφάντορ τῆς περὶ μανίας, δαιμονικὴν ἀπάτην, καὶ ψυχόλεθρον πλάνην, πᾶσιν ἐθριάμβευσας, καὶ χαίρων ἐκραύγαζες· δόξα τῇ δυνάμει σου Κύριε.

Ὁμαλαίως Ἰουστῖνα κραταιουμένη, καὶ τὴν Ἁγνὴν Παρθένον καὶ κεχαριτωμένην, σφόδρα ἱκετεύουσα, τοὺς βρόχους διέφυγες, καὶ τὰ τῶν ἐχθρῶν μηχανήματα.

Στηριζομένη τῇ πίστει τοῦ σοῦ νυμφίου, καὶ τοῦ Σταυροῦ τὴν δύναμιν, περιβεβλημένη, δαίμοσιν ἀνάλωτος, βοῶσα διέμεινας, δόξα τῇ δυνάμει σου Κύριε. Θεοτ.

Ὁ κατὰ φύσιν ἐλεύθερος τὴν ἰδίαν, δούλου μορφὴν ἐπτώχευσε χρηστότητος πλούτῳ. Μῆτερ Ἀειπάρθενε, ἐκ σοῦ καθ' ὑπόστασιν, ὅλον προσλαβὼν τὸ ἀνθρώπινον.



Digitized by Google

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Ὑπέρμαχον σαφῶς, τὴν Ἁγίαν Θεομήτορα, πλουτήσασα Ἰουστῖνα, τὴν σεπτὴν Παρθενίαν, ἐτήρησας ἀμώμητον.

Τὸ ἔμψυχον Θεοῦ, καὶ τερπνότατον ἄγαλμα, τιμήσωμεν Ἰουστῖναν, τὸ ἀπόθετον κάλλος, τὸ ἄσυλον ἀνάθημα.

Ἡ νύμφη τοῦ Χριστοῦ, ἡ γνησία καὶ ἄσπιλος, τὴν ἄθλησιν τῇ ἀσκήσει, προσλαβοῦσα δικαίως, διπλοῦν στέφος κομίζεται. Θεοτοκίον.

Νοῦς οὐκ Ἀγγελικός, οὐκ ἀνθρώπινος δύναται, τὸ ἄφραστον ἑρμηνεῦσαι, καὶ παράδοξον θαῦμα, τοῦ τόκου σου Πανάχραντε.

Ὠδὴ ς'. Θύσω σοι μετὰ φωνῆς.

Κακίας, τὸν πυθμένα τὸν κάτω κατείληφας, τῆς ἀκροτάτης δὲ πάλιν, ἀρετῆς ἀνῆλθες, Πάτερ εἰς ὕψος, παραδόξως, ἀλλοιωθεὶς τῷ θείῳ βαπτίσματι.

Ὑπῆρξας, ὑπηρέτης δαιμόνων τὸ πρότερον, ἀλλὰ Χριστοῦ Θεοφάντορ, μαθητὴς ὕστερον ἀνεδείχθης, διαθέσει, τῶν ὀρεκτῶν ποθήσας τὸ ἔσχατον.

Πολλοὺς σύ, τῷ Δεσπότῃ προσήγαγες Μάρτυρας, πραγματειῶν τὴν μεγίστην, ὑποφαίνων αἵματι βραχυτάτῳ, Βασιλείαν, τῶν Οὐρανῶν θεόφρον ὠνήσασθαι. Θεοτοκίον.

Ῥῆξόν μου, τὰς σειρὰς τῶν πταισμάτων Θεόνυμφε, τῆς ἁμαρτίας τοῦ μόνου, τῆς ζωῆς τῷ μόνῳ ἐλευθερίαν, δωρουμένη, ἡ δοτῆρα τοῦ μόνου κυήσασα.

Ὁ Εἱρμός.

„ Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε,
„ ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύ-
„ θρου κεκαθαρμένη· τῷ δι' οἶκτον ἐκ τῆς
„ πλευρᾶς σου ῥεύσαντι Αἵματι.

Κοντάκ. Ἦχος Πλ. δ'. Ὡς ἀπαρχάς.

Ὡς Ἱεράρχην τίμιον, καὶ ἀθλητὴν στερρότατον, ἡ Οἰκουμένη ἀξίως γεραίρει σε, Κυπριανὲ ἀοίδιμε. καὶ τοῖς ὕμνοις δοξάζει, τὴν ἁγίαν σου μνήμην, αἰτοῦσα πάντοτε, πταισμάτων ἄφεσιν, διὰ σοῦ δωρηθῆναι, τοῖς μέλπουσιν· Ἀλληλούϊα.

Ὁ Οἶκος.

Τὸν σοφὸν Ἱεράρχην τιμήσωμεν, ὡς ποιμένα σοφὸν καὶ Διδάσκαλον, ὅτι ἐξ ἀκανθῶν πλάνης ἐξήνθησεν, ὥσπερ ῥόδον τερπνότατον, καὶ ἡμᾶς τοὺς πιστοὺς κατεμύρισεν, ἰαμάτων ὀδμαῖς, καὶ βολαῖς θαυμάτων. ὥστε ψάλλειν ἡμᾶς τοῦ Δαβὶδ τὴν ᾠδήν, Ἀλληλούϊα.

Τῷ αὐτῷ Μηνὶ Β'. Τοῦ Ἁγίου Ἱερομάρτυρος Κυπριανοῦ, καὶ Ἰουστίνης.

Στ. Ἀλγεῖ Σατανᾶς τὸν πάλαι φίλον βλέπων,
Ξίφει φιλοῦντα, συνθανεῖν Ἰουστίνῃ.
Τμήθη δευτερίῃ σὺν Ἰουστίνῃ Κυπριανός.

Οὗτος ὑπῆρχεν ἀπὸ Ἀντιοχείας τῆς Συρίας ἐπὶ Δεκίου τοῦ Βασιλέως, ἀγενὴς καὶ πλούσιος, φιλόσοφος καὶ μάγος ἄκρος. ἠγρεύθη δὲ πρὸς τὴν εἰς Χριστὸν πίστιν παρὰ Ἰουστίνης τῆς Παρθένου καὶ Χριστιανῆς, πάσας τὰς δαιμονικὰς αὐτοῦ ἐνεργείας, ὡς ἱστὸν ἀράχνης διαλυσάσης, ὁρμωμένης καὶ αὐτῆς ἐξ Ἀντιοχείας. ἀνὴρ γάρ τις ἕλλην, Ἀγλαΐδας λεγόμενος, ἔρωτι τοῦ κάλλους αὐτῆς τρωθείς, καὶ μὴ τυχὼν τοῦ σκοποῦ, προσῆλθε τῷ Κυπριανῷ. ὁ δὲ ἐκ τρίτου δαίμονας ἐξαποστείλας πρὸς τὴν Κόρην, οὐδὲν ἤνυσεν. ὡς γοῦν ἔγνω τὴν ἑαυτοῦ τέχνην ἀπρακτοῦσαν, ἐβαπτίσθη, καὶ κατακαύσας τὰ μαγικὰ αὐτοῦ βιβλία, ἐπίστευσε τῷ Κυρίῳ. γίνεται δὲ καὶ τελευταῖον Ἐπίσκοπος. καὶ πολλοὺς ὁδηγήσας πρὸς τὴν εἰς Χριστὸν πίστιν, ἐκρατήθη παρὰ τοῦ τῆς Δαμασκοῦ Κόμητος σὺν Ἰουστίνῃ. καὶ τὰς πλευρὰς ξέονται· καὶ σιδηρῷ τηγάνῳ ἐμβάλλονται. καὶ ἐπὶ Νικομήδειαν ἀπαχθέντες, τὰς κεφαλὰς ἀφαιροῦνται. ὁ δὲ μέγας Γρηγόριος ὁ Θεολόγος, οὐχ ἕτερον, ἀλλ' αὐτὸν ἐραστὴν τῆς Παρθένου φησί. τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ αὐτῶν μαρτυρείῳ, τῷ ὄντι πέραν ἐν τοῖς Σολομῶντος.

Τῇ αὐτῇ ἡμέρα, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοφίλου τοῦ Ὁμολογητοῦ.

Στίχ. Ἐναντίον μου σὴ τελευτὴ τιμία.
Λέγει Θεός σοι τῷ φίλῳ Θεοφίλῳ.

Ὁ

Digitized by Google

Ο όσιος Πατὴρ ἡμῶν ὁ Ὁμολογητὴς Θεόφιλος, ὑπῆρχε Μοναχὸς εὐλαβὴς, ἐπὶ τῆς Βασιλείας Λέοντος τοῦ Ἰσαύρου. ὃς τὴν ἀθεότητα ἰδὼν, καὶ τὴν πρὸς τὰς ἁγίας Εἰκόνας ἐπίθεσιν πονηρὰν, ἦλθε κατὰ πρόσωπον αὐτοῦ παῤῥησιασάμενος, καὶ ἤλεγξεν, ἄθεον αὐτὸν ἀποκαλῶν καὶ παράνομον, καὶ τοῦ Ἀντιχρίστου πρόδρομον. ὅθεν εἰς θυμὸν καὶ ὀργὴν τοῦ βασιλέως κινηθέντος, τύπτεται σφοδρῶς, καὶ εἰς φυλακὴν ἐμβάλλεται, καὶ λιμοκτονεῖται ἱκανῶς. καὶ πάλιν τῆς φυλακῆς ἐκβληθεὶς, καὶ μὴ πεισθεὶς, εἰς ἐξορίαν πέμπεται. κἀκεῖσε τῷ Θεῷ εὐχαριστῶν, τὸ πνεῦμα αὐτῷ παρέθετο.

Ὠδὴ ζ΄. Ὁ διασώσας ἐν πυρί.

Ἱεραρχίας ἐπιβὰς, ἱεραρχικώτατον τύπον, τοῖς Ἱεράρχαις σεαυτὸν, καὶ εἰκόνα κραυγάζων ἀνέδειξας. ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ζωαρχικῆς σοι δεξιᾶς, ὄντως ἡ ἀλλοίωσις Πάτερ, Κυπριανὲ τὴν καὶ σοφὸν, θεηγόρον εἰργάσατο ψάλλοντα· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ὅπλον ἀήττητον ἡμῖν, κατὰ τοῦ ἀλάστορος μάκαρ, σὺ ἀνεδείχθης τὰς αὐτοῦ, στηλιτεύων ἀπάτας τοῖς μέλπουσιν· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ὑπερουράνιοι χοροὶ, καὶ οἱ ἐπουράνιοι δῆμοι, ὑμνολογοῦσι τὸν ἐκ σοῦ, Θεοτόκε τεχθέντα κραυγάζοντες· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Εὐφράνθητι Ἱερουσαλήμ.

Σοφώτατα τῆς ἑλληνικῆς, καταπεφρόνηκας σοφίας ἔνδοξε. τῶν Ἀποστόλων δὲ, τὸν θεῖον φθόγγον, Πνεύματι τὸν χρυσόμενον Πάτερ, καὶ πυρίνῃ γλώσσῃ τρανῶς ἐκφωνούμενον, ἀνεβόας· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Ὑπέδραμες πρὸς τὰ ὑψηλὰ, καὶ ὑπερκόσμια φαιδρῶς σκηνώματα, Χριστῷ δι᾽ αἵματος ὡς ἱερεῖον, ἄμωμον προσαγόμενος Πάτερ, καὶ θυσία ζῶσα δεκτὴ καὶ εὐάρεστος, ἀναμέλπων· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Νικώμεναι ὑπὸ τῆς ἐν σοὶ, σκηνωσάσης χάριτος δαιμόνων φάλαγγες, ἀποδιώκονται καὶ δραπετεύει, πάθη Κυπριανὲ τῶν νοσούντων. οἱ πιστοὶ δὲ θείου φωτὸς ἐμφορούμενοι, βοῶμεν· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Θεοτοκίον.

Χορεύουσι σὺν Ἀγγελικαῖς, Ἁγνὴ Δυνάμεσιν ἐπὶ τῷ τόκῳ σου, οἱ Θεομήτορα καὶ Θεοτόκον, πιστοὶ σὲ καταγγέλλοντες. σὺ γὰρ τὸν Δεσπότην καὶ λυτρωτὴν ἡμῶν τέτοκας, ᾧ βοῶμεν· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Ὁ Εἱρμός.

„Εὐφράνθητι Ἱερουσαλὴμ, πανηγυρίσατε οἱ ἀγαπῶντες Σιών. ὁ βασιλεύων γὰρ εἰς τοὺς αἰῶνας, Κύριος τῶν Δυνάμεων ἦλθεν. εὐλαβείσθω πᾶσα ἡ γῆ ἐκ προσώπου αὐτοῦ, καὶ βοάτω· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Ὠδὴ θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ἄρωθεν ἡμᾶς τοὺς εὐσεβῶς ὑμνοῦντάς σε, ἐποπτεύων θείᾳ χάριτι, Κυπριανὲ ταῖς ἱκεσίαις, ἐν ὅπλῳ εὐδοκίας στεφάνωσον, εἰρήνην καὶ σωτηρίαν βραβεύων ἡμῖν, ὡς Ἱεράρχης ἐνθεώτατος.

Ῥεῖθρον ἰαμάτων δαψιλῶς ἡ κόνις σου, τοῖς ποθοῦσιν ἀναδέδεικται. σὲ δὲ Κυπριανὲ γυναῖκες, ὡς θεῖον θησαυρὸν ὑποδέχονται, καὶ πρόθυμοι φανεροῦσι κρυπτόμενον, ἵνα σου πάντες ἀπολαύσωμεν.

Ἴθυνον ἡμῶν πρὸς τὸν Χριστὸν πανόλβιε, τὴν πορείαν διὰ πράξεως, καὶ θεαρέστου πολιτείας, καὶ εἰλικρινεστάτης καθάρσεως, τὴν ὄντως θείαν γαλήνην αἰτούμενος, ὡς Ἱεράρχης συμπαθέστατος.

Θεοτοκίον.

Νέκρωσον ἡμῶν τὴν τῆς ψυχῆς ἀθένειαν, Θεομῆτορ τῇ δυνάμει σου. λῦσον τὸ κράτος Παναγία, τῶν ἐπιτιθεμένων τοῖς δούλοις σου, ἡ Κόσμῳ Δικαιοσύνης τὸν Ἥλιον, ἀνερμηνεύτως ἀνατείλασα.

Ὁ Εἱρμός.

„Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι, τὴν κατάραν εἰσῳκίσατο. σὺ δὲ Παρθένε Θεοτόκε, τῷ τῆς κυοφορίας βλα-

στῷ-

„ σχήματι, τῷ Κόσμῳ τὴν εὐλογίαν ἠξίω-
„ θησας. ὅθεν σε πάντες μεγαλύνομεν.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Τὸν πρότερον ὑπάρχοντα, κακίας μύστην ὕστερον, διὰ τιμίας Παρθένου, Ἀρχιερέα φανέντα, Κυπριανὸν τὸν μέγιστον, συμφώνως μακαρίσωμεν, καὶ πρὸς αὐτὸν βοήσωμεν· ταῖς σαῖς λιταῖς ἐμμεσίτευε, ἡμῖν τὸν πάντων Δεσπότην.

Θεοτοκίον. Ὅμοιον.

Χαρὰν τὴν ἀνεκλάλητον, ἡ τέξασα παμμάκαρ, χαρᾶς ἡμᾶς αἰωνίου, μετόχους ποίησον πάντας, Παρθένε Θεονύμφευτε, ἡ σκέπη τὸ κραταίωμα, τῶν εὐσεβῶς βοώντων σοι· μὴ ἐπιλάθῃ σῶν δούλων, Θεοκυῆτορ Μαρία.

Εἰς τὸν σ. σ. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος Πλ. δ΄.

Ὁ τῆς κακίας πρότερον, ἀκριβὴς ὑπέρμαχος, τῆς Ἐκκλησίας ὕστερον, ἀληθὴς διδάσκαλος· ὁ λειτουργὸς τῆς πλάνης τῶν εἰδώλων, Ἀρχιερεὺς τῆς Πίστεως ἐφάνη. καὶ ὁ ἀκόλαστος, σώφρων διὰ τιμίας Παρθένου. ἀμφοτέρων ταῖς εὐχαῖς, σῶσον ἡμᾶς Κύριε.

Καὶ νῦν. Θτ. Ὢ τοῦ παραδόξου.

Πῶς σου τὴν χάριν ὑμνήσαιμι, καὶ τὴν πολλὴν πρὸς ἐμὲ, τὸν ἀνάξιον δοῦλόν σου, καθ᾿ ἑκάστην πρόνοιαν, ἣν σαφῶς ἐπιδείκνυσαι; πῶς δέ σου φράσω τὴν ἀγαθότητα, καὶ τὴν ποικίλην ὄντως κυβέρνησιν; σὺ οὖν καὶ ἔτι νῦν, εἰς ἀεί μοι πρόστηθι, παντὸς κακοῦ, ζῶντα καὶ θανόντα με, ἐκλυτρουμένη σεμνή.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σὲ καθηλούμενον βλέπουσα, ἐν τῷ σταυρῷ Ἰησοῦ, καὶ τὰ πάθη δεχόμενον, ἑκουσίως Δέσποτα, ἡ Παρθένος καὶ Μήτηρ σου, τέκνον ἐβόα, τέκνον γλυκύτατον, πληγὰς ἀδίκως, πῶς φέρεις ὁ Ἰατρός; ὁ ἰασάμενος, βροτῶν τὴν ἀσθένειαν καὶ τῆς φθορᾶς, ἅπαντας ῥυσάμενος, τῇ εὐσπλαγχνίᾳ σου.

Εἰς τὴν Λειτουργίαν. Προκείμενον. Ἦχος βαρύς. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου. σ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων. Ὁ Ἀπόστολος, πρὸς Ἑβραίους. Ζήτει Κυριακῇ γ΄. τῶν Νηστειῶν. Ἀλληλούϊα. Ἦχος β΄. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην. Εὐαγγέλιον κατὰ Ἰωάννην. Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα. Ζήτει Σεπτεμβρίῳ γ΄. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον. Καὶ τὰ λοιπά.

---

## Τῷ αὐτῷ Μηνὶ Γ΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου. σ. Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες.

Ἀγκίστρῳ τῆς χάριτος σοφῶς, ὁ Παῦλος ὁ ἔνθεος, δημηγορήσας ἐζώγρησεν, Ἱεροφάντορα, καὶ τῶν ἀποῤῥήτων, θεωρὸν εἰργάσατο, σὲ σκεῦος ἐκλογῆς θεασάμενος. μεθ᾿ οὗ δυσώπησον, θεόῤῥημον Διονύσιε, τοῦ σωθῆναι, τοὺς πόθῳ ὑμνοῦντάς σε.

Ἀγγέλοις ὁμότιμον τὸν νοῦν, Πάτερ Διονύσιε, δι᾿ ἀρετῆς ἐργασάμενος, τὴν ὑπερκόσμιον, τῆς Ἱεραρχίας, εὐταξίαν πάνσοφε, τὴν τούτων ἱερῶς ἀνιστόρησας, καθ᾿ ἣν ἐῤῥύθμισας, Ἐκκλησίας τὰ συστήματα, οὐρανίων τὰς τάξεις μιμούμενος.

Ἐμφιλοσοφώτατα Θεῷ, μάκαρ Διονύσιε, ὡς δυνατὸν ὁμοιούμενος, τῶν ὀνομάτων σου, μυστικῶς τῶν θείων, εὐσεβῶς ἐξήπλωσας, τὴν ἔνθεον Θεόφρον ἀνάπτυξιν, ἑνώσει κρείττονι, μυηθεὶς τὰ ὑπὲρ ἔννοιαν, καὶ μυήσας τοῦ Κόσμου τὰ πέρατα.

Δόξα. Ἦχος β΄.

Ἀνδρέου Ἱεροσολυμίτου, οἱ δὲ Βυζαντίου.

Δεῦτε συμφώνως οἱ πιστοὶ, τὴν ἐτήσιον μνήμην, τῶν Ἱεραρχῶν εὐφημήσωμεν, Διονυσίου τε καὶ Κυπριανοῦ. ὁ μὲν γὰρ διαπτύσας, τῶν ἑλληνικῶν φιλοσόφων, καὶ τῷ σκεύει τῆς ἐκλογῆς μαθητευθεὶς, τῶν ἀποῤῥήτων μυστηρίων γνώστης ἐγένετο. ὁ δὲ διὰ τῆς Καλλίστου Παρθένου Ἰουστίνης, τὴν διάνοιαν φωτισθεὶς, τὴν τῶν δαιμόνων ἀπάτην ἐξέφυγε, καὶ τὰς μαγικὰς βίβλους ἐν πυρὶ ἀναλώσας, τοῦ Εὐαγγελίου κῆρυξ γέγο-

Digitized by Google

γέγονε. διὸ καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ, τὸν δοξάσαντα τούτους, δοξολογοῦντες Σωτῆρα βοήσωμεν· ὁ τοὺς σοὺς Ἀθλοφόρους στεφανώσας, ἐν δόξῃ Χριστὲ ὁ Θεὸς, ταῖς αὐτῶν ἱκεσίαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θτ. Ὅτε ἐκ τοῦ ξύλου σε.

Χαῖρε, πᾶσα Κτίσις σοι βοᾷ· χαῖρε Παναγία Παρθένε· χαῖρε τὸ σκῆπτρον Δαβίδ. χαῖρε ἡ βλαστήσασα τὸν βότρυν τὸν μυστικόν. χαῖρε πύλη Οὐρανίε καὶ ἄφλεκτε βάτε. χαῖρε φῶς παγκόσμιον, χαῖρε ἡ πάντων χαρὰ, χαῖρε Ἀποστόλων τὸ κλέος. χαῖρε ἡ ἀντίληψις, χαῖρε προστασία πάντων τῶν τιμώντων σε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὅτε ἡ Παναμώμος ἀμνὰς, ἄρνα τὸν αὐτῆς ἐθεώρει, ἑλκόμενον πρὸς σφαγὴν, θρήνοις ἐνεκόπτετο, ἀναβοῶσα πικρῶς· τί σοι δῆμος ἀχάριστος, γλυκύτατον τέκνον, πάλαι ἀνταπέδωκεν, ὁ ἀπολαύσας σου, οἴμοι τῶν πολλῶν δωρημάτων; πῶς δὲ καὶ τὸν πόνον ὑποίσω, ὅτι θέλων ταῦτα νῦν ὑφίστασαι;

Εἰς τὸν Σ. Σ. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος δ'.

Τῆς οὐρανίου γνώσεως, ἀθεώρητον βυθόν σε καλέσωμεν, λαμπρότατε Μάρτυς τοῦ Χριστοῦ· ὡς γὰρ ὁπλίτην, καὶ στεῤῥὸν ὑπέρμαχον τῆς Ἐκκλησίας. ἀνυμνοῦμέν σε σοφέ. πυρὶ γὰρ ἐλλαμφθεὶς τῷ ἁγνοτάτῳ, ἠξιώθης ἅμα ταῖς ἄνω στρατολογίαις, τὸ φωτεινὸν περιβόλαιον ἐνδύσασθαι Χριστὸν, καὶ λαμπρυνθεὶς τῇ αἴγλῃ τοῦ Πνεύματος, τὸν νῦν Διονύσιε· διό σου, τὴν παγκόσμιον μνήμην, πανηγυρίζοντες, πιστῶς δοξάζομεν, τὸν δοξάσαντά σε Κύριον.

Καὶ νῦν. Θτ. Ὡς γενναῖον.

Ἀπὸ πάσης με θλίψεως, καὶ παντοίας κακώσεως, καὶ δεινῆς ἐκλύτρωσαι περιστάσεως, καὶ πειρασμῶν πολυτρόπων με, ταῖς θείαις πρεσβείαις σου, ἐκ σκανδάλων πονηρῶν, ἐξ ἀνθρώπων μισούντων με, καὶ δαιμόνων δὲ, τῶν ζητούντων ἑκάστης ἀπολέσαι, τῆς ἡμέρας Θεοτόκε, τὸν προστασίαν σε θέμενον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὡς ἑώρακε Κύριε, ἡ Παρθένος καὶ Μήτηρ σου, ἐν σταυρῷ κρεμάμενον, ἐπωδύρετο. καὶ θρηνῳδοῦσα ἐφθέγγετο· τί σοι ἀνταπέδωκαν, οἱ πολλῶν σου δωρεῶν, ἀπολαύσαντες Δέσποτα; ἀλλὰ δέομαι, μή με μόνην ἐάσῃς, ἐν τῷ Κόσμῳ, ἀλλὰ σπεῦσον ἀναστῆναι, συναπιστῶν τοὺς Προπάτορας.

Ἀπολυτίκιον. Ἦχος δ'.

Χρηστότητα ἐκδιδαχθεὶς, καὶ νήφων ἐν πᾶσιν, ἀγαθὴν συνείδησιν, ἱεροπρεπῶς ἐνδυσάμενος, ἤντλησας ἐκ τοῦ σκεύους τῆς ἐκλογῆς τὰ ἀπόῤῥητα, καὶ τὴν Πίστιν τηρήσας, τὸν ἴσον δρόμον τετέλεκας, Ἱερομάρτυς Διονύσιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου εἰς ς'. Οὗ ἡ ἀκροστ.

Τὸν νοῦν γεραίρω τῶν σοφῶν διδαγμάτων.

Θεοφάνους. Ὠδὴ α'. Ἦχος πλ. δ'.

Ὑγρὰν διοδεύσας.

Τῷ Παύλῳ τῷ θείῳ μαθητευθεὶς, τῶν τῶν Οὐρανίων, Διονύσιε θεατὴς, Οὐράνιος μύστης παραυτίκα, καὶ Θεηγόρος ἐχρημάτισας.

Ὁ χάριτι θείᾳ καταυγασθεὶς, καταύγασον Μάκαρ, τῶν ὑμνούντων σε τὰς ψυχὰς, τὰς σὰς συνιέναι θεοπνεύστους, διδασκαλίας Διονύσιε.

Νόος καθαρότητι καὶ ψυχῆς, τῶν ἐπουρανίων διακόσμων τὰς ἀστραπὰς, μαθεῖν ἠξιώθης, καὶ τὰς τούτων, χοροστασίας ἰδεῖν Διονύσιε.

Θεοτοκίον.

Νυμφὼν φωτοφόρος τῆς ὑπὲρ νοῦν, σαρκώσεως ὤφθης, τοῦ τῶν ὅλων δημιουργοῦ. ἐκ σοῦ γὰρ τὴν σάρκα Θεομῆτορ, τὴν ἡμετέραν ἠμφιάσατο.

Ὠδὴ γ. Οὐρανίας ἀψῖδος.

Οὐρανίων ἀψίδων ὑπεραρθεὶς Ὅσιε, τῶν ὑπερκοσμίων, τὰς τάξεις καὶ τὰ στρατεύματα, καὶ τὰς λαμπρότητας, ὑψηγορίαις τῶν λόγων, καὶ πανσόφοις φράσεσι, πᾶσιν ἐτράνωσας.

Ὑψη-

Digitized by Google

Ὑψηλῆς θεωρίας, ἐμφορηθεὶς ἔνδοξε, τὴν τῶν ὀνομάτων, τῶν Θείων πᾶσαν ἀνάπτυξιν, ἐθεολόγησας, Τριαδικὸς Θεολόγος, γεγονὼς τῇ χάριτι θεομακάριστε.

Νεκρωθεὶς τοῖς παροῦσι, τῷ πρὸς Θεὸν ἔρωτι, καὶ φιλοσοφίᾳ συντόμως ἐγγυμνασάμενος, τῶν ὑπὲρ ἔννοιαν, ζωοποιῶν χαρισμάτων, θεοφόρον ὄργανον Πάτερ γεγένησαι.

Θεοτοκίον.

Γεωργία Παρθένε, τοῦ Παντουργοῦ Πνεύματος, σῶμα τῷ Δεσπότῃ τῶν ὅλων ἐκαρποφόρησας. ἐν ᾧ κατέκρινε, τὴν ἁμαρτίαν τοῦ Κόσμου, καὶ ζωὴν ἐπήγασε τὴν αἰωνίζουσαν.

Ὁ Εἱρμός.

„Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε,
„καὶ τῆς Ἐκκλησίας, Δομῆτορ σύ
„με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ,
„τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ
„στήριγμα, μόνε φιλάνθρωπε.

Κάθισμα. Ἦχος Πλ. δ'.

Τὴν σοφίαν, καὶ Λόγον.

Ὡς τοῦ σκεύους ὑπάρχων τῆς ἐκλογῆς, ἀπεικόνισμα Θεῖον ὡς ἀληθῶς, τὰ Θεῖα μυστήρια, ἐκδιδάσκεις τῷ πνεύματι. καὶ φωτισθεὶς τῇ χάριτι, τῆς θείας ἐλλάμψεως, τὰς τῶν Ἀγγέλων τάξεις, τρανῶς διεσάφησας. ὅθεν καὶ τῷ Κόσμῳ, νοητῶς καταλείψας, τὰ θεῖά σου δόγματα, κατεφώτισας ἅπαντας, Ἱερομύστα Διονύσιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα, καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

Τοῦ Ἡλίου νεφέλη τοῦ νοητοῦ, θεῖε φέγγους λυχνία χρυσοφαής, ἄσπιλε ἀμόλυντε, πανάμωμε Δέσποινα, τὴν σκοτεινὴν ψυχήν μου, τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλῃ, καταύγασον δέομαι, καὶ μεμολυσμένην, καρδίαν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας τε δάκρυσι, καὶ τοῦ ῥύπου με κάθαρον. ἵνα πόθῳ κραυγάζω σοι, Θεοτόκε Ἀειπάρθενε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι τὸν πανάγιον Τόκον σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Παρθένος καὶ Μήτηρ τοῦ Ἰησοῦ, ἐπὶ ξύλου ὁρῶσα τὸν ποιητήν, ἔστενε δακρύουσα, καὶ πικρῶς κατετρύχετο, τὴν ψυχὴν καὶ τὸ σῶμα, σπαράττουσα ἔτυπτε, πρὸς αὐτὸν βοῶσα, πικρῶς καὶ κραυγάζουσα· οἴμοι ὦ Υἱέ μου, πῶς ἐνέγκω τὸ πάθος, τοὺς ἥλους καὶ τὴν λόγχευσιν, ἡ ἀπόνως σε λοχεύσασα; ἀλλὰ σπεῦσον ἐγερθῆναι, τοῦ ἰδεῖν σε Υἱὲ καὶ Θεέ, καὶ τοῦ θρήνου παύσασθαι καὶ πόνου, καὶ τοῖς ὑμνοῦσί σου τὰ πάθη, πταισμάτων λύσιν δωρήσασθαι.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Ἐκκλησιῶν, τὴν εὐκοσμίαν ἐρρύθμισας, ἐν αὐταῖς γάρ, Πάτερ ἐζωγράφησας, μορφωτικῶς τύπους ἐμφερεῖς, ἱεροπλαστίας, τῶν ἀμορφώτων Δυνάμεων. δι' ὧν μυσταγωγεῖται, καὶ φωτίζεται πᾶσα, τῶν πιστῶν ἡ θεόφρων ὁμήγυρις.

Ῥεῖθρα τῆς σῆς, Θεολογίας θεόληπτε, τοὺς λειμῶνας, ἄγαν καταρδεύουσι, τοὺς λογικοὺς καὶ ἀειθαλεῖς, καὶ πεφυτευμένους, ἐπὶ δογμάτων ὀρθότητι. Μονάδα γὰρ οὐσίας ἐν Τριάδι προσώπων, τὴν σεπτὴν Μοναρχίαν ἐκήρυξας.

Ἀγγελικῆς, Ἱεραρχίας τὸ σύντομον, Ἱεράρχα, πόθον καὶ τὸν ἔρωτα, πρὸς τὸν Θεὸν καὶ τὴν ἀκλινῆ, νεῦσιν πρὸς τὸ ὕψος, τὸ θεῖον καὶ ἀκατάληπτον, ἐδίδαξας ἐμφρόνως, τοὺς ἐν πίστει βοῶντας· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Θεοτοκίον.

Ἱερουργὸς, τῆς σωτηρίας ἐγένετο, ὁ Υἱός σου, πᾶσι τοῖς ὑμνοῦσί σε, καὶ ποδηγὸς καὶ φωταγωγὸς, καὶ δικαιοσύνη, Παρθένε καὶ ἀπο-



Digitized by Google

ἀπολυτρώσεως. διό σε Θεοτόκον, ἀληθῶς καὶ κυρίως, οἱ πιστοὶ ὁμοφρόνως δοξάζομεν.

ᾨδὴ ε'. Ἵνα τί με ἀπώσω.

Ῥημάτων σου ὁ φθόγγος, ὥσπερ τις Οὐράνιος ἦχος φερόμενος, τὰς ἀθέους φρένας, κατεβρόντισε λόγῳ τῆς χάριτος, καὶ δογμάτων θείων, μαρμαρυγαῖς ταῖς φανοτάταις, τῶν πιστῶν τὰς καρδίας ἐλάμπρυνεν.

Ὡς μοκώθης ἐμπόρῳ, τῷ τοὺς μαργαρίτας ζητοῦντι πανόλβιε, καὶ ὁρῶν τὸν ἕνα, μαργαρίτην τὸν ὄντως πολύτιμον, καὶ θαυμάσας τοῦτον, τὰς θεουργοὺς φωτοβολίας, Ἱεράρχα Θεὸν ὡμολόγησας.

Τὴν πηγὴν τῆς σοφίας, ἐμφιλοσοφῶν τῷ Πάτερ ἠγάπησας, καὶ τῷ ταύτης φίλτρῳ, καὶ ἀγάπῃ συμπεριφερόμενος, πολλοστὸς ἐγένου, καὶ ποταμοὺς θείων ναμάτων, ἀενάως πηγάζεις θεόπνευστε. Θτ.

Ὡς κεχαριτωμένη, τὴν καλλοποιὸν ὑπεδέξω εὐπρέπειαν, τὴν τὰ πάντα μόνῳ, τῷ βουλήματι κατασκευάσασαν· καὶ τῷ θείῳ κάλλει, καὶ φωτισμῷ τῆς εὐσεβείας, Θεομῆτορ ἡμᾶς καλλωπίσασαν.

ᾨδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Νομίμως φιλοσοφῶν, σοφίας δώρων ἐπέτυχες. ἐνθέως θεολογῶν, ὀρθόδοξα δόγματα, παμμάκαρ κατέλιπες. ὧν κατατρυφῶντες, οἱ πιστοί σε μακαρίζομεν.

Συνέσει θεοπρεπεῖ, θεόφρον καλλωπιζόμενος, τῷ Θείῳ μυσταγωγῷ, τὸν νοῦν σου ὑπέκλινας. καὶ τὴν ὑπερκόσμιον, ὑπ' αὐτοῦ σοφίαν, ἐμυήθης Διονύσιε.

Ὁ Βίος σου θαυμαστός, ὁ λόγος θαυμασιώτερος, ἡ γλῶσσά σου φωταυγής, τὸ στόμα μυρίπνοον, μάκαρ Διονύσιε. ὁ δὲ νοῦς σου Πάτερ, ἀκριβῶς θεοειδέστατος.

Θεοτοκίον.

Φωνὴν σοι τοῦ Γαβριὴλ, τὸ Χαῖρε πιστοὶ κραυγάζομεν· ἐξ ἧς ἀφράστως ἡμῖν, ὁ ζωαρχικώτατος, ἀνὴρ ἐχρημάτισε. καὶ συναναστράφη, τοῖς ἀνθρώποις ὁ φιλάνθρωπος. Ὁ Εἱρμός.

Ἱλάσθητί μοι Σωτήρ· πολλαὶ γὰρ αἱ ἀνομίαι μου, καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι. πρὸς σὲ γὰρ ἐβόησα· καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Κοντάκιον. Ἦχος Πλ. δ'. Τῇ ὑπερμάχῳ.

Τὰς Οὐρανίους διαβὰς πύλας ἐν Πνεύματι, μαθητευθεὶς τῷ ὑπὲρ τρεῖς Οὐρανοὺς φθάσαντι, Ἀποστόλῳ Διονύσιε τῶν ἀρρήτων· ἐπλουτίσθης πᾶσαν γνῶσιν καὶ κατηύγασας, τοὺς ἐν σκότει ἀγνωσίας πρὶν καθεύδοντας. διὸ κράζομεν, Χαίροις Πάτερ παγκόσμιε. Ὁ Οἶκος.

Ἄγγελος ἐξ ἀνθρώπων, ἀρεταῖς χρηματίσας, ὁ μέγας Διονύσιος πᾶσαν ὡς ὑπόπτερος ἐμυήθη τὸν νοῦν, τὴν Οὐράνιον γνῶσιν. διὸ ᾄσμασιν, ὡς ἄγγελον τιμήσωμεν, βοῶντες πρὸς αὐτὸν τοιαῦτα. Χαῖρε, ὁ γνοὺς Χριστὸν διὰ Παύλου. Χαῖρε, πολλοὺς πρὸς Χριστὸν μεταστρέψας. Χαῖρε, πολυθέου σκηνῆς ὀλετήριον. Χαῖρε, θεουργοῦ βουλῆς σκοπευτήριον. Χαῖρε, βίβλος θεοχάρακτος μυστηρίων θησαυρέ. Χαῖρε, πίναξ θεομόρφωτε καὶ διόπτρα Οὐρανοῦ. Χαῖρε, ὅτι τὸ πάθος τοῦ Κυρίου κατεῖδες. Χαῖρε, ὅτι προθύμως δι' αὐτὸν ἀφανιάζῃ. Χαῖρε πηγὴ βλυστάνουσα ἄφεσιν. Χαῖρε, ῥανὶς κοιλαίνουσα ἄνοιαν. Χαῖρε, φραγμὸς ἀσεβῶν παροδίας. Χαῖρε, φωστὴρ τοὺς πιστοὺς καταυγάζων. Χαίροις Πάτερ παγκόσμιε.

Τῷ αὐτῷ Μηνὶ Γ'. Τοῦ Ἁγίου Ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου.

Σ. Τέμνῃ κεφαλὴν καὶ τὸ λοιπὸν ὡς μέγα.
Ἄρας γὰρ αὐτὴν Διονύσιε τρέχεις.
Τμηθεὶς τὴν κεφαλὴν Διονύσιε θέες ἄρας.

Οὗτος πλούτῳ καὶ δόξῃ καὶ συνέσει καὶ σοφίᾳ τῶν ἁπάντων ὑπερέχων, τῶν ἐν τῷ Ἀρείῳ πάγῳ βουλευτῶν εἷς ἦν. καὶ ἀγρευθεὶς ὑπὸ τοῦ μεγάλου Παύλου, καὶ βαπτισθεὶς, χειροτονεῖται Ἐπίσκοπος, τὰ ἀπόρρητα μυηθεὶς ὑπὸ τοῦ σοφοῦ Ἱεροθέου. καὶ συγγράμματα καταλελοιπὼς παράδοξα, καὶ θαυμαστὰ τε καὶ ὑψηλότατα, ὧν ἐνίος τέως μνημονεῦσαι ἐπικαιρότατον. Γενόμενόν με φησί ποτε κατὰ τὴν Κρήτην, ὁ Ἱερὸς ἐξεναγώγησε Κάρπος, ἀνὴρ εἰ καί τις ἄλλος διὰ πολλὴν καθαρότητα νοῦ πρὸς θεοπτίας ἐπιτηδειότατος. καὶ γὰρ οὐδὲ ταῖς τῶν Ἁγίων μυ-

μυστηρίων τελεταῖς ἐπεχείρει, μὴ πρότερον αὐτῷ κατὰ τὰς προτελείους εὐχὰς ἱερὰς καὶ ἀμέμπτους ὁράσεως ἐπιφαινομένης. ἔλεγεν οὖν, ὅτι λελυπηκότος αὐτὸν τῶν ἀπίστων τινός. ἡ λύπη δὲ ἦν, ὅτι τῆς Ἐκκλησίας ἐκεῖνος τινὰ πρὸς τὸ ἄθεον ἀπεπλάνησεν. ἔτι τῶν Γαλιλαίων αὐτῶν ἡμερῶν τελουμένων, δέον ἀμφοτέρων ἀγαθοπρεπῶς ὑπερεύξασθαι. καὶ Θεὸν συλλήπτορα λαβόντα, τὸν μὲν ἐπιστρέψαι, τὸν δὲ ἀγαθότητι νικῆσαι, καὶ μὴ διαλιπεῖν νουθετοῦντα διὰ παντός, καὶ οὕτως ἐπὶ τὴν θείαν ταύτην ἀναγαγεῖν γνῶσιν. ἀλλ' ὅγε μὴ πρότερον τοῦτο παθών, οὐκ οἶδ' ὅπως τότε, πολλὴν δυσμένειαν καὶ πικρίαν ἐνστάξας τῇ ψυχῇ, κατέδραμεν ἐν οὕτω κακῶς ἔχων. ἑσπέρας γὰρ ἦν. περὶ δὲ μέσας νύκτας, εἰώθει γὰρ εἰς τόνδε τὸν καιρὸν αὐτὸς ἀφ' αὑτοῦ πρὸς τοὺς θείους ὕμνους ἐγρηγορέναι διαναστάμενος. ἔσω δὲ ὄντος εἰς τὴν θείαν ὁμιλίαν, οὐκ εὐαγῶς ἠνιᾶτο καὶ ἐδυσχέραινεν. οὐκ εἶναι δίκαιον λέγων, εἰ ζῶσιν ἄνδρες ἄθεοι, καὶ διαστρέφουσι τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας. καὶ ταῦτα λέγων, ἐδεῖτο τοῦ Θεοῦ πρηστῆρι τινὶ τὰς ἀμφοτέρων εἰσάπαξ ἀνηλεῶς ἀποσπάσαι ζωάς. καὶ ταῦτα εἰπών, ἔλεγε, δόξαι ἰδεῖν ἄφνω τὸν οἶκον, ἐν ᾧ περ εἱστήκει, διαδονηθέντα πρότερον ἐκ τῆς ὀροφῆς εἰς μέσον δύο διαιρεθέντα, καί τινα πυρὸς φλόγα πολύφωτον ἔμπροσθεν αὐτοῦ· καὶ ταύτην, ἐδόκει γὰρ ὕπαιθρος ὁ τόπος, λοιπὸν ἐκ τοῦ Οὐρανίου χώρου μέχρις αὐτοῦ καταφερομένην. τὸν δὲ Οὐρανὸν αὐτὸν διαπεπετασμένον, καὶ ἐπὶ τῷ νώτῳ τοῦ Οὐρανοῦ τὸν Ἰησοῦν, ἀπείρων αὐτῷ ἀνθρωποειδῶς παρισταμένων Ἀγγέλων. καὶ ταῦτα μὲν ἄνωθεν ὁρᾶσθαι, καὶ αὐτὸν θαυμάζειν. κάτω δὲ κύψας ὁ Κάρπος, ἰδεῖν ἔφη καὶ τὸ ἔδαφος πρὸς ἀχανές, ὅτι χάσμα καὶ σκοτεινὸν διερρηγμένον. καὶ τοὺς μὲν ἄνδρας ἐκείνους, οὓς ἐπηρᾶτο πρὸ αὐτοῦ, κατὰ τὸ στόμιον ἑστηκέναι τοῦ χάσματος ὑποτρέμοντας ἐλεεινούς, ὅσον οὔπω καταφερομένους ὑπὸ τῆς τῶν οἰκείων ποδῶν ἀστασίας. κάτωθεν δὲ ὑπὸ τοῦ χάσματος, ὄφεις ἀνέρπειν. καὶ περὶ τοὺς πόδας αὐτῶν ὑποκινουμένους, ποτὲ μὲν συνείττειν ἐπειλουμένους. ἅμα καὶ ἐπιβαροῦντας καὶ ἕλκοντας. ποτὲ δὲ καὶ τοῖς ὀδοῦσι, καὶ ταῖς οὐραῖς ὑποτύφοντας, καὶ ὑπογαργαλίζοντας, καὶ διὰ παντὸς εἰς τὸ ἀχανὲς ἐμβαλεῖν μηχανωμένους. καὶ διαδονοῦντας ἅμα, καὶ ὑπωθοῦντας, καὶ παίοντας. ἐδόκουν δὲ εἶναι πρὸς τὸ πεσεῖν ἐκεῖνοι. τὰ μὲν ἑκόντες, τὰ δὲ ἄκοντες, ὑπὸ τοῦ κακοῦ βιαζόμενοι, κατ' ὀλίγον ἅμα καὶ πειθόμενοι. ἔλεγε δὲ αὐτὸν ὁ Κάρπος ἰδέσθαι, κάτω βλέποντα, τῶν ἄνω ἀμελεῖν. δυσχεραίνειν δὲ καὶ ὀλιγωρεῖν, ὅτι μὴ ἤδη πεπτώκασι, καὶ τῷ πράγματι πολλάκις ἐπιθέμενον καὶ ἀδυνατήσαντα, ἀχθεσθῆναι καὶ ἐπαράσασθαι. καὶ ἀναβλέψαντα μόλις, ἰδεῖν μὲν αὖθις τὸν Οὐρανόν, ὅσπερ καὶ πρότερον ἑωράκει, τὸν δὲ Ἰησοῦν ἐλεήσαντα τὸ γινόμενον, ἐξαναστῆναι τοῦ ὑπερουρανίου θρόνου, καὶ ἕως αὐτῶν καταβάντα, χεῖρα ἀγαθὴν ὀρέγειν, καὶ τοὺς Ἀγγέλους αὐτῷ συνεπιλαμβανομένους ἄλλος ἄλλοσε ἀντέχεσθαι τοῖν ἀνδροῖν, καὶ εἰπεῖν τῷ Κάρπῳ τὸν Ἰησοῦν τῆς χειρὸς ἤδη προτεταμένον. παῖε κατ' ἐμοῦ λοιπόν· ἕτοιμος γάρ εἰμι πολλάκις, καὶ αὖθις ὑπὲρ ἀνθρώπων ἀνασχόμενος παθεῖν, καὶ προσφιλές μοι τοῦτο, μὴ ἄλλων ἁμαρτανόντων· πλὴν ὅρα, εἰ καλῶς ἔχεις σοι τὴν ἐν τῷ χάσματι, καὶ μετὰ τῶν ὄφεων μονὴν ἀνταλλάξασθαι, τῆς μετὰ Θεοῦ καὶ τῶν ἀγαθῶν καὶ φιλανθρώπων Ἀγγέλων. Αὐτὸς τοίνυν καὶ τῆς Ἐκκλησιαστικῆς καταστάσεως ἑρμηνεύσας τὸν τύπον. τῶν ταῦτα καταλαβὼν τὰ Ἑσπέρια μέρη ἐπὶ τῆς Βασιλείας Δομετιανοῦ, καὶ πολλὰ θαύματα ἐπιδειξάμενος, ἐν Παρισίῳ τῇ πόλει, τὴν κεφαλὴν ἀποτέμνεται. καὶ αὐτὴν ἰδίαις χερσὶν ὑποδεξάμενος, μέχρι δύο μιλίων ἐβάδισε, θαῦμα τοῖς ὁρῶσιν ἐνστησάμενος, καὶ οὐ πρότερον ταύτην ἀφῆκε, πρὶν ὅτε γυναικὶ ὀνόματι Κατούλα ὑπαντήσας, καὶ κατὰ θείαν πάντως συνεχεθεὶς πρόνοιαν, ταῖς ἐκείνης παλάμαις οἷά τινα θησαυρὸν ἐναπέθετο. Ὡσαύτως Ῥουστικὸς καὶ Ἐλευθέριος καρατομοῦνται οἱ αὐτοῦ φοιτηταί, καὶ σὺν τῷ μαρτυρικῷ σώματι τοῦ Ἱεροῦ κήρυκος, τὰ τῶν Ἁγίων σώματα ῥίπτονται, θηρσὶ βορά,



Digitized by Google

καὶ ὁρμέοις προκείμενα. πιστῶν δέ τινες τὰ τῶν Ἁγίων λαμβάνουσι λείψανα, καὶ ἐν τῷ ἀφανεῖ κατατίθενται, διὰ τὸν ἐπικείμενον φόβον τῶν δημίων· κἀκείνων ἀπαλλαγέντων, ἔν τινι τὰ τῶν Μαρτύρων λείψανα ἡ μακαρία Κατύλα δομήματι κατατίθησι, τρίτην τοῦ Ὀκτωβρίου μηνὸς ἄγοντος. ἦν δὲ κατὰ τὸν σωματικὸν τύπον, τὸ μέγεθος μέσος, ἰσχνὸς, λευκὸς, ὑπώχροος, ὑπόσιμος τὴν ῥῖνα, τὰς ὀφρῦς συνεσπασμένος, κοῖλος τοὺς ὀφθαλμοὺς, ὦτα μεγάλα ἔχων, πολιὸς, κομήτης, μετρίως βαθυνόμενος τὴν ὑπήνην, ἀραιὸς τὴν ἔκφυσιν τοῦ γενείου. ἠρέμα προγάστωρ, μακροδάκτυλος ταῖς χερσίν. ἡ δὲ σύναξις αὐτοῦ τελεῖται ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Ῥουστικοῦ, καὶ Ἐλευθερίου.

Στ. Ἐλευθέριον, καὶ Ῥουστικὸν τὸ ξίφος,
Ἐλευθέρους τίθησι καὶ τῶν γηΐνων.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Θεοκτίστου.

Στ. Κτίστῃ σέβας δοὺς Θεόκτιστος, οὐ κτίσει,
Χαίρων κεφαλῆς τὴν ἀφαίρεσιν φέρει.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Ἱερομάρτυρος Διονυσίου, καὶ τῶν σὺν αὐτῷ ὀκτὼ Μαρτύρων.

Στ. Διονύσιος σὺν συνάθλων ὀκτάδι.
Ζόφου μεταστὰς, φωτὸς οἰκεῖ χωρίον.

Οὗτος ἦν ἐπὶ τῶν χρόνων Οὐαλλεριανοῦ, καὶ Γαλλιήνου τῶν Βασιλέων, καὶ προσαχθεὶς Αἰμιλιανῷ τῷ ἡγεμόνι, καὶ μὴ πεισθεὶς, ὑπερορίᾳ καταδικάζεται. εἶτα δημιοῦται, καὶ λιθάζεται, πλεῖστα παθῶν ὧν ὑπέμεινε πρώην ἐπὶ Δεκίου ἐν τῇ Λιβύῃ. κατακλεισθεὶς οὖν ἐν αὐχμηρῷ τόπῳ, σὺν Φαύστῳ, καὶ Γαΐῳ, καὶ Πέτρῳ, καὶ Παύλῳ καὶ ἑτέροις τέσσαρσιν, οἱ ἐγκαρτερήσαντες σὺν αὐτῷ ἐπὶ δώδεκα χρόνους, ἐτελειώθησαν ἐν καλῇ ὁμολογίᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Θεαγένους.

Στ. Ὡς ἦλθεν ἐν χρῷ τῆς πυρᾶς Θεαγένης,
Εἰσῆλθεν αὐτὴν, οὐ ταραχθεὶς τῇ θέᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Θεοτέκνου.

Στ. Ἅπαξ ἐλάσθην καὶ Θεότεκνος λέγει.
Ὡς Παῦλος εἶπε, πρὸς Κορινθίους γράφων.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἀδαύκτου.

Στ. Ξίφει θανὼν Ἄδαυκτε μάρτυς Κυρίου.
Σὺν μάρτυσι ζῇς, καὶ Θεὸν ζῶντα βλέπεις.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χοζεβίτου, Ἐπισκόπου Καισαρείας.

Οὗτος ὁ Ἅγιος Πατὴρ ἡμῶν Ἰωάννης, Θηβαῖος ὑπῆρχε τῆς κατ' Αἴγυπτον χώρας. δεξάμενος δὲ τὸ ἀγγελικὸν σχῆμα τῶν Μοναχῶν παρὰ τοῦ Πάππου αὐτοῦ, καὶ συνταξάμενος τῷ γέροντι, τοὺς Ἁγίους τῶν Ἱεροσολύμων κατέλαβε τόπους. εἶθ' οὕτως ἀπελθὼν πρὸς τὸν Πάππον αὐτοῦ, καὶ συνταξάμενος τῷ γέροντι, ἐξῆλθε τῆς Μονῆς. καὶ ἐν κρημνώδει τόπῳ καὶ δυσβάτῳ εὑρὼν μικρὸν σπήλαιον, ἐν αὐτῷ κατῴκησε, τρεφόμενος ἐκ τῶν ἐκεῖσε ἀκροδρύων. τοῦτον ὁ Θεὸς βουλόμενος δοξάσαι, ἐφανέρωσεν οὕτως. Ἀμανίας τις Ἀσκητὴς μέγας καὶ περιβόητος ἦν ἐν τοῖς τόποις ἐκείνοις κατοικῶν. προσήχθη δέ τινος πλουσίου Υἱὸς τῷ μεγάλῳ τούτῳ ἀνδρὶ, ὑπὸ πνεύματος ἀκαθάρτου ὀχλούμενος. οὐ προσεδέχθη δέ. προτρεψάμενος δὲ τοῦ Ὁσίου ἐκ ταπεινώσεως πάντως, ἐπὶ τὸ ἐνδότερον μᾶλλον τοῦ τόπου εἰσελθεῖν, καὶ τὸν Αἰγύπτιον Ἰωάννην ἐπιζητῆσαι. ὡς οὖν οἱ ἀποσταλέντες εὗρον ὃν ἐζήτουν, καὶ ἀπήγγειλαν δι' ὃ παρεγένοντο, πρῶτον μὲν, οὐκ ἐπείθετο προσδέξασθαι. ὀχληθεὶς δὲ, προσηύξατο. καὶ στραφεὶς λέγει πρὸς τὸ δαιμόνιον· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ἀκάθαρτον πνεῦμα, οὐκ ἐγὼ, ἀλλ' Ἀμανίας ὁ τοῦ Θεοῦ δοῦλος, διακελεύεταί σοι ἐξελθεῖν ὑπὸ τοῦ Παιδός. ταῦτα ἀκοῦσαν τὸ ἀκάθαρτον πνεῦμα παρὰ τοῦ Ἁγίου, ἐξῆλθε, καὶ γέγονεν ὁ παῖς ὑγιής. καὶ ἐπεὶ τὸ παράδοξον τοῦ θαύματος διαβόητον τοῦτον εἰργάσατο, ἐπείσθη καὶ μὴ βουλόμενος, τὴν τοῦ Ἐπισκόπου δέξασθαι χειροτονίαν ἐν Καισαρείᾳ. ὅτε δὲ οὐ συνεχωρεῖτο τὸν ἡσύχιον βίον καὶ ἐρημικὸν μετέρχεσθαι, τὴν Καισάρειαν καταλείψας πρὸς τὴν ἔρημον παλινδρομεῖ. ἀλλ' οὐκ ἔ-

λαθε

Digitized by Google

λαθε τὸν γηπόνον ὁ θησαυρός. παιδίον γὰρ ἔχων σμικρότατον, ὑπὸ ἀκαθάρτου καὶ τούτου ὀχλούμενον πνεύματος, συνειδίῳ ἐνθεὶς, καὶ βοτάναις ἄνωθεν καλύψας, τέθεικεν ἐν χερσὶ τῆς τοῦ Ἁγίου θυρίδος, κἀκεῖθεν ᾤχετο. κλαυθμυρίσαντος οὖν τοῦ παιδὸς, ἀναστὰς ὁ Ἅγιος, καὶ ἰδὼν, ἐπέγνω τὸ ἐμφωλεῦον αὐτῷ ἀκάθαρτον πνεῦμα. καὶ φυγαδεύσας τοῦτο, ὑγίωσε τὸν παῖδα· ἀλλ' οὐκ ἠρέμησεν ὁ φυγάς. σχῆμα γὰρ ὑποδὺς ἀνθρώπου, καὶ ἐπὶ κρημνώδους καὶ δυσβάτου τόπου τὸν Ἅγιον ἄρας, προσέπεσε τοῖς τούτου ποσὶν, εὐλογίαν ὡς δῆθεν ἐπιζητῶν. τὸ ἀθρόον οὖν τῆς ὄψεως ὁ τοῦ Θεοῦ δοῦλος καταπλαγεὶς, καὶ ποδῶν αὐτοῦ συμπλακέντων, πρὸς τὴν ἔσχατον τοῦ κρημνοῦ ἀπερρίφθη πυθμένα, κατὰ κεφαλῆς πεσών· οὐδὲν δ' ἔτι ὁ βροτοκτόνος ἐκ τούτου ἀπώνατο. ἔμεινε γὰρ ὁ Ἅγιος τῇ τοῦ Θεοῦ χάριτι ἀβλαβής. εἶθ' οὕτως ἀνδροφόνῳ λῃστῇ τὸν τοῦ Θεοῦ δοῦλον ἐκδέδωκε. τοίνυν καὶ ποτὲ μὲν ὑπ' αὐτοῦ ἐτύπτετο, ποτὲ δὲ καὶ ὃ περιεβέβλητο ἔνδυμα ἀφαιρεῖτο, καὶ τὴν καλύβαν ἐπίμπρα ὁ τύραννος. ταῦτα δὲ πάσχων ὁ Ἅγιος, τοῦτο μόνον καθ' ἑαυτὸν ἔλεγεν· ὡς εἴπερ ὦ Κύριε ἀρεστά σοι ταῦτα, εὐχαριστῶ σοι. ἤκουσεν ἐξ Οὐρανοῦ ὁ Κύριος. καὶ κρατηθέντος ὑπὸ τοῦ Ἄρχοντος τοῦ λῃστοῦ, καὶ φόνῳ δεινῷ τὴν ψυχὴν ἀπορρήξαντος, οὐ μικρᾶς ἀνέσεως ὁ τοῦ Θεοῦ δοῦλος τετύχηκεν. ἀλλ' οὐκ ἐπαύσατο καὶ πάλιν ὁ δόλιος ὀρύσσων κατ' αὐτοῦ. διερχομένου γάρποτε τοῦ Ἁγίου πρὸς ἐπίσκεψιν ἀδελφῶν, γυνή τις κατὰ πάροδον ἐντυχοῦσα τῷ Ἁγίῳ, καὶ τῶν ἰχνῶν αὐτοῦ ἐπιλαβομένη, παρεκάλει μὴ ἀπαξιῶσαι πρὸς τὴν ἐν ᾧ αὐτὴ κατῴκει δωματείῳ ὁδόν. ἐφ' ᾧ εἰσελθόντος ἀρύσασθαι τὸν ἐκ τούτου ἁγιασμόν. ὡς οὖν ὁ Ἅγιος δυσωπηθεὶς κατένευσε, καὶ εἰσῆλθεν, ἡ ἄνομος καὶ βέβηλος μαινὰς τὰς θύρας κλείσασα, πᾶν μέλος αὐτῆς ἀπεγύμνου. κἀκεῖνα ἡ ἀναιδὴς καὶ μιαρὰ ἔπραττεν, ἅπερ μηδὲ θέμις εἰπεῖν, πειρωμένη μολῦναι τὸν ἀμόλυντον. ἀλλ' ὁ ἀδαμάντινος οὗτος, καὶ δαίμονος ὄργανον καταβαλὼν, καὶ ἀπωσάμενος, ἐξῆλθεν ἀβλαβής. οὗτος ὁ μακάριος Ἰωάννης ἀκούσας περί τινος Ἀσκητοῦ Μαρκιανοῦ διαβεβοημένου τοῖς πᾶσιν, ἐπόθει θεάσασθαι αὐτόν. ὅτε δὲ ἔφθασεν ὑπὸ δεσμῶν πεσεῖν, τοῦ μὴ ἐξελθεῖν τοῦ σπηλαίου, κἂν ἀπαραίτητόν τι παρεμπέσῃ, αὐτὸς ἑαυτὸν δεσμήσας, τὸν δεσμὸν διαρρῆξαι οὐκ ἠνέχετο. ὁποῖον δὲ παράδοξον ἡ πανταχόθεν? πάντεφορος πρόνοια κἀνταῦθα οἰκονομεῖ. Ἄγγελος μετάρσιον ἄρας τὸν Μαρκιανὸν ἐκ τοῦ κελλίου αὐτοῦ, ἀψοφητὶ ἐν ἄντρῳ τοῦ Μακαρίου Ἰωάννου κατῴκησε. συνελθόντων οὖν ἀμφοτέρων, καὶ ἀσπασαμένων, καὶ τῆς πρὸς ἀλλήλους πνευματικῆς ὁμιλίας εἰς κόρον ἐμφορηθέντων, καὶ τοῦ μακαρίου Ἰωάννου τὸν τελευταῖον τῆς εὐχαριστίας προσεπιπλέξαντος λόγον, καὶ οὕτως εἰπόντος. Δόξα τῷ Ἁγίῳ Θεῷ, τῷ καταξιώσαντί με τὸν ποθεινότατόν μου ἰδεῖν Μαρκιανόν, ἐξαίφνης ὑπὸ τοῦ Ἀγγέλου ἀναρπαθεὶς ὁ Μαρκιανὸς, ἐξ ὀφθαλμῶν γέγονε τοῦ μακαρίου Ἰωάννου. τοῦτο δὲ εἰς λογισμοὺς διαφόρους τὸν Ἅγιον ἐνέβαλε, καὶ διστάζων ἦν. τοῖς λογισμοῖς οὖν μαχόμενος, καὶ τοῦ δεσμοῦ καταφρονήσας, ἐξῆλθε τοῦ σπηλαίου, καὶ τὴν πρὸς τὸ Μαρκιανοῦ κελλίον ἄγουσαν ὁδὸν ὥδευε. τῷ γὰρ μεγέθει τοῦ θαύματος ἐκπλαγεὶς, φάντασμα ὑπέλαβεν εἶναι τὸ γεγονός. ὡς οὖν ἀπῆλθε, καὶ ἐξ ὀνόματος καλοῦντα τὸν Ὅσιον Μαρκιανὸν ἠκηκόει, καὶ τὸν τρόπον τῆς ἐπιδημίας ὁ Μακάριος Ἰωάννης ἀνέμαθε, χαίρων ἦν τὴν καρδίαν, καὶ ἀγαλλόμενος. διὰ τοῦτο καὶ πάλιν ἀσπασαμένων, καὶ εὐχαριστήριον δόξαν τῷ Θεῷ προσαγαγόντων, οἴκαδε πάλιν ὑπέστρεφε, καὶ τί μοι τὰ πολλὰ λέγοντι; οὗτος καὶ δαιμόνια ἐξ ἀνθρώπων οὐκ ὀλίγα ἀπήλασε, καὶ νοσήματα ἀνίατα ἐθεράπευσεν, ὕδατα ἐν διαφόροις τόποις ἀναβλύσαι πεποίηκεν· ὀχετοὺς ἐξ Οὐρανοῦ δι' εὐχῆς πολλάκις κατήγαγε, καὶ ἄλλα πολλὰ σημεῖα ὁ Θεὸς διὰ τούτου εἰργάσατο. καὶ μετὰ ταῦτα τὴν τι-

τιμίαν αὐτοῦ ψυχὴν τῷ Θεῷ παρατίθησιν ἐν εἰρήνῃ καὶ γήρᾳ καλῷ.

Ταῖς αὐτοῦ Ἁγίαις πρεσβείαις Χριστέ.

Ὠδὴ ζ. Θεοῦ συγκατάβασιν.

Ὡς ὄμβρος Οὐράνιος, ἐν γῇ διψώσῃ τὰ σὰ διδάγματα, τῶν πιστῶν τὰς καρδίας, ἀεὶ ποθούσας καταπιαίνουσι, καὶ ἀκορέστως βοᾷν ἐκδιδάσκουσιν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Νοήσει θεόφρονι, τὰς ἀσωμάτους Νόας διέγραψας. καὶ τὰς τούτων παμμάκαρ, ὑμνολογίας εὐθὺς γενόμενος, τὴν Ἐκκλησίαν ὑμνεῖν ἐξεπαίδευσας, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Δοχεῖον τοῦ Πνεύματος, τοῦ παναγίου ὤφθης εὐάρμοστον, καὶ τὰς τούτου ἐμπνεύσεις, καὶ φανερώσεις προφητικώτατα, προαγορεύων, σοφὲ Διονύσιε, εὐλογητὸς ἐκβοῶν, ὁ τῶν Πατέρων Θεός.

Θεοτοκίον.

Ἰδοὺ νῦν πεπλήρωται, τοῦ Ἡσαΐου ἡ προαγόρευσις. ἐν γαστρὶ σοῦ Παρθένε τὸν Λόγον ἔσχες καὶ ἀπεκύησας, τὸν ζωοδότην, ᾧ πάντες κραυγάζομεν· εὐλογητὸς ὁ Θεός.

Ὠδὴ η. Ἑπταπλασίως κάμινον.

Διαφανὲς ὡς ἔσοπτρον, γεγονὼς Διονύσιε. καὶ χωρητικὸν τῶν καθαρῶν ἐμφάσεων, τὸν νοῦν ἐργασάμενος, δι' ἀρετῆς πανόλβιε. τὰς μαρμαρυγὰς τῶν ὑπὲρ νοῦν λαμπηδόνων, δεχόμενος ἐβόας, Ἱερεῖς εὐλογεῖτε.

Ἀφθονωτέρα χάριτι σοῦ, ἐξεχύθη τοῖς χείλεσιν. ὅθεν τὰς ἐνθέους, διδαχὰς παρέθηκας, τὴν τούτων διάνοιαν, ὑπερφυῶν ἡμῖν ἐξαπλῶν, καὶ διατρανῶν καὶ τηλαυγῶς ἀναπτύσσων, τοῖς πίστει μελῳδοῦσιν, Ἱερεῖς εὐλογεῖτε.

Τιμιωτέρα γέγονε, διὰ σοῦ Διονύσιε, ἡ τῶν Ἀθηναίων εὐκλεὴς Μητρόπολις, Χριστῷ προσενέγκασα, καὶ ἀπαρχὴν πανίερον· τῷ Παμβασιλεῖ διηνεκῶς μελῳδοῦσα, οἱ Παῖδες εὐλογεῖτε. Θτ.

Μῆτερ Θεοῦ πανάμωμε, τῆς ψυχῆς μου τὰ τραύματα, καὶ τῆς ἁμαρτίας, τὰς οὐλὰς ἐξάλειψον. Υἱὸν γὰρ ἐγέννησας, τὸν ἔχοντα, τοὺς πεπεδημένους ταῖς σειραῖς τῶν πταισμάτων, εὐκόλως ἀνιέναι, τῶν δεσμῶν τῶν ἀλύτων, τὸν μόνον εὐεργέτην, Θεὸν εἰς τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

„ Ἑπταπλασίως κάμινον, τῶν Χαλ-
„ δαίων ὁ τύραννος, τοῖς θεοσεβέσιν
„ ἐμμανῶς ἐξέκαυσε, δυνάμει δὲ κρείτ-
„ τονι, περισωθέντας τούτους ἰδὼν, τῷ
„ δημιουργῷ καὶ λυτρωτῇ ἀνεβόα· οἱ Παῖ-
„ δες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς
„ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ. Ἐξέστη ἐπὶ τούτῳ.

Ἁγίων Ἀποστόλων ἀξιωθεὶς, θεατὴς χρηματίσαι καὶ σύμπονος, συγκοινωνὸς, γεγονὼς τῆς δόξης καὶ σὺν αὐτοῖς, ἐπὶ τὴν θέαν ἔσπευσας, σώματος τοῦ ὄντως ζωαρχικοῦ, τῆς μόνης Θεοτόκου, καὶ σεβασμιωτάτης, ἣν ἐπαξίως μεγαλύνομεν.

Τῆς θείας Βασιλείας ἐν Οὐρανοῖς, κληρονόμος ἐγένου ὡς ἔννομος, Ἀρχιερεὺς, πάτερ ὡς ἀήττητος ἀθλητὴς, Ἱερωσύνης χρίσματι, αἷμα συγκεράσας μαρτυρικόν. διὸ διπλοῦς στεφάνους, ἀπείληφας ἀξίως, Ἱερομύστα Διονύσιε.

Ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Θεὸν, Ἱεράρχα σοφὲ Διονύσιε, διὰ παντὸς, πρέσβευε ῥυσθῆναι ἐκ πειρασμῶν, τοὺς εὐσεβῶς ὑμνοῦντάς σε, μύστα τῶν ἀῤῥήτων θεωριῶν, ὡς τῆς κρυφιομύστου, καὶ θεαρχικωτάτης, Ἱεροφάντης ἀγαθότητος.

Θεοτοκίον.

Νικῶσαν τὰς αἱρέσεις νεανικῶς, τὴν σεπτὴν Ἐκκλησίαν ἀνάδειξον, ἣν ὁ Χριστὸς, Αἵματι τιμίῳ τῷ ἑαυτοῦ, ὡς ἀγαθὸς ἐκτήσατο, κεχαριτωμένη ὁ σὸς Υἱός. καὶ σῶσον ἐκ κινδύνων, καὶ τῆς ἐπικρατείας, τῆς κατεχούσης ἡμᾶς λύτρωσαι.

Ὁ Εἱρμός.

„ Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανὸς, καὶ τῆς
„ γῆς κατεπλάγη τὰ πέρατα, ὅτι
„ Θεὸς, ὤφθη τοῖς ἀνθρώποις σωματι-
„ κῶς. καὶ ἡ γαστήρ σου γέγονεν, εὐρυχω-
„ ρο-

Digitized by Google

„ ροτέρα τῶν Οὐρανῶν. διό σε Θεοτόκε, „ Ἀγγέλων καὶ ἀνθρώπων, ταξιαρχίαι „ μεγαλύνουσιν.

Ἐξαποστειλ. Πρὸς. Τοῖς Μαθηταῖς.

Τῷ Παύλῳ Διονύσιε, τῷ κλεινῷ κορυφαίῳ, μαθητευθεὶς παμόλβιε, ὑπ' αὐτοῦ ἐμυήθης, τῶν ἀποκρύφων τὴν γνῶσιν. ὅθεν καί σε λαμπτῆρα, τῇ Ἐκκλησίᾳ τίθησιν, Ἀθηνῶν προχειρίσας τῆς ἀσεβοῦς, Ἱεράρχην Πόλεως, ἣν φυλάττοις, ὀρθοδοξοῦσαν πάνσοφε, ταῖς ἀρχαῖς θεοκῆρυξ. Θεοτοκίον.

Ἐν τῇ σεπτῇ κοιμήσει σου, πανα γία Παρθένε, παρῆν ὁ Διονύσιος, σὺν τῷ Ἱεροθέῳ, καὶ Τιμοθέῳ τῷ Θείῳ, ἅμα τοῖς Ἀποστόλοις, ὕμνον ἐξάδων ἕκαστος, πρόσφορον τῇ σῇ μνήμῃ, μεθ' ὧν καὶ νῦν, πᾶσα γλῶσσα βρότειος ἀνυμνεῖ σε, τὴν τοῦ Θεοῦ λοχεύτειαν, καὶ τοῦ Κόσμου προστάτιν.

Εἰς τὸν σ. π. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος Πλ. δ'. Γερμανοῦ.

Ἐν Ἱερεῦσι καὶ Μάρτυσι, διαπρέψας ὅσιε, πιστὸς ἀνεδείχθης Ποιμὴν, καὶ Χριστοῦ πιὼν τὸ ποτήριον. διὸ ἐν ἑκατέροις εὐαρεστήσας αὐτῷ τῷ Χριστῷ, πρέσβευε ὑπὲρ πάντων ἡμῶν, σὺν τοῖς ἄνω λειτουργοῖς, ἐν φωτὶ νῦν αὐλιζόμενος.

Καὶ νῦν. Ὢ τοῦ παραδόξου.

Τὴν πᾶσαν ἔξωσον Δέσποινα, τῆς ταπεινῆς μου ψυχῆς, ῥαθυμίαν ἀμέλειαν, ἀκηδίαν ἄνοιαν, ἀσωτείαν ἀσέλγειαν, ἀντιλογίαν, ἀνηκοΐαν δεινὴν, τῶν προσταγμάτων τοῦ Θείου Πνεύματος. πᾶσαν πρὸς τούτοις δὲ, ἀπληστίαν ἄγνοιαν ἀσυμπαθῆ, τρόπον ἀσυνείδητον, γνώμην καὶ σῶσόν με.

Σταυροθ. Κύριε εἰ καὶ κριτηρίῳ.

Ἀνάρχε Λόγε τοῦ Πατρὸς καὶ Υἱέ μου, καὶ τῷ Πνεύματι σύνθρονε. πῶς τὰς σὰς ἀχράντους παλάμας, ἐπὶ τοῦ ξύλου ἐξέτεινας; τίς ἡ τοσαύτη σου νῦν, πτωχεία ὑπεράγαθε; παριστάμενη τῇ σῇ σταυρώσει, ἀνεβόα ἡ πανάμωμος.

Εἰς τὴν Λειτουργίαν, Προκείμενον. Ἦχος βαρύς. Καυχήσονται ὅσιοι ἐν δόξῃ. σ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ὁ Ἀπόστολος. Πράξεων τῶν Ἀποστόλων. Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐκδεχομένου τοῦ Παύλου. Ζήτει τῇ β'. τῆς ς'. Ἑβδομάδος τοῦ Πάσχα, ἀπὸ τοῦ μέσου. Ἀλληλούϊα. Ἦχος β'. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται. Εὐαγγέλιον κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην, ὡμοιώθη ἡ Βασιλεία τῶν Οὐρανῶν θησαυρῷ. Ζήτει τῇ Παρασκευῇ τῆς ς'. Ἑβδομάδος τοῦ Ματθαίου. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

---

## Τῷ αὐτῷ Μηνὶ Δ'.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἱεροθέου Ἐπισκόπου Ἀθηνῶν. Εἰς τὸ, Κύριε ἐκέκραξα. σ. προσόμοια. Ἦχος δ'.

Πανεύφημοι Μάρτυρες.

Ὁ Φωτοειδέστατος Χριστοῦ, ἔρως καὶ θειότατος, τὴν σὴν ψυχὴν κατελάμπρυνε, καὶ τὴν διάνοιαν, γλυκυτάτῳ φέγγει, ἀσεβῶς ἐπύρσευσε, καὶ πᾶσαν αἰσθητὴν ἡδυπάθειαν, ὡς πῦρ κατέφλεξεν, Οὐρανίων ἐπιλάμψεων, ἐκτελέσας, δοχεῖον πανέντιμον.

Ἡ μεγαλοπρέπεια τῶν σῶν, λόγων Ἱερόθεε, καὶ τῶν σοφῶν ἀποδείξεων, ἡ παναρμόνιος, καὶ ἀκριβεστάτη, ἀγωγὴ καὶ μέθοδος, ἐπιστημονικῆς διαθέσεως, καρπὸς γνωρίζεται, καὶ φωτίζει τοὺς προστρέχοντας, καὶ σοφίζει, τοὺς ἀναγινώσκοντας.

Τῶν περιφανεστάτων τῶν σῶν, συνταγμάτων ὅσιε, περὶ τὰ θεῖα θεάματα, ὁ Διονύσιος, ὁ πολὺς τὰ θεῖα, τοῖς πιστοῖς ἐκήρυξε, καὶ τὸ ὑπερφυὲς τῶν δογμάτων σου. μεθ' οὗ δυσώπησον, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Παρθένε πανύμνητε Μωσῆς, τὸ ἐν σοὶ μυστήριον, Προφητικοῖς εἶδεν ὄμμασι, βάτον τὴν ἄφλεκτον, εἴπερ καιομένην. πῦρ γὰρ τῆς Θεότητος, τὴν μήτραν σου Ἁγνὴ οὐ κατέφλεξε. διὸ αἰτοῦμέν σε, ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν, τὴν εἰρήνην παράσχου τοῖς δούλοις σου.



Digitized by Google

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν σφαγῇ σου τὴν ἄδικον Χριστέ, ἡ Παρθένος βλέπουσα, ὀδυρομένη ἐβόα σοι· τέκνον γλυκύτατον, πῶς ἀδίκως θνήσκεις; πῶς τῷ ξύλῳ κρέμασαι, ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι; μὴ λίπῃς μόνην με, εὐεργέτα πολυέλεε, τὴν Μητέρα καὶ δούλην σου δέομαι.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. Κανόνες τῆς Ὀκτωήχου β'. καὶ τοῦ Ἁγίου.

Οὗ ἡ ἀκροστιχίς.

Τὴν φωσφόρον συ παμμάκαρ μνήμην σέβω.

Θεοφάνους. Ὠδὴ α'. Ἦχος Πλ. δ'.

Ὑγρὰν διοδεύσας.

Τὸν οὐρανοφοίτην μυσταγωγόν, θεόληπτον Παῦλον, τὸν τοῦ Κόσμου σαγηνευτήν, διδάσκαλον ἔχων θεωρίας, τῆς ἀνωτάτω μύστης γέγονας.

Ἡ πνευματοκίνητος ἐμφανῶς, τοῦ Παύλου σε γλῶσσα, φθεγγομένη τὰ τοῦ Θεοῦ, μυστήρια μάκαρ περιέσχε, καὶ θεηγόρον ἀπειργάσατο.

Νυττόμενος πόθῳ πνευματικῷ, καὶ θείοις λογίοις, ἐν συνέσει προσομιλῶν, τῷ πάντων Δεσπότῃ παμίερος, θεολογίας ἀνατέθεικας. Θεοτοκίον.

Φωτὸς ἀϊδίου θεοπρεπές, δοχεῖον Παρθένε, γινωσκομένη καὶ καθαρόν, κηλίδων με πάσης ἁμαρτίας, καὶ μολυσμάτων πλῦνον Δέσποινα.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ὡς ἱερολογοῦντα, τὰ ἱερὰ γράμματα, καὶ τῆς εὐσεβείας, τὸν λόγον ἀνακηρύττοντα, πάντες τιμῶμέν σε, χαρμονικῶς συνελθόντες, μάκαρ Ἱερόθεε, καὶ μακαρίζομεν.

Ἐποπτείᾳ καὶ μνήσει, καὶ θεϊκῷ ἔρωτι, πρὸς τὸν εὐεργέτην, τῶν ὅλων ἀνατεινόμενος, τὸν νοῦν ἐλάμπρυνας, μαρμαρυγαῖς ταῖς ἐκεῖθεν, καὶ ψυχὴν ἐφαίδρυνας, μακαριώτατε.

Φερωνύμως ἐκλήθης, καὶ ἱερὸν ἔνθεον, καὶ ἡγιασμένον, θεόφρον ὤφθης ἀνάθημα, τῷ Παντοκράτορι, καὶ ποιητῇ τῶν αἰώνων, καὶ πᾶσιν ἐκόσμησας, τὸν ἐπουράνιον.

Θεοτοκίον.

Οὐρανὸν ὁ ταννύσας, καὶ τὴν τῆς γῆς ἄχανῆ τε, γῦρον ὁ κατέχων, τὰ πάντα φύσει Θεότητος, ἐν ταῖς ἀγκάλαις σου, σωματικῶς κατεσχέθη, καὶ πιστοῖς σε στήριγμα, πᾶσιν ἀνέδειξεν. Ὁ Εἱρμός.

„Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ
„τῆς Ἐκκλησίας δομῆτορ, σύ με στε-
„ρέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφε-
„τῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα,
„μόνε φιλάνθρωπε.

Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.

Πᾶσαν ηὔφρανας τὴν Οἰκουμένην, ὥσπερ ῥεύμασι ταῖς διδαχαῖς σου, τῆς εὐσεβείας τὰ δόγματα Ἱερόθεε. ἡ τῆς ζωῆς γὰρ πηγή, ὁ Χριστὸς ἐν σοὶ ἐπαναπαύσατο. Πάτερ ὅσιε αὐτὸν ἱκέτευε, παῤῥησίαν κεκτημένος ἄνωθεν, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτ. Ὅμοιον.

Θείας φύσεως οὐκ ἐχωρίσθη, σὰρξ γενόμενος ἐν τῇ γαστρί σου. ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον Μητέρα Παρθένον σε, ὡς πρὸ τοῦ τόκου φυλάξας παναμώμητον, μόνος Κύριος. αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Ἀμίαντος ἀμνὰς τοῦ Λόγου, ἡ ἀκήρατος Παρθενομήτωρ, ἐν τῷ Σταυρῷ θεασαμένη κρεμάμενον, τὸν ἐξ αὐτῆς ἀνωδίνως βλαστήσαντα, μητροπρεπῶς θρηνῳδοῦσα ἐκραύγαζεν· οἴμοι τέκνον μου, πῶς πάσχεις θέλων ῥύσασθαι, παθῶν τῆς ἀτιμίας τὸν ἄνθρωπον;

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Ῥητορικαῖς, θεηγορίαις ἐλάμπρυνας, τὰς χορείας, μάκαρ Ἱερόθεε, τὰς τῶν πιστῶν, καὶ τὸν ἱερόν, σύλλογον θεόφρον, τῶν Ἀποστόλων κατεύφρανας, ἐκστάσει θειοτέρᾳ, κεχρημμένος καὶ ψάλλων· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ὅλος Θεῷ, ἱερωμένος γεγένησαι, ὁλοτρόπως, μάκαρ δεξάμενος, ταῖς πρὸς αὐτὸν θεολογικαῖς, ἱερολογίαις, ἱεροφάν-

τορ

τορ Θεόληπτε. καὶ θεῖος ὑμνογράφος, καὶ σοφὸς θεηγόρος, τοῖς παροῦσιν ἐμφρόνως κεχρημένος.

Νῦν καθορῶν, Πάτερ τὰ θεῖα τρανώτερον, παρελθόντων, πάντων ἱερώτατε, τῶν αἰνιγμάτων καὶ τῶν σκιῶν, ταῖς ἀληθεστάταις, τῆς θεοπτίας ἐμφάσεσι, δυσώπησον σωθῆναι, τοὺς πιστῶς μελῳδοῦντας, τῇ δυνάμει σου.

Θεοτοκίον.

Σὺ τὸν Θεὸν, τὸν ἀχωρήτως χωρούμενον, ἐν κοιλίᾳ Παναγνε ἐχώρησας, ὡς καθαρὰ, καὶ παρθενικαῖς, καθωραϊσμένη, φαιδρότησιν, Ἀειπάρθενε. διό σε Θεοτόκον, ἀληθῶς ἀνυμνοῦμεν, καὶ τὸν Τόκον σου πίστει δοξάζομεν.

Ὠδὴ έ. Ἵνα τί με ἀπώσω.

Ὁμοδίαιτος μάκαρ, τῷ τῶν Ἀποστόλων ὑπάρχων συστήματι, σὺν αὐτοῖς ἐπέστης, τῇ κοιμήσει τῇ θείᾳ θεσπέσιε, τῆς τὸν ζωοδότην, σωματικῶς ἡμῖν τεκούσης, Παναγίας Ἁγνῆς Θεομήτορος.

Ὑπερφυῶς ἐνμονήσας, καὶ πρεσβυτικῶς ὑπὲρ φύσιν τὰ θαύματα, ὑφηγήσω πᾶσι, τοῖς πιστῶς δεχομένοις τὴν ἔλλαμψιν. καὶ τὰς σὰς παμμάκαρ, συνοπτικὰς θεολογίας, συνιέναι ποθοῦσι παρέχεις.

Πανολβίαις ἀκτῖσι, τῆς ὑπερφυοῦς φωταυγίας λαμπόμενος, ἀκριβείᾳ θείων, ἀποδείξεων καὶ καθαρότητι, τῶν πολλῶν ἐκράτεις, χρόνου τριβῇ καὶ θεωρίᾳ, σοφωτέρως τὰ θεῖα μυούμενος.

Θεοτοκίον.

Ἡ ἀπειράνδρως Παρθένε, τὸν ἀπερίοριστον φύσει Θεότητος, ἀνθρωπεύοντα Λόγον, δι' ἡμᾶς τοὺς ἀνθρώπους συνέλαβες, ἐξ αἱμάτων Κόρη, παρθενικῶν διαπλασθέντα, ὑπὲρ λόγον καὶ μόνον τὴς φύσεως.

Ὠδὴ ϛ. Ἱλάσθητί μοι Σωτήρ.

Μυήσει θεοπρεπεῖ, τὴν θείαν γνῶσιν μυούμενος; τοὺς λόγους Πάτερ τοὺς σοὺς, ὡς δεύτερα λόγια, σαφῶς καταλέλοιπας, ἱερογνωσίας, τὰς ψυχὰς ἡμῶν φωτίζοντα.

Μακάριος ἀληθῶς, ἐγένου θεομακάριστε, κεκαθαρμένῃ ψυχῇ, τὸ ὄντως μακάριον, καὶ μόνον ἐράσμιον, ἀγαπήσας κάλλος, τοῦ Σωτῆρος Ἱερόθεε.

Ἀχράντοις ἐπιβολαῖς, ἐνατενίζων θεόληπτε, ταῖς νοηταῖς ἀστραπαῖς, τῶν θείων ἐλλάμψεων, τῆς αὐτῶν μεθέξεως, καὶ φωτοδοσίας, κοινωνὸς ὤφθης μακάριε.

Θεοτοκίον.

Κυρίως καὶ ἀληθῶς, σὲ Θεοτόκον δοξάζομεν. τὸν ὄντως ὄντα Θεὸν, ἀρρήτως ἐκύησας, σαρκὶ καθ' ὑπόστασιν, συνδεδραμηκότα, Παναγία Μητροπάρθενε.

Ὁ Εἱρμός.

„Ἱλάσθητί μοι Σωτήρ. πολλαὶ γὰρ αἱ
„ἀνομίαι μου. καὶ ἐκ βυθοῦ τῶν κα-
„κῶν, ἀνάγαγε δέομαι. πρὸς σὲ γὰρ ἐ-
„βόησα· καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς
„σωτηρίας μου.

Κοντάκιον. Ἦχος Πλ. δʹ. Τῇ ὑπερμάχῳ.

Τὸν Ἱεράρχην Ἀθηνῶν, ἀνευφημοῦμέν σε, ὡς μυηθέντες διὰ σοῦ ξένα καὶ ἄρρητα. ἀνεδείχθης γὰρ θεόληπτος ὑμνολόγος. ἀλλὰ πρέσβευε παμμάκαρ Ἱερόθεε, ἐκ παντοίων συμπτωμάτων ἡμᾶς ῥύεσθαι. ἵνα κράζωμεν· χαίροις Πάτερ θεόσοφε.

Τῷ αὐτῷ Μηνὶ Δʹ. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἱεροθέου Ἐπισκόπου Ἀθηνῶν.

Στίχ. Ἱερόθεος ἱερώθη σοι πάλαι.
Νῦν δ' αὖ μεταστὰς, καὶ συνανήφθη Λόγε.
Τοῖς σῆμα κάλυψε τετάρτῃ Ἱερόθεον.

Οὗτος τῶν ἐν τῷ Ἀρείῳ πάγῳ ἐννέα βουλευτῶν εἷς ἦν. Προκατηχηθεὶς δὲ παρὰ τοῦ Ἀποστόλου Παύλου, Ἐπίσκοπος χειροτονεῖται Ἀθηνῶν. καὶ αὐτὸς τὸν μέγαν Διονύσιον τὴν εἰς Χριστὸν κατηχεῖ πίστιν. Αὐτὸς δὲ καὶ ἐπὶ τῇ κηδείᾳ τῆς Ὑπεραγίας Θεοτόκου ἦν ἐξάρχων, ἐπὶ τῇ συνελεύσει τῶν ἁγίων Ἀποστόλων, ὅλος ἐκδημῶν, ὅλος ἐξιστάμενος, καὶ παρὰ πάντων, ὧν ἠκούετο, καὶ ὡρᾶτο, θεόληπτος, καὶ θεῖος ὑμνολόγος φαινόμενος. Καλῶς δὲ καὶ θεοφιλῶς πολι-



Digitized by Google

λιτεύσάμενος, καὶ Θεὸν τῇ πολιτείᾳ καὶ τοῖς κατορθώμασιν ἀφραίας, πρὸς Κύριον ἐξεδήμησεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Πέτρου Καπετωλείων.

Στίχ. Εὔθικτος ὤν μάχαιρα Πνεύματος Πέτρος.
Τὸ τοῦ ξίφους εὔθικτον οὐκ ἐδειλία.

Οὗτος ἦν γέννημα καὶ θρέμμα τῆς αὐτῆς πόλεως. σοφὸς ἄγαν, συνέσει δὲ πολλῶν διαφέρων. Γάμῳ δὲ προσομιλήσας, καὶ παῖδας τρεῖς ἀποτεκών, τὸν μονασικὸν βίον ὑπῆλθε, καὶ Πρεσβύτερος βίᾳ τιμηθεὶς παρὰ τοῦ τὸν θρόνον ἰθύνοντος Βόστρων, ὡς διδάσκαλος Χριστιανῶν, τῷ τῶν Ἀγαρηνῶν διαβάλλεται ἐθνάρχῃ, καὶ ἐν τῇ τῶν Δαμασκηνῶν ἀχθεὶς, διὰ τὴν τοῦ Χριστοῦ ἀγάπην, πρῶτον μὲν τὴν γλῶτταν τμηθεὶς, τρανώτερον καὶ ὀξύτερον διεβόησεν. Εἶθ' οὕτω τὴν δεξιὰν χεῖρα ἀφαιρεῖται, καὶ τοὺς πόδας. Εἶτα τοὺς ὀφθαλμοὺς διορύττεται. καὶ Σταυρῷ προσπήγνυται. καὶ τὴν κεφαλὴν ἀποτέμνεται. καὶ πυρὶ τὰ ὀςᾶ πυρποληθεὶς, τῷ ποταμῷ ἀπερρίφη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Δομνίνης, καὶ τῶν θυγατέρων αὐτῆς, Βερίνης, καὶ Προσδόκης.

Στ. Τὸ τοῦ ποταμοῦ ῥεῦμα τρεῖς κόραι πλῦσιν,
Βιωτικῶν ἔχουσιν ἀγνοημάτων.

Αὗται αἱ γυναῖκες θείῳ ζήλῳ τρωθεῖσαι, καταλιποῦσαι οἰκίας καὶ συγγενεῖς, πρὸς τὴν ἀλλοτρίων μετετάξαντο. καὶ τὸ λοιπὸν φεύγουσαι, κατέλαβον τὴν Ἔδεσσαν. Ἐκεῖσε τοίνυν διατριβουσῶν, ἐξαίφνης ἐπίςαται ὁ ἀνὴρ καὶ πατὴρ, ςρατιώτας ἔχων πρὸς τὴν σύλληψιν τῆς θύρας. Ὡς δὲ συνελήφθησαν, κατέλαβον τὴν Ἱεράπολιν. ποταμὸς δὲ παραῤῥεῖ τὴν ὁδὸν ἐκείνην, καθ' ἣν ἐπανίεσαν. Αὗται λαθοῦσαι τοὺς ςρατιώτας ἀριςοποιουμένης καὶ μεθυόντας, ἀρχῇ συντόμῳ χρησάμεναι, εἰσῆλθον εἰς τὸν ποταμὸν, καὶ ἀφῆκαν ἑαυτὰς διὰ τῶν ῥευμάτων. καὶ οὕτως ἐτελειώθησαν διὰ τῆς τοῦ ὕδατος πνιγμονῆς.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Αὐδαύκτου, καὶ Καλλισθένης τῆς αὐτοῦ θυγατρός.

Στ. Θεοῦ θεωρεῖ κάλλος ἡ Καλλισθένη.
Οὗπερ τὸ θεῖον εἶχεν εἰς σκέπην σθένος.

Οὗτος ὑπῆρχεν ἐξ Ἐφεσίων τῆς Ἀσίας, ὃς καὶ Δοὺξ δυκῶν γεγονὼς, καὶ ἔπαρχος Μαξιμίνου, ἐν πλούτῳ καὶ συνέσει πολλῶν διαφέρων. Διὰ δὲ τὸ μὴ θελῆσαι αὐτὸν ἐκδοῦναι πρὸς γάμον τὴν ἑαυτοῦ θυγατέρα τῷ Βασιλεῖ, ὡς ἀλλοτρίῳ τῆς πίςεως, τὴν οὐσίαν δημεύεται. καὶ εἰς Μελιτηνὴν ἐξοριςθεὶς, τὴν κεφαλὴν ἀφαιρεῖται. Ἡ δὲ Καλλισθένη τὴν κεφαλὴν κειραμένη, καὶ ἀνδρικὸν σχῆμα περιβαλλομένη, ἐν Νικομηδείᾳ ἐκρύπτετο. Μετὰ δὲ χρόνους ὀκτὼ, πρός τινα γυναῖκα ἦλθεν ἐπὶ τὴν Θράκην, ἧς ἡ θυγάτηρ τοὺς ὀφθαλμοὺς ἐλελώβητο· ἣν καὶ ἰασαμένη, χάριν τῆς ἰάσεως, πρὸς κοινωνίαν γάμου οἱ τεκόντες ἁρμόσαι ταύτην, ἄνδρα πάντες εἶναι οἰόμενοι, τῇ ἰδίᾳ ἐβουλήθησαν θυγατρί. Ἡ δὲ, ἀναγκασθεῖσα, λέγει τὰ κατ' αὐτήν. καὶ ἐκπλαγέντες ὥσπερ εἰκὸς, ἐδόξασαν τὸν Θεόν. Τοῦ οὖν Μαξιμίνου ἀναιρεθέντος, κρατεῖ τῆς Βασιλείας Λικίνιος. τούτου τῇ γυναικὶ πιςῇ οὔσῃ, ἀδελφῇ τοῦ μεγάλου Κωνςαντίνου ἐμφανίζεται ἡ Καλλισθένη, καὶ ἐκτίθεται πάντα τὰ συμβάντα αὐτῇ. Ἡ δὲ προσλαμβάνει ταύτην, καὶ ὡς μητέρα καθιςᾷ τοῦ ἑαυτῆς Υἱοῦ. καὶ οὕτως ἡ μακαρία Καλλισθένη πᾶσαν τὴν πατρικὴν οὐσίαν, ἣν ἀφείλετο ὁ Μαξιμῖνος, ἀπολαμβάνει. καὶ τὸ ἅγιον λείψανον τοῦ πατρὸς αὐτῆς ἀπὸ Μεσοποταμίας εἰς Ἀσίαν κομίζει. καὶ μαρτύριον ἐν ὀνόματι αὐτοῦ δειμαμένη, καθιεροῖ. καὶ τὸ λειπόμενον τοῦ ἑαυτῆς βίου ἀποςολικῶς διανύσασα, πρὸς Κύριον ἐξεδήμησεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου πατρὸς ἡμῶν Ἀμμοῦν τοῦ Αἰγυπτίου.

Στ. Ἀσκήσεως διῆλθε τὴν ςενὴν τρίβον,
Ἀμμοῦν ὁ θεῖος, καὶ τρυφῆς εὗρε πλάτος.

Οὗτος Αἰγύπτιος ἦν τὸ γένος, καὶ ἐκ τῶν γονέων ὀρφανὸς, καὶ παρὰ τοῦ θείου αὐ-



Digitized by Google

τῷ ἀναγκασθεὶς, γυναικὶ συνεζύγη. καὶ συνοικήσας αὐτῇ χρόνους δεκαοκτώ, αὐτὸς μὲν ἐσχόλαζεν ἐν τῷ Βαλσαμῶνι, πολὺν αὐτῷ πόνον καὶ κόπον παρέχοντι, μηδόλως προσχὼν αὐτῇ ὡς γυναικί, ἀλλ' ὡς ἀδελφῇ. Οὗτος ἀναχωρήσας ἐκεῖθεν, προσφοιτᾷ Ἀντωνίῳ τῷ μεγάλῳ. καὶ λίαν θαυμασθεὶς ὑπ' αὐτοῦ, πολλοῖς ἐγένετο ὠφέλεια. καὶ μάλιστα διὰ τὰ γινόμενα ὑπ' αὐτοῦ ἀπόρρητα θαύματα.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Φαύστου, Γαΐου, Εὐσεβίου, καὶ Χαιρήμονος τῶν Διακόνων.

Οὗτοι μαθηταὶ ὑπῆρχον τοῦ μεγάλου Διονυσίου, καὶ Διάκονοι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ ὁ μὲν Γάϊος καὶ Φαῦστος, σὺν αὐτῷ ἐξωσθέντες, καὶ πολλὰ παθόντες, τὸ τοῦ μαρτυρίου τέλος ἐδέξαντο. Εὐσέβιος δὲ καὶ Χαιρήμων, μετὰ τὴν τοῦ Διδασκάλου ἐξορίαν, τοὺς ἐν φυλακαῖς ἐπισκεπτόμενοι Ἁγίους, καὶ τὰ τῶν Μαρτύρων λείψανα θάπτοντες, καὶ μέχρι τῶν Δεκίου χρόνων διακαρτερήσαντες, καὶ πολλοὺς ὑπομείναντες πειρασμοὺς διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν κρατηθέντες, ἀπεκεφαλίσθησαν. Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

Ἁγίων τὰ ἅγια, κατανοῆσαι σπεύδων μακάριε, καθαρότητι βίου, καὶ θεωρίας θείας ἀκρότητα, σαφῶς ἐκτήσω, καὶ ψάλλων ἐκραύγαζες· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ῥημάτων ὁ φθόγγος σου, καὶ συγγραμμάτων ἡ καλλιέπεια, κατευφραίνει τοὺς πόθῳ, προσομιλοῦντας καὶ διανίστησι, πρὸς ὑμνῳδίαν κραυγάζειν διδάσκουσα· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Δόξα.

Μονάδα Θεότητος, γνωριζομένην ἐθεολόγησας, ἐν προσώπων Τριάδι, καὶ ὑμνουμένην ἐν ὑποστάσεσι, τρισὶ Θεόφρον, καὶ ψάλλων ἀνέμελπες· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν. Καὶ νῦν.

Νομίμων τῆς φύσεως, Παρθενομῆτορ ἄνευ γεγέννηκας, τὸν διασώζοντα πάντων, τῶν ὁρωμένων καὶ νοουμένων Ἁγνή, ὃν ἀνυμνοῦντες, συμφώνως κραυγάζομεν· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ἡ πανσθενὴς τοῦ Πνεύματος. τοῦ Ἁγίου ἐνέργεια, τῇ καθαρωτάτῃ σου ψυχῇ σκηνώσασα, θεόληπτον κήρυκα, καὶ θεηγόρον ἔδειξεν, ἱεροπρεπῶς τὸν Λυτρωτὴν ἀνυμνοῦντα· ὃν Παῖδες εὐλογεῖτε Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Μετ' εὐσεβοῦς ζητήσεως, ἐρευνήσας τὰ ἄρρητα, τῆς οἰκονομίας τοῦ Χριστοῦ μυστήρια, τρανῶς ἐφανέρωσας, ὑφηγορίᾳ χρώμενος, καὶ τῇ γλυκυτάτῃ, τῶν σῶν λόγων συνθήκῃ. βοῶν ἀδιαλείπτως, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἡ παμολβία χάρις σε, θειοτέρας ἐμπνεύσεως, καὶ θεολογίας ἀκριβοῦς ἐνέπνευσεν, ἐντεῦθεν ἀνέβλυσας, ὡς ποταμὸς τὰ δόγματα· τὰς τῶν Ἀποστόλων κατευφραίνων καρδίας. μεθ' ὧν νῦν ἀναμέλπεις, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Νενεκρωμένην πάναγνε, τὴν ψυχήν μου τοῖς πταίσμασι, καὶ κακωμένην ἰοβόλῳ δήγματι, Θεὸν τὸν δυνάμενον, ζωοποιεῖν τὰ σύμπαντα, ἡ ἀπειρογάμως ὑπὲρ φύσιν τεκοῦσα, ἀνάστησον βοῶσαν, Ἱερεῖς εὐλογεῖτε.

Ὁ Εἱρμός.

„Ἑπταπλασίως κάμινον, τῶν Χαλδαίων ὁ τύραννος, τοῖς θεοσεβέσιν ἐμμανῶς ἐξέκαυσε, δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδών, τῷ δημιουργῷ καὶ λυτρωτῇ ἀνεβόα· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Σοφίας ὑπερσόφου ὡς ἐραστής, γεγονὼς τῶν χαρίτων τὸν στέφανον, τὸν εὐπρεπῆ, χαίρων ἐκομίσω νῦν παρ' αὐτῆς, καὶ χορευτὴς οὐράνιος, περὶ τὸν τῶν ὅλων δημιουρ-

μιουρ-

Digitized by Google

μιυργὸν, γενόμενος δυσώπει, σωθῆναι ἐκ κινδύνων, τοὺς σὲ ὑμνοῦντας Ἱερόθεε.

Ἐσκήνωσας τὰς ἄνω θείας αὐλὰς, καὶ μονὰς αἰωνίους κατῴκησας, καὶ στρατιαῖς, νῦν συνεορτάζεις ἀγγελικαῖς, σὺν Ἀποστόλων τάγμασιν, οἷς καὶ συναυλίζῃ χαρμονικῶς, μεθ' ὧν καὶ συναγάλλῃ, τοῖς πίστει σε τιμῶσι, θείαν εἰρήνην ἐξαιτούμενος.

Βεβαίας ἀντιδόσεις ἀπολαβὼν, ὧν ἐν γῇ τὰς ἐμφάσεις ἐκέκτησο, διηνεκεῖ, πόθῳ ἀμαράντῳ πρὸς τὸν Θεόν· νῦν ἐκτενῶς ἱκέτευε, Πάτερ Ἱερόθεε ἱλασμὸν, δοθῆναι τοῖς ἐν πίστει, τὴν μνήμην σου τελοῦσι, τὴν φωτοφόρον καὶ πανίερον.

Θεοτοκίον.

Ὦ Μῆτερ τοῦ τῶν ὅλων Δημιουργοῦ, μητρικῇ παῤῥησίᾳ δυσώπησον, τὸν σὸν Υἱὸν, σῶσαι δυναστείας τυραννικῆς, τοὺς αἰχμαλώτους δούλους σου, καὶ συκοφαντίας τῶν πονηρῶν, ἀνθρώπων καταργῆσαι, γαλήνην τε βραβεῦσαι, καὶ σωτηρίαν τοῖς ὑμνοῦσί σε. Ὁ Εἱρμός.

„ Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανὸς, καὶ τῆς γῆς „ κατεπλάγη τὰ πέρατα, ὅτι Θεὸς, „ ὤφθη τοῖς ἀνθρώποις σωματικῶς. καὶ ἡ „ γαστήρ σου γέγονεν, εὐρυχωροτέρα τῶν „ Οὐρανῶν. διό σε Θεοτόκε, Ἀγγέλων καὶ „ ἀνθρώπων, ταξιαρχίαι μεγαλύνουσιν.

Ἐξαποστειλ. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ὅτε ἡ Μήτηρ τοῦ Λόγου, πρὸς τὰς ἐκεῖ καταπαύσεις, μεταναστεύουσα ὤφθη, σὺν τοῖς λοιποῖς Ἀποστόλοις, σὺ Ἱερόθεε ὕμνοις, ἐπέστης ταύτην προπέμπων.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ, ὡς ἐτάχθη.

Τῷ αὐτῷ Μηνὶ Ε'.

Τῆς Ἁγίας Μάρτυρος Χαριτίνης.

Στιχηρά. Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τῆς χαρᾶς ὡς ἐπώνυμος, ἐν χαρᾷ προσεχώρησας, εἰς νυμφῶνα πάνσεμνε τὸν οὐράνιον, ἔνθα τὸ σὸν ἐπεπόθησας, κεκτῆσθαι πολίτευμα, ὑπομείνασα στεῤῥῶς, ἀλγεινὴν ὄντως βάσανον, τῶν ὀδόντων τε, καὶ ὀνύχων ἁπάντων ἐκρίζωσιν, ἀθληφόρε Χαριτίνη, παρθενομάρτυς πολύαθλε.

Τῶν λεόντων συνέθλασας, σιαγόνας πολύαθλε, σιαγόνων φέρουσα τὰ συνθλάσματα. τῶν δὲ ὀνύχων ἐκρίζωσιν, γενναίως ὑπήνεγκας, ἐκριζοῦσα τὰ δεινὰ, τῆς ἀπάτης φρυάγματα, θαλαττίοις τε, ἐν βυθοῖς ἀπεῤῥίφης τὴν κακίαν, ὑποβρύχιον ποιοῦσα, τοῦ πονηροῦ πολεμήτορος.

Μετὰ τέλος μακάριον, ἐν θαλάσσῃ ῥιφεῖσάν σε, σὸς γεννήτωρ εὔδοξε συνεκόμισεν, ἀναβοῶν μετ' ἐκπλήξεως, πῶς νῦν κεχαρίτωσαι, ἱερώτατον ὁμοῦ, καὶ ποθούμενον γέννημα, ταῖς κολάσεσι, τοῦ σεπτοῦ μαρτυρίου, καὶ τὴν κλῆσιν, ἀληθεύουσαν εἰργάσω, προτυπωθεῖσαν τῇ χάριτι.

Δόξα, καὶ νῦν. Θεοτ. Ὅμοιον.

Σωτηρίας λιμένα σε, τὸν ἀκύμαντον ἔχομεν ... κατέχοντες...

Σωτηρίας λιμένα σε, τὸν πανάκλυστον Ἄχραντε, καὶ πραεῖαν ὄντως γαλήνην ἔχομεν, οἱ ἐν πελάγει θεόνυμφε, σφοδρῶς χειμαζόμενοι, τῶν τοῦ βίου δυσχερῶν, καὶ δεινῶν περιστάσεων. διὰ τοῦτό σοι, καὶ προστρέχομεν πάντες ἐκβοῶντες· εἰς αἰῶνας μὴ ἐλλίπῃς, τῶν οἰκετῶν σου προΐστασθαι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἀμνὰς ἡ κυήσασα, τὸν ἀρνίον τὸν ἄμωμον, τὸν τὴν ἁμαρτίαν ἐλθὸν ἰάσασθαι, παντὸς τοῦ Κόσμου πανάχραντε, οἰκείῳ ἐν αἵματι, τὸ σφαγὲν ὑπὲρ ἡμῶν, καὶ ζωῶσαν τὰ σύμπαντα, σύ με ἔνδυσον, γυμνωθέντα τῆς θείας ἀφθαρσίας, ἐξ ἐρίου τοῦ σοῦ τόκου, περιβολὴν θείας χάριτος.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τῆς Ἁγίας.

Οὗ ἡ ἀκροστιχίς.

Τῆς Χαριτίνης τὴν χάριν μέλπω πόθῳ. Ἰωσήφ.

Ὠδὴ α'. Ἦχος δ'.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Ταῖς σαῖς μου, ὦ Χαριτίνη χάρισι, τὸν νοῦν χαρίτωσον, χαριτωθεῖσα ἄθλοις ἱεροῖς, ἱερῶς ἀνυμνῆσαί σε, ὡς ἀθληφόρον Μάρτυρα, καὶ παρθενίᾳ διαλάμψασαν.

Ἡ

Digitized by Google

Ἡ χάρις τοῦ παναγίου Πνεύματος, σὲ χαριτώσασα, χαροποιαῖς ἐφαίδρυνε πλοκαῖς, καὶ χαρὰν τὴν αἰώνιον, κληρονομεῖν ἐνίσχυσεν, ἀνδρειοφρόνως ἐναθλήσασαν.

Σταυρῷ σε ἀναρτηθέντα Δέσποτα, καταμονήσασα, ἡ εὐκλεής σου μάρτυς αἰκισμῶν καρτερεῖ τὸ ἐπίπονον, δυναμουμένη θελήσει σου, τοῦ τὴν ἡμῶν φύσιν νευρώσαντος.

Θεοτοκίον.

Χωρίον χωρητικὸν γεγένησαι, τῆς θείας φύσεως, Θεογεννῆτορ ἄχραντε. διό, Χαριτίνη ποθήσασα, παρθενικῶς ὀπίσω σου, τῷ σῷ Υἱῷ προσαπενήνεκται.

Ἦχος γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Ἀμάψας σου τὴν ψυχήν, ἔρως ὁ θεῖος τῆς σαρκὸς ἔρωτας, καὶ χαλεπὰ βράσματα, τὰ τῶν αἰκισμῶν ἐναπέσβεσε.

Ῥηγνύμενον πρὸ ποδῶν, μαρτυρικῶν τὸν δυσμενῆ βλέποντες, τῇ τοῦ Χριστοῦ χάριτι, αἴνεσιν αὐτῷ προσενέγκωμεν.

Ἰσχύϊ παντουργικῇ, τὴν κεφαλὴν τοῦ δυσμενοῦς ἔθλασας, σῆς κεφαλῆς φέρουσα, μάρτυς καρτερῶς τὴν κατάφλεξιν.

Θεοτοκίον.

Τὴν μόνην ἐν γυναιξίν, εὐλογημένην σε ἁγνὴ στέργουσα, ταῖς ἀγαθαῖς χάρισι, μάρτυς Χαριτίνη δεδόξασαι.

Ὁ Εἱρμός.

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα, σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.

θθ. κα. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τῶν νοουμένων τὸ τερπνὸν ἐπιποθοῦσα, τῶν ὁρωμένων τὸ ῥευστὸν καταλείψασα, ταῖς θεϊκαῖς ὠχύρωσαι ἐλπίσι τὸν νοῦν. ὅθεν πρὸς τὸ στάδιον, τῆς ἀθλήσεως Μάρτυς, χαίρουσα εἰσέδραμες, καὶ τὸν ὄφιν καθεῖλες, καὶ ἀνεπλέξω νίκης εὐπρεπῆ, στέφανον κόρη, Μαρτύρων ἀγλάϊσμα.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτ. Ὅμοιον.

Τῶν ἀκαθάρτων λογισμῶν μου τὰ πλήθη, καὶ τῶν ἀτόπων ἐννοιῶν τὰς νιφάδας, τίς ἐξειπεῖν δυνήσεται πανάμωμε; τὰς ἐπαναστάσεις δέ, τῶν ἀσάρκων ἐχθρῶν μου, τίς ἐκδιηγήσεται, καὶ τὴν τούτων κακίαν; ἀλλὰ τῇ σῇ πρεσβείᾳ ἀγαθή, τούτων μοι πάντων, τὴν λύτρωσιν δώρησαι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἐξ ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα, ἡ ἐπ᾽ ἐσχάτων σε σαρκὶ τετοκυῖα, ἐπὶ Σταυροῦ κρεμάμενον ὁρῶσά σε Χριστέ. οἴμοι ποθεινότατε, Ἰησοῦ ἀνεβόα, πῶς ὁ δοξαζόμενος, ὡς Θεὸς ὑπ᾽ Ἀγγέλων, ὑπὸ ἀνόμων νῦν βροτῶν Υἱέ, θέλων σταυροῦσαι; ὑμνῶ σε μακρόθυμε.

Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἱερεῖον ὥσπερ ἄμωμον πρὸς σφαγήν σε, ἐκ πατρικῶν ἀφήρπασαν, μάρτυς ἀθληφόρε, ἀγκαλῶν οἱ τύραννοι, Πατέρα Οὐράνιον, ὑπερβολικῶς ἀγαπήσασαν.

Νεάνισι ταῖς φρονίμοις ἀκολουθοῦσα, τὴν ψυχικὴν λαμπάδα σου, αἵματι πλουσίως, ἤρδευσας πανεύφημε, καὶ θεῖον κεκλήρωσαι, μάρτυς χαριτώνυμε θάλαμον.

Ἡ καρδία σου τῷ ἔρωτι τοῦ νυμφίου, πυρπολουμένη ἄνθρακας, πλάνης γενναιόφρον, λύθρῳ ἐναπέσβεσεν, αἱμάτων καὶ θάλασσαν, τῆς πολυθείας ἐξήρανε.

Θεοτοκίον.

Σωματούμενον ἐκύησας Θεὸν Λόγον, Θεογεννῆτορ ἄχραντε, ὃν ἡ Χαριτίνη, στέργουσα θερμότατα, πυρὶ ἀντετάξατο, καὶ πολυειδέσι στρεβλώσεσι.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Τὴν κάραν ξυρισμῷ, καὶ ἀνθράκων πυρώσεσι, συνθλίβοντές σου θεόφρον, λογισμοῦ σου τὸν τόνον, οὐδ᾽ ὅλως παρεσάλευσαν.

Ἥλους σου πρὸς σφαγήν, εἰκονίζουσα Κύριε, σὴν ἔμπυρον ὀβελίσκων, ὑποφέρω ὀδύνην, ἡ Μάρτυς ἀνεκραύγαζεν.

Νίκαις τὴν κεφαλήν, Χαριτίνη κατέστεψαι, νικήσασα τὸν τὴν Εὔαν, ἐκνικήσαντα ὄφιν, τοῖς ἄθλοις καλλιπάρθενε.

Θεοτοκίον.

Νοῦς βρότειος τὴν σήν, ὑπὲρ ἔννοιαν σύλ-

Digitized by Google

μιυργὸν, γενόμενος δυσώπει, σωθῆναι ἐκ κινδύνων, τοὺς σὲ ὑμνοῦντας Ἱερόθεε.

Ἐσκήνωσας τὰς ἄνω θείας αὐλὰς, καὶ μονὰς αἰωνίους κατῴκησας, καὶ στρατιαῖς, νῦν συνεορτάζεις ἀγγελικαῖς, σὺν Ἀποστόλων τάγμασιν, οἷς καὶ συναυλίζῃ χαρμονικῶς, μεθ' ὧν καὶ συναγάλλῃ, τοῖς πίστει σε τιμῶσι, θείαν εἰρήνην ἐξαιτούμενος.

Βεβαίας ἀντιδόσεις ἀπολαβὼν, ὧν ἐν γῇ τὰς ἐμφάσεις ἐκέκτησο, διηνεκεῖ, πόθῳ ἀμαράντῳ πρὸς τὸν Θεὸν· νῦν ἐκτενῶς ἱκέτευε, Πάτερ Ἱερόθεε ἱλασμὸν, δοθῆναι τοῖς ἐν πίστει, τὴν μνήμην σου τελοῦσι, τὴν φωτοφόρον καὶ πανίερον.

Θεοτοκίον.

Ὦ Μῆτερ τοῦ τῶν ὅλων Δημιουργοῦ, μητρικῇ παρρησίᾳ δυσώπησον, τὸν σὸν Υἱὸν, σῶσαι δυναστείας τυραννικῆς, τοὺς αἰχμαλώτους δούλους σου, καὶ συκοφαντίας τῶν πονηρῶν, ἀνθρώπων καταργῆσαι, γαλήνην τε βραβεῦσαι, καὶ σωτηρίαν τοῖς ὑμνοῦσί σε.

Ὁ Εἱρμός.

„Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανὸς, καὶ τῆς γῆς „κατεπλάγη τὰ πέρατα, ὅτι Θεὸς, „ὤφθη τοῖς ἀνθρώποις σωματικῶς. καὶ ἡ „γαστήρ σου γέγονεν, εὐρυχωροτέρα τῶν „Οὐρανῶν. διό σε Θεοτόκε, Ἀγγέλων καὶ „ἀνθρώπων, ταξιαρχίαι μεγαλύνουσιν.

Ἐξαποστειλ. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ὅτε ἡ Μήτηρ τοῦ Λόγου, πρὸς τὰς ἐκεῖ καταπαύσεις, μεταναστεύουσα ὤφθη, σὺν τοῖς λοιποῖς Ἀποστόλοις, σὺ Ἱερόθεε ὕμνοις, ἐπέστης ταύτην προπέμπων.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ, ὡς ἐτάχθη.

## Τῷ αὐτῷ Μηνὶ Ε΄.

### Τῆς Ἁγίας Μάρτυρος Χαριτίνης.

Στιχηρά. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τῆς χαρᾶς ὡς ἐπώνυμος, ἐν χαρᾷ προσεχώρησας, εἰς νυμφῶνα πάνσεμνε τὸν οὐράνιον, ἔνθα τὸ σὸν ἐπεπόθησας, κεκτῆσθαι πολίτευμα, ὑπομείνασα στερρῶς, ἀλγεινὴν ὄντως βάσανον, τῶν ὀδόντων τε, καὶ ὀνύχων ἁπάντων ἐκριζώσεις, ἀθλοφόρε Χαριτίνη, παρθενομάρτυς πολύαθλε.

Τῶν λεόντων συνέθλασας, σιαγόνας πολύαθλε, σιαγόνων φέρουσα τὰ συνθλάσματα. τῶν δὲ ὀνύχων ἐκρίζωσιν, γενναίως ὑπήνεγκας, ἐκριζοῦσα τὰ δεινὰ, τῆς ἀπάτης φρυάγματα, θαλαττίοις τε, ἐν βυθοῖς ἀπερρίφης τὴν κακίαν, ὑποβρύχιον ποιοῦσα, τοῦ πονηροῦ πολεμήτορος.

Μετὰ τέλος μακάριον, ἐν θαλάσσῃ ῥιφεῖσάν σε, σὸς γεννήτωρ εὔδοξε συνεκόμισεν, ἀναβοῶν μετ' ἐκπλήξεως, πῶς νῦν κεχαρίτωσαι, ἱερώτατον ὁμοῦ, καὶ ποθούμενον γέννημα, ταῖς κολάσεσι, τοῦ σεπτοῦ μαρτυρίου, καὶ τὴν κλῆσιν, ἀληθεύουσαν εἰργάσω, προτυπωθεῖσαν τῇ χάριτι.

Δόξα, καὶ νῦν. Θτ. Ὅμοιον.

Σωτηρίας λιμένα σε, τὸν πανάκλυστον ἄχραντε, καὶ πραεῖαν ὄντως γαλήνην ἔχομεν, οἱ ἐν πελάγει θεόνυμφε, σφοδρῶς χειμαζόμενοι, τῶν τοῦ βίου δυσχερῶν, καὶ δεινῶν περιστάσεων. διὰ τοῦτό σοι, καὶ προστρέχομεν πάντες ἐκβοῶντες· εἰς αἰῶνας μὴ ἐλλίπῃς, τῶν οἰκετῶν σου προΐστασθαι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἀμνὰς ἡ κυήσασα, τὸν ἀρνίον τὸν ἄμωμον, τὸν τὴν ἁμαρτίαν ἐλθὸν ἰάσασθαι, παντὸς τοῦ Κόσμου πανάχραντε, οἰκείῳ ἐν αἵματι, τὸν σφαγέντα ὑπὲρ ἡμῶν, καὶ ζωοῦντα τὰ σύμπαντα, σύ με ἔνδυσον, γυμνωθέντα τῆς θείας ἀφθαρσίας, ἐξ ἐκείνου τοῦ σοῦ τόκου, περιβολὴν θείας χάριτος.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχ. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τῆς Ἁγίας.

Οὗ ἡ ἀκροστιχίς.

Τῆς Χαριτίνης τὴν χάριν μέλπω πόθῳ. Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος δ΄.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Ταῖς σαῖς μου, ὦ Χαριτίνη χάρισι, τὸν νοῦν χαρίτωσον, χαριτωθεῖσα ἄθλοις ἱεροῖς, ἱερῶς ἀνυμνῆσαί σε, ὡς ἀθλοφόρον Μάρτυρα, καὶ παρθενίᾳ διαλάμψασαν.

Ἡ

Ἡ χάρις τοῦ παναγίου Πνεύματος, σὲ χαριτώσασα, χαροποιαῖς ἐφαίδρυνε πλοκαῖς, καὶ χαρὰν τὴν αἰώνιον, κληρονομεῖν ἐνίσχυσεν, ἀνδρειοφρόνως ἐναθλήσασαν.

Σταυρῷ σε ἀναρτηθέντα Δέσποτα, καταμονήσασα, ἡ εὐκλεής σου μάρτυς αἰκισμῶν καρτερεῖ τὸ ἐπίπονον, δυναμουμένη θελήσει σου, τοῦ τὴν ἡμῶν φύσιν νευρώσαντος.

Θεοτοκίον.

Χωρίον χωρητικὸν γεγένησαι, τῆς θείας φύσεως, Θεογεννῆτορ ἄχραντε. διό, Χαριτίνη ποθήσασα, παρθενικῶς ὀπίσω σου, τῷ σῷ Υἱῷ προσαπενήνεκται.

Ἦχος γ. Εὐφραίνεται ἐπὶ σοί.

Ἀνάψας σου τὴν ψυχήν, ἔρως ὁ θεῖος τῆς σαρκὸς ἔρωτας, καὶ χαλεπὰ βράσματα, τὰ τῶν αἰκισμῶν ἐναπέσβεσε.

Ῥηγνύμενον πρὸ ποδῶν, μαρτυρικῶν τὸν δυσμενῆ βλέποντες, τῇ τοῦ Χριστοῦ χάριτι, αἴνεσιν αὐτῷ προσενέγκωμεν.

Ἰσχύϊ παντουργικῇ, τὴν κεφαλὴν τοῦ δυσμενοῦς ἔθλασας, σῆς κεφαλῆς φέρουσα, μάρτυς καρτερῶς τὴν κατάφλεξιν.

Θεοτοκίον.

Τὴν μόνην ἐν γυναιξίν, εὐλογημένην σε ἁγνὴν στέργουσα, σαῖς ἀγαθαῖς χάρισι, μάρτυς Χαριτίνη δεδόξασται.

Ὁ Εἱρμός.

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα, σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθείς.

Τῶν μονίμων τὸ τερπνὸν ἐπιποθοῦσα, τῶν ὁρωμένων τὸ ῥευστὸν καταλείψασα, ταῖς θεϊκαῖς ὠχύρωσαι ἐλπίσι τὸν νοῦν. ὅθεν πρὸς τὸ στάδιον, τῆς ἀθλήσεως Μάρτυς, χαίρουσα εἰσέδραμες, καὶ τὸν ὄφιν καθεῖλες, καὶ ἀνεπλέξω νίκης εὐπρεπῆ, στέφανον κόρη, Μαρτύρων ἀγλάϊσμα.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τῶν ἀκαθάρτων λογισμῶν μου τὰ πλήθη, καὶ τῶν ἀτόπων ἐννοιῶν τὰς νιφάδας, τίς ἐξειπεῖν δυνήσεται πανάμωμε; τὰς ἐπαναστάσεις δέ, τῶν ἀσάρκων ἐχθρῶν μου, τίς ἐκδιηγήσεται, καὶ τὴν τούτων κακίαν; ἀλλὰ τῇ σῇ πρεσβείᾳ ἀγαθή, τούτων μοι πάντων, τὴν λύτρωσιν δώρησαι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἐξ ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα, ἡ ἐπ' ἐσχάτων σε σαρκὶ τετοκυῖα, ἐπὶ Σταυροῦ κρεμάμενον ὁρῶσά σε Χριστέ. οἴμοι ποθεινότατε, Ἰησοῦ ἀνεβόα, πῶς ὁ δοξαζόμενος, ὡς Θεὸς ὑπ' Ἀγγέλων, ὑπὸ ἀνόμων νῦν βροτῶν Υἱέ, θέλων σταυροῦσαι; ὑμνῶ σε μακρόθυμε.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἱερεῖον ὥσπερ ἄμωμον πρὸς σφαγήν σε, ἐκ πατρικῶν ἀφήρπασαν, μάρτυς ἀθληφόρε, ἀγκαλῶν οἱ τύραννοι, Πατέρα Οὐράνιον, ὑπερβολικῶς ἀγαπήσασαν.

Νεάνισι ταῖς φρονίμοις ἀκολουθοῦσα, τὴν ψυχικὴν λαμπάδα σου, αἵματι πλουσίως, ἤρδευσας πανεύφημε, καὶ θεῖον κεκλήρωσαι, μάρτυς χαριτώνυμε θάλαμον.

Ἡ καρδία σου τῷ ἔρωτι τοῦ νυμφίου, πυρπολουμένη ἄνθρακας, πλάνης γενναιόφρον, λύθρῳ ἐναπέσβεσεν, αἱμάτων καὶ θάλασσαν, τῆς πολυθείας ἐξήρανε.

Θεοτοκίον.

Σωματούμενον ἐκύησας Θεὸν Λόγον, Θεογεννῆτορ ἄχραντε, ὃν ἡ Χαριτίνη, στέργουσα θερμότατα, πυρὶ ἀντετάξατο, καὶ πολυειδέσι στρεβλώσεσι.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Τὴν κάραν ξυρισμῷ, καὶ ἀνθράκων πυρώσεσι, συνθλίβοντές σου θεόφρον, λογισμοῦ σου τὸν τόνον, οὐδ' ὅλως παρεσάλευσαν.

Ἥλους σου πρὸς σφαγήν, εἰκονίζουσα Κύριε, σὴν ἔμπυρον ὀβελίσκων, ὑποφέρω ὀδύνην, ἡ Μάρτυς ἀνεκραύγαζεν.

Νίκαις τὴν κεφαλήν, Χαριτίνη κατέστεψαι, νικήσασα τὸν τὴν Εὔαν, ἐκνικήσαντα ὄφιν, τοῖς ἄθλοις καλλιπάρθενε.

Θεοτοκίον.

Νοῦς βρότειος τὴν σήν, ὑπὲρ ἔννοιαν σύλ-

Digitized by Google

σύλληψιν, οὐ δύναται ὑμνῆσαι, Μητροπάρθενε Κόρη, Θεὸν γὰρ ἀπεκύησαι.

Ὠδὴ ϛ'. Θύσωσοι μετὰ φωνῆς.

Χαίρουσα, καὶ σημεῖον Χριστοῦ ἐστεφανώσε, τὴν ἱερὰν κορυφήν σου, ὑπὲρ οὗ τὸ πάσχειν προῄρησο, Ἀθληφόρε, τῆς χαρᾶς τῆς ἐνθέου ἐπώνυμε.

Ἄγγελος, Ἰωνᾶν ἐκ βυθοῦ ὁ ῥυσάμενος, σὲ θαλαττίῳ πελάγει, ἐῤῥιμμένην σώζει ζῶσαν θεόφρον, καὶ βυθῷ σου, τῶν αἱμάτων ἐχθροὺς κατεπόντισε.

Ῥομφαία, καρτερίας ἐχθροὺς ἐθανάτωσας, καὶ καρτεροῦσα ὀδόντων, παντελῆ ἐκρίζωσιν ἔνδοξε, τῶν λεόντων, τῶν ἀσάρκων τὰς μύλας συνέθλασας.

Θεοτοκίον.

Ἰσχύν σε, ἀραμένη Παρθένε καὶ στήριγμα, ἡ Χαριτίνη αἰκίσεις, καρτερῶς προσφέρει. καὶ χαίρουσα, σοῦ ὀπίσω, τῷ τῶν ὅλων Δεσπότῃ προσάγεται.

Ὁ Εἱρμός.

Θύσωσοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη τῷ δι' οἶκτον ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι Αἵματι.

Τῷ αὐτῷ Μηνὶ Ε'. Τῆς Ἁγίας Μάρτυρος Χαριτίνης.

Στίχ. Ὅπερ δὲ ἀρχῆς εἶχε σαρκὸς τὴν λύσιν,
Ἰδοὺ δι' ἀρχῆς λαμβάνει Χαριτίνη.

Αὕτη ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ Βασιλέως, καὶ Δομετίου κόμητος, δούλη οὖσα Κλαυδίου τινός. περὶ ἧς ὁ Κόμης ἀκούσας, γράφει τῷ κυρίῳ αὐτῆς, ἀποστεῖλαι πρὸς αὐτὸν εἰς ἐξέτασιν, ὡς Χριστιανὴν οὖσαν. ὁ δὲ κύριος αὐτῆς λυπηθεὶς, σάκκον ἐνδυσάμενος, ἐθρήνει αὐτήν. ἡ δὲ παρηγοροῦσα, ἔλεγε· κύριέ μου, μὴ λυποῦ, ἀλλὰ χαῖρε. ὑπέρ τε γὰρ τῶν ἐμῶν καὶ σῶν πλημμελημάτων, ἱερεῖον τῷ Θεῷ εὐπρόσδεκτον λογισθήσομαι. τοῦ δὲ εἰπόντος· μέμνησό μου ἐν τῷ Ἐπουρανίῳ Βασιλεῖ, ἀποστέλλει τῷ Κόμητι. καὶ ἀχθεῖσα, καὶ τὸν Χριστὸν ὁμολογήσασα, ξυρᾶται τὴν κεφαλήν. καὶ ζέουσαν ἀνθρακιὰν καταπάσσεται. εἶτα δεσμεῖται λίθῳ βαρεῖ, καὶ ῥίπτεται ἐν τῇ θαλάσσῃ. καὶ ἐξελθοῦσα, ἐνεφανίσθη τῷ Κόμητι. καὶ πολλὰ τιμωρηθεῖσα, καὶ τῶν ὀνύχων τῶν χειρῶν καὶ τῶν ποδῶν στερηθεῖσα, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Μαμέλχθης.

Στίχ. Ὁμοῦ λελουμένην με Χριστὲ προσδέχου,
Μαμέλχθα φησὶ, καὶ λίθοις βεβλημένην.
Πέμπτῃ βλῆτο λίθοισι καὶ θυμὸν ἀφῆκε Μαμέλχθη.

Αὕτη ὑπῆρχεν ἐκ Περσίδος, ἱέρεια δὲ τοῦ ναοῦ τῆς Ἀρτέμιδος. ἔχουσα καὶ ἀδελφὴν Χριστιανήν. εἶδε δὲ ἐν ὀνείρῳ Ἄγγελον Θεοῦ, δεικνύοντα αὐτῇ τὰ μυστήρια τῶν Χριστιανῶν. καὶ ἀναστᾶσα ἔμφοβος, διηγεῖται τῇ ἀδελφῇ. ἡ δὲ ἄγει αὐτὴν πρὸς τὸν Ἐπίσκοπον, καὶ βαπτισθεῖσα, ἐδέξατο αὐτὴν ἐκ τῆς ἀναγεννήσεως ἡ ἰδία ἀδελφή, ὅθεν μαθόντες οἱ Ἕλληνες, λίθοις αὐτὴν ἀπέκτειναν, ἔτι τὰ ἄμφια τοῦ ἁγίου Βαπτίσματος περιφέρουσαν, καὶ εἰς λάκκον βαθύτατον ἔῤῥιψαν, ἐξ οὗ μόλις οἱ Χριστιανοὶ ταύτην ἀνενεγκεῖν ἠδυνήθησαν. ὁ γοῦν Ἐπίσκοπος προσελθὼν τῷ Βασιλεῖ τῶν Περσῶν, ἔλαβεν ἐξουσίαν τοῦ καταλῦσαι τὸν ναὸν τῆς Ἀρτέμιδος, καὶ οἰκοδομῆσαι Ἐκκλησίαν τῇ Ἁγίᾳ Μάρτυρι. ὃ καὶ ποιήσας, ἐν αὐτῷ τὸ τίμιον αὐτῆς κατέθετο λείψανον.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὀπτασία Κοσμᾶ Μοναχοῦ, φοβερὰ καὶ ὠφέλιμος.

Ἐν ἔτει τρίτῳ καὶ δεκάτῳ τῆς Βασιλείας Ῥωμανοῦ τοῦ Ῥωμαίων εὐσεβῶς διιθύνοντος σκῆπτρα, ἦν τις ἀνὴρ ἐν ταύτῃ τῇ βασιλευούσῃ, εἷς ὢν τῶν ἐκ τοῦ Βασιλικοῦ κοιτῶνος τοῦ μικρῷ πρόσθεν τὴν Βασιλείαν διέποντος Ἀλεξάνδρου, καὶ πρὸς θεραπείαν οἰκειοτέρων. οὗτος τὸν μονήρη βίον ἐπαμελόμενος, γέγονε Ποιμὴν τῶν ἐν τῷ πρὸς Σάγγαρον ποταμὸν Μονῇ μοναζόντων Μοναχῶν. μετὰ δὲ τινα χρόνου περίοδον, συνέβη τούτῳ ἀῤῥωστίᾳ δεινῇ περιπεσόντι, ἐπὶ συχνὸν χρόνον ἐν ταύτῃ διαρκέσαι, ἐν δὲ τῷ συμπληροῦσθαι πεντάμηνιαῖον ἤδη καιρὸν,

Digitized by Google

ρον, περὶ τρίτην ὥραν τῆς ἡμέρας, μικρὸν ἀναψύξας, καὶ εἰς ἑαυτὸν γενόμενος, ἠρέμα πως τοῦ κλινιδίου ἀναστάς, ἐκάθισεν ἔνθεν κἀκεῖθεν ἀπὸ τῶν συνήθων αὐτῷ στηριζόμενος, καὶ ἐν τῷ καθῆσθαι, ἔξω γεγονὼς ἑαυτοῦ ἀπὸ τρίτης ὥρας ἕως ἐννάτης, τοὺς ὀφθαλμοὺς ἔχων ἀτενίζοντας πρὸς τὸν ὄροφον τοῦ οἰκήματος, καὶ τὸ στόμα ὑποψιθυρίζων ἄναρθρα καὶ πάντη ἀκατανόητα. ἐν τῷ μέσῳ οὖν τῶν εἰρημένων ὡρῶν, εἰς ἑαυτὸν μικρὸν ἐπανελθών, ἀπῄτει τοὺς αὐτῷ συνόντας ἄρτου ξηροῦ κλάσματα δύω. δότε μοι τὰς δύω τοῦ ἄρτου μερίδας λέγων, ἃς παρὰ τοῦ τιμίου γέροντος ἔλαβον. καὶ λέγων, ὑπετίθει τῷ κόλπῳ τὰς χεῖρας ψηλαφῶν τὰ ζητούμενα. τινὲς δὲ τῶν παρόντων, φάντασμα καὶ μὴ ὀπτασίαν τὸ πρᾶγμα ἡγούμενοι, ἠντιβόλουν ἐξειπεῖν αὐτοῖς τὸ μέγα τοῦτο μυστήριον. εἶπε Πάτερ, καὶ μὴ βασκαίνῃς ἡμῖν τῆς ὠφελείας, ποῦ τὰς τοσαύτας ὥρας ἦς; εἰς ποίαν δὲ θεωρίαν τὸν νοῦν ἀνεβίβαζες; καὶ τὰ χείλη ὑποκινῶν, τίνι συνελάλεις, ὁ δέ, σφόδρα κοπτομένων αὐτῶν, παύσασθε ἔφη τέκνα, καὶ τοῦ Κυρίου διδόντος, ἂν εἰς ἑαυτὸν συνέλθω, τὴν αἴτησιν ὑμῶν ἐκπληρώσω. ἕωθεν οὖν πάσης τῆς ἀδελφότητος πρὸς αὐτὸν συνδραμούσης, οὕτω τῆς διηγήσεως ἄρχεται. τὸ μὲν οὖν πάντα κατὰ μέρος ἀνατυπῶσαι τῷ νοΐ, Πατέρες καὶ ἀδελφοί, καὶ λεπτομερῶς διηγήσασθαι, κρεῖττον ἢ κατὰ νοῦν καὶ γλῶσσαν ἀνθρωπίνην, πλὴν ὅσα φέρω διὰ μνήμης, οἷός τε εἰμὶ διηγήσασθαι, ταῦτα διηγήσομαι ὑμῖν. ὡς ἐκαθήμην τῷ κλινιδίῳ ὑπὸ τῶν δύω ἀδελφῶν στηριζόμενος, ἔδοξα θεωρεῖν, ὡς ἀπὸ τοῦ πρὸς ἀριστερὸν μέρους, πλῆθος ἀνθρωπαρίων ἀνεικάστων, μεμελανωμένων τὰ πρόσωπα, οὐκ ἐπίσης δὲ πᾶσιν ἡ μελανία προσῆν. ἀλλὰ τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον. καὶ οἱ μὲν διεστραμμένας εἶχον τὰς ὄψεις, οἱ δέ, τοὺς ὀφθαλμοὺς πελιδνούς, ἄλλοι καθημαγμένους φόνιον καὶ θηριῶδες βλέποντας, καὶ τοῦ μέν, πελιδνὰ τὰ χείλη, καὶ πολλὴν τὴν ὄγκωσιν φέροντα, τοῦ δέ, τὸ ἕν. καὶ τοῦ μέν, τὸ ἄνω, τοῦ δέ, τὸ κάτω. τὰ τοιαῦτα τοίνυν ἀνθρωπάρια πλησίον τῆς κλίνης ἐγένοντο, καὶ σπουδὴν εἶχον λαβεῖν με ἀφ' ὑμῶν. καὶ τὰ μὲν πρῶτα, κύκλωθεν ὑμᾶς παρόντας ὁρῶν, ἐδόκουν μὴ σφόδρα δεδοικέναι, μηδὲ πρός τινα ὁρμὴν δειλιᾶν, οὐκ οἶδα δέ, πῶς μονωθεὶς ἀφ' ὑμῶν, ὑπ' ἐκείνων ἐκυριεύθην, καὶ δὴ λαβόντες με θρασέως, οἱ μέν, ἐπὶ τὸ πρόσω δέσμιον εἷλκον, οἱ δέ, ὤθουν ὄπισθεν. καὶ οἱ μέν, ἄλλος ἀλλαχόθεν με συνεπόδιζον. οἱ δὲ σφοδρῶς ὑπεπίεζον, καὶ τέλος ἀπαγαγόντες με πρός τινα παμμεγέθη κρημνόν, οὗ τὸ πλάτος ἦν οὐ πλεῖον λίθου βολῆς, τὸ δὲ βάθος, ἕως ταρτάρου, πρὸς τοῦτον βιαίως κατέσυρον. ἐπὶ τῷ ἑνὶ δὲ τοῦ κρημνοῦ μέρη ὑπῆρχεν ὁδὸς στενὴ λίαν, ὡς μηδὲ ὅλως ἴχνος ποδὸς δύνασθαι ταύτην χωρεῖν. κατὰ ταύτην δὲ τὴν στενὴν καὶ λεπτοτάτην ὁδὸν βιαίως ὑπ' ἐκείνων ἑλκόμενος, πρὸς τὸ δεξιὸν πλευρὸν μᾶλλον πλαγιάζων, μήπως ἀποσπασθείς, εἰς τὸ ἀχανὲς κατενεχθῶ, καὶ ἀνεκδιήγητον βάραθρον. κατὰ δὲ τὸ χάος ἐκεῖνο ποταμὸς ἐῴκει διέρχεσθαι, μεγάλως βρύθων τοῖς ῥεύμασι. μετὰ πολλοῦ τοίνυν τρόμου τὴν στενωτάτην ἐκείνην ὁδὸν παρελθόντες, ὡς ἔσω δῆθεν μέρος βαδίζοντες, πρὸς τὸ τέλος, εἴτ' οὖν ἀρχὴν τοῦ φοβεροῦ τούτου κρημνοῦ, καὶ τοῦ κατ' αὐτὸν ποταμοῦ, πύλην μεγάλην μικρὸν ἀνεῳγμένην ἐφθάνομεν. πρὸς ἣν ἐκάθητο μέγας γιγαντιαῖος ἀνήρ, μέλας μὲν τὸ εἶδος, φοβερὸς δὲ τὴν πρόσοψιν. οὗ οἱ ὀφθαλμοὶ μὲν διάστροφοι, λίαν παμμεγέθεις, καὶ ὕφαιμοι, καὶ φλόγα πυρὸς πολλὴν ἐναπέπεμπον· μυκτὴρ δὲ καπνὸν ἀπερεύγετο· γλῶσσα δὲ πῆχυν ἕνα τοῦ στόματος ἔξω ἀπεκρέματο. καὶ δεξιὰ μὲν χεὶρ εἰς ἅπαν ἐπέψυκτο. θατέρα δὲ δίκην ἐξώγκοτο κίονος, καὶ αὐτὴ γυμνὴ καὶ λίαν τεταμένη, μεθ' ἧς τῶν ὑπαθλίων δρασσόμενος, εἰς ἐκεῖνο τὸ χάος ἀπερρίπτεν. οἱ δὲ ἐν τούτῳ καταδικαζόμενοι, τό, οὐαί, καὶ τό, οἶμαι πάντες ἀνέκραζον· πλησιάσαντες τοίνυν τῷ φοβερῷ τούτῳ καὶ ἀγρίῳ ἀνδρί,

σφο-

Digitized by Google

σφοδρῶς οὗτος αὐθὺς βοήσας πρὸς τοὺς ἀπαγαγόντας με. οὗτος φίλος μου ἐστίν. ἅμα τὴν χεῖρα ἐξέτεινε κρατῆσαί με προθυμούμενος. ἐγὼ δὲ φόβῳ παθεὶς ἐστόμαξα, καὶ πρὸς ἐμαυτὸν συνεστάλην, καὶ παραχρῆμα, ὥσπερ ἐξ ἀποστολῆς τινός, ἐφάνησαν δύω ἄνδρες πεπολιωμένοι, καὶ ἱεροπρεπεῖς, οὓς Ἀνδρέαν εἶναι καὶ Ἰωάννην τοὺς Ἱεροὺς Ἀποστόλους ἐνόμιζον, ὅσον ἀπὸ τῆς τῶν Ἁγίων Εἰκόνων θεωρίας ἀναλογιζόμενος. τούτους ἰδὼν ἐκεῖνος ὁ δυσειδέστατος, αὐθὺς συσταλεὶς ὑπεκρύβη, καὶ δὴ λαβόντες με γνησίως οἱ δύω οὗτοι γηραιοί, καὶ διελθόντες τὰς μικρὰς πρόσθεν εἰρημένας πύλας, καὶ τὴν ἔνδον τῶν πολῶν πόλιν περάσαντες, ἐξήλθομεν εἴς τινα πεδιάσιμον τόπον, ἐν ᾧ κάλλιστα χωρία, καὶ ὡραῖα ἐτύγχανον. ἃ παραλείψαντες, παρὰ τὸ τέλος τῆς πεδιάδος, κοιλάδα χλοεράντε, καὶ πάντερπνον εὕρομεν. ἧς τὴν ὡραιότητα τοῦ κάλλους καὶ τὴν ἐνοῦσαν χάριν ἑρμηνεῦσαι, καὶ παραστῆσαι λόγῳ λίαν ἀδύνατον. κατὰ δὴ τὸ μέσον αὐτῆς γηραιός τις ἐκάθητο, χαρίεις καὶ τίμιος, περὶ αὐτὸν ἔχων παιδίων πλῆθος, παραπλησίαν τῇ ἄμμῳ τῆς θαλάσσης. τότε τοίνυν ἐγὼ τὸν φόβον ἀποβαλλόμενος, ἠρέμα πῶς τοὺς ἀπάγοντάς με ἠρώτησα· τίς ἂν εἴη ὁ γηραιός, καὶ τίς ὁ περὶ αὐτὸν ἀναρίθμητος ὅμιλος; οἱ δέ, οὗτος ἐστὶν, εἶπον, ὁ Ἀβραάμ, καὶ ὃν ἀκούεις κόλπον τοῦ Ἀβραάμ. καὶ ἅμα προσπεσεὶς παρ' αὐτῶν, προσεκύνησα μετ' αἰδοῦς, καὶ ἠσπασάμην ὃν ἔλεγον Ἀβραὰμ εἶναι, καὶ αὖθις ἐπὶ τὰς πρόσω πορείας ἐρχόμεθα, καὶ πληρουμένης τῆς κοιλάδος, διεδέχετο μέγιστος ἐλαιών, οὗ τὰ δένδρα πλείονα τῶν ἄστρων ἦσαν ὡς ὑπολαμβάνω τοῦ Οὐρανοῦ. καὶ καθ' ἕκαστον δένδρον, οἷον σκηνὴ ἦν, καὶ κλίνη καθ' ἑκάστην σκηνήν. ἐφ' ἑκάστην κλίνην ἄνθρωπος, ἐν οἷς ἀνεγνώρισα πολλοὺς μὲν τῶν ἀναστρεφομένων εἰς τὰ Βασίλεια. πολλοὺς δὲ τῶν κατὰ τὴν Πόλιν, τινὰς δὲ καὶ τῶν οἰκούντων ἐν τοῖς ἀγροῖς. καί τινας πρὸς τούτοις τῶν ἐκ τῆς καθ' ἡμᾶς Μονῆς. οὗτοι δὲ πάντες οὓς ἀνεγνώριζον, προτετελευτηκότες ἦσαν. ἐν ὅσῳ δὲ διελογιζόμην πυθέσθαι, τίς ὁ τηλικοῦτος καὶ θαυμαστὸς ἐλαιών, φθάνουσιν οἱ γηραιοὶ τὴν ἐρώτησιν, τί διαλογίζῃ λέγοντες, τίς ὁ μέγας οὗτος καὶ περικαλλὴς ἐλαιών, καὶ τίνα πάντα τὰ ἐν αὐτῷ; ταῦτα ἐστίν, ἅπερ ἀκούεις, πολλαὶ μοναὶ παρὰ σοὶ Σῶτερ πεφύκασι, κατ' ἀξίαν πᾶσι μεριζόμεναι. κατὰ τὸ μέτρον τῆς ἀρετῆς. καὶ μετ' ἐκεῖνον τὸν ἐλαιῶνα πόλις ἦν. ἧς τὸ κάλλος καὶ τὴν ποικιλίαν, καὶ τὴν περὶ τὸ τεῖχος ἁρμονίαν καὶ σύνθεσιν, ἀμήχανον ἐξειπεῖν, δώδεκα μὲν στοῖχοι περὶ τὸ τεῖχος ὅλον ἦσαν, ὥσπέρ τινες ζῶναι, ἐκ τῶν τιμίων δώδεκα λίθων ἐτύγχανον. ἑκάστη δὲ τούτων ἐξ ἑνὸς ἀνηρμόστου λίθου. καὶ ἑκάστη τούτων κύκλον ἴδιον ἀπαρτίζουσα. τί δὲ δεῖ λέγειν εὐθύτητα, πλάτος, καὶ ἰσότητα, τὴν ἐν ἅπασιν εὐαρμοστίαν καὶ σύμπηξιν; ἐπὶ δὲ τῷ τείχει πύλαι χρυσῷ καὶ ἀργύρῳ κεκραμένῳ κατεποικίλλοντο. τῶν δὲ πυλῶν ἔνδον, δάπεδον ἠνοίγετο χρύσεον, καὶ τοῦτο οἰκ[illegible] χρυσαῖ διεδέχοντο, καὶ χρυσαῖ καθέδραι, καὶ χρύσαιοι ἄβακες. ἡ δὲ Πόλις πᾶσα, πλήρης φωτὸς ἀνεκλαλήτου, πλήρης εὐωδίας, πλήρης χαρᾶς. τὴν δὲ Πόλιν πᾶσαν περιερχόμενοι, οὐκ ἄνθρωπον, οὐ κτῆνος, οὐκ ὄρνεον, οὐκ ἄλλο τι τῶν περὶ γῆν καὶ ἀέρα κινουμένων ὅλως κατείδομεν. πρὸς δὲ τὸ ἄκρον ταύτης τῆς Πόλεως, θαυμαστὰ Βασίλεια ᾠκοδόμηντο. εἰς δὲ τὴν τῶν Βασιλείων εἴσοδον, θάλαμος, οὗ τὸ περίμετρον, ὡσεὶ λίθου βολή. ἐπ' ἄκρον δὲ τοῦ θαλάμου μέχρι τῶν ἑτέρων ἄκρων τετάνυστο τράπεζα, ἐκ μαρμάρου πάσης ῥωμαϊκῆς, καὶ τοσοῦτον τῆς γῆς ἀπέχουσα, ὅσον ἐπερείδεσθαι ἄνθρωπον, πλήρης δὲ ἦν πᾶσα τῶν ἀνακειμένων, ἀκραιφνεστάτου δὲ φωτός, καὶ εὐωδίας πλήρης καὶ χάριτος, ἅπας ὁ οἶκος ἐπεπλήρωτο. πρὸς δὲ τῷ τέλει τοῦ θαλάμου μικροῦ κοχλίας ἐτύγχανε. τὸ δὲ τέλος τοῦ κοχλίου, τερπνὸν ἡλιακὸν διεδέχετο, πρὸς αὐτὴν ἐπινεῦον τὴν τράπεζαν. ἐξ οὗ φωτοειδεῖς εὔνουχοι δύω προκύψαντες, τὴν ὄψιν ἀ-

στρα-

Digitized by Google

στρατηῦ παραπλήσιοι, καὶ πάσης ἀγλαΐας ὑπέρπλεοι, λέγουσιν ἐκείνοις τοῖς γηραιοῖς τοῖς κρατοῦσί με. κατακλιθήτω δὴ καὶ οὗτος ἐπὶ τὴν τράπεζαν. καὶ ἅμα τῷ λόγῳ τὸν τόπον ὑποδεικνύουσιν, ἐφ' ὃν οἱ γηραιοί με φέροντες ἀνακλίνουσιν, αὐτοὶ δὲ ἐφ' ἓν τοῦ θαλάμου μέρος ἐκάθισαν. οἱ τοίνυν εὐνοῦχοι, ὡς πρὸς τὴν ἔνδον τῆς ἐπὶ τὸν ἡλιακὸν δῆθεν οἰκίας εἰσέδυσαν. ἐν δὲ τῷ τούτους χρονίζειν, οὐ παρέργως ἐγὼ θεωρῶν τὰ κατ' ἐκείνην τὴν τράπεζαν πολλοὺς συνήθεις ἐκ τῶν ἀνακειμένων ἐγνώριζον, ἔκ τε τοῦ κοσμικοῦ καταλόγου τυγχάνοντας. πρὸς οἷς, καί τινας τῆς καθ' ἡμᾶς Μονῆς, τινὰς δὲ καὶ τῶν ἀναστρεφομένων εἰς τὰ Βασίλεια. μετὰ πολλὰς οὖν τὰς ὥρας, πάλιν οἱ εὐνοῦχοι προκύψαντες, καὶ τοὺς γηραιοὺς ἐκείνους φωνήσαντες, ὑποστρέψατε τοῦτον λέγουσιν, ὅτι μεγάλως πενθοῦσιν αὐτὸν τὰ κατὰ Θεὸν αὐτοῦ γεννήματα, καὶ ὁ Βασιλεὺς παρακληθεὶς, βούλεται αὐτὸν κατὰ τὴν μονήρη βίον εἶναι, καὶ τοῦτον δι' ἄλλης ὁδοῦ ἀπαγαγόντες, λάβετε ἀντ' αὐτοῦ τὸν Μοναχὸν Ἀθανάσιον τὸν τοῦ Τραϊανοῦ. καὶ παρευθὺς οἱ γηραιοὶ λαβόντες με, τοῦ τε θαλάμου καὶ τῆς Πόλεως συντόμως δι' ἄλλης ὁδοῦ ὑπεξήλθομεν. καθ' ὁδὸν δὲ λίμναις ἑπτὰ παρεβάλομεν, μεσταῖς τιμωριῶν καὶ κολάσεων, ἡ μὲν, σκότους πλήρης ἦν, ἡ δὲ, πυρὸς, ἡ δὲ δυσώδους ὁμίχλης, ἡ δὲ σκώληκος, ἡ δὲ, ἄλλης κολάσεως εἶδος, καὶ τιμωρίας ἀνάπλεως. κοινῇ δὲ πᾶσαι πλήθους ἀναριθμήτου ἐπεπλήρωντο, ἐλεεινῶς ὀδυρομένων, καὶ γοερῶς πάντων ὀλολυζόντων. ταύτας δὴ τὰς λίμνας παραμειψάμενοι, καί τινα τόπον μικρὸν, πάλιν τὸν γηραιὸν κατελάβομεν, ὃν ἔλεγον εἶναι τὸν Ἀβραὰμ, καὶ τούτῳ συνταξάμενος, πάλιν αὐτὸν ἠσπασάμην. ὁ δέ μοι χρυσοῦν ποτήριον δίδωσιν, οἴνου πεπληρωμένον, γλυκυτέρου τοῦ μέλιτος, καὶ ἄρτου ξηροῦ κλάσματα τρία, ὧν τὸ μὲν ἓν ἐν τῷ οἴνῳ βάψας, ὡς ἐδόκουν ἔφαγον, καὶ τὸν ὅλον οἶνον ἐξέπιον. τὰ δὲ ἕτερα δύω, τῷ ἐμαυτοῦ κόλπῳ ὑπέθηκα, ἅπερ χθὲς ὑμᾶς ἐπεζήτουν. εἶτα μετὰ μικρὸν πάλιν τὸν τόπον ἐκεῖνον ἀπήλθομεν, ἔνθα ὁ γιγάντιαῖος ἐκεῖνος καὶ δυσειδέστατος, καὶ νυκτὶ παραπλήσιος τὴν ὄψιν ἐτύγχανεν. ὁ δέ με ἰδὼν, ἔβρυχεν ἐπ' ἐμὲ τοὺς ὀδόντας δεινῶς, καὶ μετ' ὀργῆς καὶ πικρίας ἔλεγεν· ἀπάρτι ἐξέφυγές με. πλὴν οὐδὲ τοῦ λοιποῦ παύσομαι πάντα κατὰ σοῦ συσκευάζων, καὶ τοῦ κατὰ σὲ Μοναστηρίου. τὰ μὲν δὴ μέχρι τούτου ἀδελφοὶ γινώσκων, ἀπήγγειλα. τὸ δὲ ὅπως εἰς ἐμαυτὸν ἐγενόμην, παντελῶς ἀγνοῶ. ταύτης τῆς ὄψεως οὕτως ἐχούσης, αὐτίκα ἀπεστάλη τις πρὸς τὸ τοῦ Τραϊανοῦ Μοναστήριον, καὶ καταλαμβάνει τὸν Μοναχὸν Ἀθανάσιον, τοῦ σώματος ἐκδημήσαντα, καὶ ἐπὶ κλίνης ἐκ τοῦ κελλίου ἐκκομιζόμενον. πυθόμενος δὲ, πότε τετελεύτηκεν; ἠκηκόει. τῇ χθὲς ἡμέρᾳ περὶ ὥραν ἐννάτην, καθ' ἣν, καὶ τὴν ὀπτασίαν ἰδὼν εἰς ἑαυτὸν ἐγένετο. οὐκ εἰς μακρὰν δὲ καὶ ἄμφω τὰ Μοναστήρια εἰς ἓν γεγόνασι, διὰ τὸ ἀγχίθυρα κεῖσθαι καὶ μέχρι τοῦ νῦν, ὑφ' ἑνὸς καθηγητοῦ κυβερνώμενα. Ἐπὶ τριάκοντα οὖν χρόνοις παρὰ τοῦ τὴν ὀπτασίαν ταύτην ἰδόντος, καὶ ἐξαρκέσαντος ἐκείνου τῇ ζωῇ, καὶ τῇ πρὸς Θεὸν πολιτείᾳ, ἀμφοτέρων τῶν Μονῶν διατεθειμένων, οὐ μικρά τις ἡ ἐπίδοσις ἐν ταύταις γέγονεν, ἐπί τε τῇ τῶν Μοναχῶν θεαρέστῳ πολιτείᾳ, καὶ τοῖς ὅθεν δήποτε πρὸς τὴν τούτων διοίκησιν, καὶ διατροφὴν εἰσοδιαζομένοις. εἰς δόξαν τοῦ φιλανθρώπου Θεοῦ ἡμῶν. Ἀμήν.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

Νοῦς ὁ τοὺς παῖδας ἐν τῇ καμίνῳ λυτρωσάμενος, σώζει ἐκ τροχοῦ σε Μάρτυς πολυειδοῦς, Χαριτίνη ἀναμέλπουσαν, εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε.

Μετὰ παρθένων, λαμπαδηφόρος εἰς Οὐρανίων, βαίνεις τοῦ πυρὸς λαμπάδα καρτερικῶς, καὶ ψάλλεις ὑπομείνασα· εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε.



Digitized by Google

Ε' ληλεγμένος, ὑπομονῇ σου ὁ παράνομος, χεῖράς σου δεσμεῖ καὶ πόδας καὶ τῷ βυθῷ, παραπέμπει σε κραυγάζουσαν· εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε.

Λόγῳ σου θείῳ, τὴν ἀλογίαν ἐστηλίτευσας, πάθει παθημάτων Μάρτυς ζωοποιῶν, ἀνεπλήρωσας ὑστέρημα· εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε.

Θεοτοκίον.

Παρθένε μόνην, καὶ καθαράν σε καὶ ἀκήρατον, Λόγος καθαρὸς ἠγάπησε καὶ ἐκ σοῦ, ἀνεπλάσατο σαρκούμενος, ὅλον τὸν ἄνθρωπον, ὁ Χαριτίνην δοξάσας σοῦ τοῖς θαύμασι.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ὡραία ἐν κάλλεσι τῶν σῶν, στιγμάτων γέγονας, καὶ κατηγλάϊσας, Παρθένος ἄφθορος μένουσα, τῷ ὡραίῳ Λόγῳ νυμφευθεῖσα, τῷ ἐκ Παρθένου δι' ἡμᾶς σεσαρκωμένῳ Χριστῷ, ᾧ βοῶμεν· πάντα τὰ ἔργα εὐλογεῖτε Κυρίου τὸν Κύριον.

Πάσαις μαχομένη προσβολαῖς, τῶν τιμωρούντων σε, γενναίως ἤνεγκας, στροχοῦ φλογίζοντος κάκωσιν, ὀβελίσκων τὴν πυράκτωσιν, τὴν εἰς βυθὸν ἀπόρριψιν, καὶ τῶν ὀδόντων σεμνὴ καὶ ὀνύχων, τὰς ἐκριζώσεις Χριστὸν μεγαλύνουσα.

Οἱ πόδες οἱ σοὶ ταῖς καλλοναῖς, τῶν πόνων ἔδοξε καθωραιώθησαν, δύω ἐν ὕδασι βαίνοντες, οὐκ ἐβράχησαν συνόντων σοι, Παρθενομάρτυς ἀκλεῶν Θεοῦ Ἀγγέλων, μεθ' ὧν ἀνεβόας· πάντα τὰ ἔργα εὐλογεῖτε Κυρίου τὸν Κύριον.

Θαῦμα καταπλῆττον πάντα νοῦν, μετὰ τελείωσιν, πῶς ἐν γυμνώσει, τὸ σὸν ἐκδέδωκε λείψανον, ὁ βυθὸς ὁ κολπωσάμενος, ὅπερ κηδεύσας πατρικῶς, τετυχηκότα τὴν χάριν ἐκ σοῦ Χαριτίνη, τὴν Βασιλείαν λαβὼν τὴν Οὐράνιον.

Θεοτοκίον.

Ὤφθης ὑπερτέρα Οὐρανῶν, Θεὸν Οὐράνιον ἀποκυήσασα, τὸν οὐρανώσαντα πάναγνε, γηγενῶν ὅλων τὸ φύραμα, καὶ Χαριτίνης τὴν σεπτὴν μνήμην φαιδρύνοντα, ᾧ βοῶμεν· πάντα τὰ ἔργα εὐλογεῖτε Κυρίου τὸν Κύριον.

Ὁ Εἱρμός.

„Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα ἐν λάκκῳ ἔφραξε.
„πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ, Παῖδες κραυγάζοντες. εὐλογεῖτε πάντα τὰ
„ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Ἴμα τῶν στεφάνων τῆς δόξης, ὡς ἀδιάφθορος παρθένος, Μάρτυς ἐπιτυχὴς παντοίων, κολαστηρίων εἶδος ὑπήνεγκας, ἀγαλλομένη πνεύματι, καὶ διανοίας ἀναστήματι.

Ὡς περικαλλὴς ὡς ὡραία, ὡς περιδέξιος Παρθένος, ὡς ἀκαταγώνιστος Μάρτυς, ὡς τοῦ Δεσπότου νύμφη παμάμωμος, χρυσοειδέσι πτέρυξι, πρὸς τὰ Οὐράνια καθίπτασο.

Σὺ φωτοειδὲς Χαριτίνη, ἐναπαστράπτεις λαμπηδόνας, ζόφον πονηρίας δαιμόνων, καὶ παθημάτων ἀποδιώκουσα, ταῖς θεοδότοις πάντοτε, θαυματουργίαις ἀξιάγαστε.

Ἡ περιχαρὴς σου ἡμέρα, περιχαρῶς λαὸς ἀθροίζει, σοῦ τὰς ἀριστείας ὑμνῆσαι, καὶ τοὺς ἀγῶνας καὶ τὰ παλαίσματα, καὶ τὴν γενναίαν ἄθλησιν, μεγαλομάρτυς Χαριτώνυμε.

Θεοτοκίον.

Φῶς ἡμῖν ἀνέτειλε μήτρας, τῆς ἀπειράνδρου σου Παρθένε, οὗ ταῖς φρυκτωρίαις ἐνθέως, καταυγασθεῖσα φῶς ἐχρημάτισεν, ἡ τῆς χαρᾶς ἐπώνυμος, Θεοκυῆτορ ἀπειρόγαμε.

Ὁ Εἱρμός.

„Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος
„ἐτμήθη, Χριστὸς συνάψας τὰς διεστώ-
„σας φύσεις. διὸ ἐπαγαλλόμενοι, σὲ Θεο-
„τόκε μεγαλύνομεν.

Εἰς τὸν ν'. τῆς Ὀκτωήχου. ὁμοίως καὶ τὰ λοιπά.

Τῷ

Τῷ αὐτῷ Μηνὶ ς'.

Τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Θωμᾶ.
Ἱστῶμεν στ. ς'. καὶ ψάλλομεν στιχηρὰ. Ἦχος δ'.
Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τῆς πλευρᾶς ἐφαψάμενος, τοῦ Δεσπότου παμόλβιε, τῶν καλῶν κατείληφας τὸ ἀκρότατον, ὥσπερ γὰρ σπόγγος τὰ νάματα, ἐκεῖθεν ἐξηντλήσας, τὴν πηγὴν τῶν ἀγαθῶν, καὶ ζωὴν αἰώνιον, καὶ ἐπότισας, χερσωθείσας καρδίας ἀγνωσίᾳ, τοῦ Θεοῦ θεογνωσίας, ἀναπηγάζων τὰ δόγματα.

Τῇ πιστῇ ἀπιστίᾳ σου, τοὺς πιστοὺς ἐβεβαίωσας, ὡς Θεὸν καὶ Κύριον πάσης Κτίσεως, θεολογεῖν ἀπαρξάμενος, τὸν σάρκα φορέσαντα, δι' ἡμᾶς τοὺς ἐπὶ γῆς, καὶ Σταυρόν τε καὶ θάνατον, ὑπομείναντα. καὶ τὰς τρήσεις τῶν ἥλων, καὶ τῇ λόγχῃ, τὴν πλευρὰν διανυγέντα, ἐξ ἧς ζωὴν ἀρυόμεθα.

Ὁ Θωμᾶς ὁ θαυμάσιος, τὴν πηγὴν ἀνεστόμωσε, τῶν δογμάτων Δέσποτα τοῖς θεόφροσι. τὴν γὰρ πλευράν ψηλαφήσας σου, διπλῆν τὴν ἐνέργειαν, ταῖς οὐσίαις ταῖς διτταῖς, καταλλήλως μεμύηται, καὶ ἐβόησε· σὺ Θεός μου ὑπάρχεις, καὶ Δεσπότης, σὺ καὶ Κύριος τῆς δόξης, ὁ δι' ἐμὲ σὰρξ γενόμενος.

Δόξα. Ἦχος Πλ. β'. Τοῦ Στουδίτου.
Ὡς ὑπηρέτης τοῦ Λόγου, καὶ τῆς ἀρρήτου σαρκώσεως αὐτοῦ, βυθὸν σοφίας ἐξηντλήσας, Θωμᾶ Ἀπόστολε. τῷ γὰρ καλάμῳ τοῦ Σταυροῦ, ἀνιχνεύων ἐκ τοῦ βυθοῦ τῆς ἀπάτης, ψυχὰς ἐζώγρησας. ὅθεν τῇ σαγήνῃ τῶν σῶν δογμάτων, πᾶσαν ἐφώτισας τὴν Οἰκουμένην. καὶ τῷ φωτὶ τῆς γνώσεως, τὰς τῶν Ἰνδῶν ἐζοφωμένας ψυχὰς κατελάμπρυνας. διὸ τῆς δόξης τῇ λαυγῶς, Χριστοῦ κατατρυφῶν, αὐτὸν ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.
Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς.

Σταυροθεοτ. Τρίημερος ἀνέστης.
Ὁ ἥλιος ἐσκότασε, Σταυρῷ σε προσηλούμενον, φωτοδότα καθορῶν σε καὶ ἡ γῆ, τῷ φόβῳ ἐκλονεῖτο, λαὸς δὲ Ἰουδαίων, οὐδ' ὅλως ἐνέτρεψεν ὁ ἄνομος.

Εἰς τὸν Στίχ. στ. προσόμοια τοῦ Ἀποστόλου. Ἦχος δ'.
Ἔδωκας σημείωσιν.

Ὥσπερ μαργαρίτην σε. ἐκ τοῦ πελάγους ἀνείλατο, τῆς τοῦ Κόσμου συγχύσεως, Χριστὸς ὁ φιλάνθρωπος, διὰ σοῦ πλουτίσας, τοὺς ἠπορημένους, καὶ τῇ πενίᾳ τῶν δεινῶν, συγκεκραμένους Θωμᾶ Ἀπόστολε. διό σε μακαρίζομεν, καὶ τὴν πανέορτον μνήμην σου, ἐν αἰνέσει δοξάζομεν, εὐσεβῶς σε γεραίροντες.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.
Ἰνδῶν κατελάμπρυνας, πᾶσαν τὴν γῆν ἱερώτατε, καὶ θεόπτα Ἀπόστολε. φωτίσας γὰρ ἅπαντας, υἱοὺς ἀπειργάσω, φωτὸς καὶ ἡμέρας, τούτοις ἐν πνεύματι σοφέ, εἰδωλικούς τε ναοὺς κατέρραξας, ἀνήγειρας δὲ χάριτι, Θεοῦ εἰς δόξαν καὶ αἴνεσιν, Ἐκκλησίας μακάριε, πρεσβεύτα τῶν ψυχῶν ἡμῶν.

Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται.
Χειρὶ φιλοπράγμονι, θείαν πλευρὰν ἐξηρεύνησας, καὶ τῶν ἥλων τὰ τραύματα, ἅπερ ὁ ἀθάνατος, δι' ἡμᾶς ἐπέστη, καὶ τὴν ἀπιστίαν, μεταβαλὼν χαρμονικῶς, εἰς εὐπιστίαν Θωμᾶ ἐβόησας· σὺ εἶ Θεὸς καὶ Κύριος, καὶ σὲ δοξάζω φιλάνθρωπε, τὸν τοῖς πάθεσι λύσαντα, τοῖς πιστοῖς τὴν ἀπάθειαν.

Δόξα. Ἦχος Πλ. β'. Ἀνατολίου.
Ἡ θεία ἐποπτείων Χριστοῦ τῆς σοφίας νοητὸς ἀναδέδειξαι κρατήρ, μυστικῶς Θωμᾶ Ἀπόστολε. ἐν ᾧ τῶν πιστῶν αἱ ψυχαὶ εὐφραίνονται. τῇ γὰρ θείᾳ σαγήνῃ τοῦ Πνεύματος, λαοὺς ἀνείλκυσας ἐκ βυθοῦ τῆς ἀπογνώσεως. ὅθεν ἐκ Σιὼν ὡς ποταμὸς τῆς χάριτος ἐξῆλθες, τὰ σὰ ἐκβλύζων ἄνθεα δόγματα, εἰς τὴν σύμπασαν Κτίσιν. διὸ τοῦ Χριστοῦ τὰ πάθη ἐκμιμούμενος, τὴν πλευρὰν ἐλογχεύθης, ἐν



Digitized by Google

τῷ γνόφῳ εἰσδύσας τῆς ἀφθαρσίας, αὐτὸν ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θτ. Ὅλην ἀποθέμενοι.

Ὅταν μου εἰς ἔννοιαν τὸ φοβερὸν ἔλθῃ Βῆμα, τοῦ Υἱοῦ σου Πανάγνε, καὶ τὸ δικαστήριον τὸ παγκόσμιον, ἀπορῶν δέδοικα, δειλιῶν καὶ τρέμων, τὴν τῶν ἔργων μου ἐξέτασιν. φαῦλα γὰρ ἅπαντα, καὶ αἰσχύνης πάσης ἀνάπλεα, καὶ σκότους καὶ κολάσεως, καὶ ἀποστροφῆς ὄντως ἄξια. Ἴδε μου τὴν θλῖψιν, καὶ ἴδε τῆς ψυχῆς τὴν συντριβὴν, καὶ τῆς ἀνάγκης ἐκείνης με, ῥῦσαι καὶ κολάσεως.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ῥομφαία ὡς ἔφησεν, ὁ Συμεὼν τὴν καρδίαν, τὴν σὴν διελήλυθε, Παναγία Δέσποινα ὅτε ἔβλεψας, τὸν ἐκ σοῦ ἐκλάμψαντα, ἀπορρήτῳ λόγῳ, ὑπ' ἀνόμων ὡς κατάκριτον, Σταυρῷ ὑψούμενον, ὄξος καὶ χολὴν ποτιζόμενον, πλευράν τε ὀρυττόμενον, χεῖράς τε καὶ πόδας ἡλούμενον. καὶ ὀδυρομένη, ἠλάλαζες βοῶσα μητρικῶς· τί τοῦτο τέκνον γλυκύτατον, τὸ καινὸν μυστήριον;

Ἀπολυτίκιον. Ἦχος γ'.

Ἀπόστολε Ἅγιε.

## ΤΥΠΙΚΟΝ.

Εἰς τὸν Ὄρθρον ἡ συνήθης ἀκολ. Ἀναγινώσκομεν δὲ καὶ ὑπόμνημα τοῦ Ἀποστόλου εἰς δόσεις β'. Οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἀποστόλου εἰς ϛ'. Τὰ γὰρ β'. μαρτυρικὰ τοῦ ἑνὸς Κανόνος καταλιμπάνονται. καὶ κρατοῦμεν ἀπὸ τοῦ, ἕως ἂν παρέλθοι, δευτεροῦντες τὰ β'. Τροπάρια τοῦ Κανόνος τοῦ Ἀποστόλου, ἢ καὶ ἄλλου τινὸς τῶν ἑορταζομένων ἁγίων, ὃ καὶ ὀφείλει σκοπεῖν ὁ ἐκκλησιάρχης. Εἰ δὲ συμβῇ ἔχειν τὸν ἑορταζόμενον Ἅγιον Κανόνας β'. καὶ θέλεις ψάλλειν αὐτοὺς, καταλιμπάνεται ὁ β'. Κανὼν τῆς Ὀκτωήχου. Ἀφ' ἕκτης τὸ Κοντάκιον. Μετὰ τὴν Ἐννάτην, τὸ Ἐξαποστειλάριον. Εἰς τοὺς αἴνους στιχηρὸν ἰδιόμελον τοῦ Ἀποστόλου. Ἦχος α'. καὶ τὰ β'. Ἦχος δ'. Δόξα. Ἦχος Πλ. β'. Τῷ ἅρματι τῶν ἀρετῶν ἐποχούμενος, καὶ νῦν. Θεοτοκίον. Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἀποστόλου ᾠδὴ γ'. καὶ ϛ'. Προκείμενον. Ἦχος Πλ. δ'. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται. Ὁ Ἀπόστολος, πρὸς Κορινθίους. Ἀδελφοὶ ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλους. Ζήτει Κυριακῇ ι'. Ἀλληλούϊα, Ἦχος α'. Ἐξομολογήσονται οἱ οὐρανοί. Εὐαγγέλιον, κατὰ Ἰωάννην, ἑωθινὸν θ'. Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ἀκολ.

Εἰς τὴν γ'. ἀκολ. κάθισμα. Ἦχος Πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Τὸν Ἀπόστολον πάντες καὶ Μαθητὴν τοῦ Χριστοῦ, εὐφημήσωμεν ὕμνοις ἐπὶ τῇ μνήμῃ αὐτοῦ. θεοπρεπῶς γὰρ τὰς ἡμῶν, διανοίας ὁ αὐτὸς, τούτου τῶν ἥλων ψηλαφῶν, βεβαίαν πίστιν ἐκζητῶν, ἐστήριξεν ἐν Κυρίῳ, ἀδιαλείπτως πρεσβεύων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον. Ὅμοιον.

Τὸν ἐκ σοῦ σαρκωθέντα Θεὸν καὶ Κύριον, δι' ἡμᾶς τοὺς φθαρέντας τοῖς ἁμαρτήμασι. τοῦτον ἱκέτευε ἀεὶ, τοῦ οἰκτειρῆσαι ἡμᾶς, καὶ ἀποστρέψαι τὸν θυμὸν, καὶ τὴν ὀργὴν αὐτοῦ σεμνὴ, ἀπὸ τῶν πίστει βοώντων, καὶ εὐφημούντων ἀπαύστως, τὰ μεγαλεῖα σοῦ τῆς χάριτος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τῷ Σταυρῷ τοῦ Κυρίου παριστα μένη, καὶ πικρῶς θρηνῳδοῦσα ἡ σεμνὴ ἔλεγεν· οἴ μοι τέκνον, οἴ μοι τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν. πῶς ἐτάθης ἐν Σταυρῷ, ὁ τείνας Λόγε ὡς Θεὸς, τὸν Οὐρανὸν ὡσεὶ δέρριν; καὶ ἐκ θαλάσσης ἀνάγων, πηγὰς ὑδάτων, τῷ σῷ προστάγματι;

Οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἀποστόλου, εἰς ϛ'. ὁ Κανών. Οὗ ἡ ἀκροστ. Τὸν θαυμάτων γέμοντα Θωμᾶν θαυμάσω.

Θεο-

Digitized by Google

Θεοφανȣ̃ς. Ὠδὴ ά. Ἦχος δ'.

Τειχάτας κραταιȣ̀ς.

Προάναρχον Υἱὸν, τȣ̃ Θεȣ̃ Θεὸν Λόγον, τὸν φανέντα ἐπὶ γῆς, μορφῇ τῇ καθ' ἡμᾶς, ὃν ἑώρακας ἔνδοξε. ȣ᾽ καὶ τὰς χεῖρας παλάμῃ, καὶ πλευρὰν ἐψηλάφησας, καθικέτευε σῶσαι τȣ̀ς δȣ́λȣς σȣ.

Ὁ γνώστης τῶν κρυπτῶν, καὶ νεφρȣ̀ς ὁ ἐτάζων, καὶ καρδίας ἐρευνῶν, Θεὸς μȣ Ἰησȣ̃ς, σὲ Θωμᾶ παμμακάριστε, τῆς αὐτοῦ θεοφανείας, ὑπηρέτην καὶ μάρτυρα, καὶ Ἀπόστολον θεῖον προσήκατο.

Ναμάτων μυστικῶν, ποταμὸς ἀνεδείχθης, περικλύζων σὺ Θωμᾶ, τὸ πρόσωπον τῆς γῆς, Ἐκκλησίας τε σύστημα, ῥεύμασι θεογνωσίας, καὶ τῷ ῥείθρῳ τȣ̃ Πνεύματος, τὴν πολύθεον πλάνην ἀπήλασας. Θεοτοκίον.

Θανάτȣ καὶ φθορᾶς καθαιρέτης ὑπάρχεις ἀφθαρσίας τὴν πηγὴν, τεκοῦσα τὸν Χριστὸν, Θεοτόκε πανύμνητε, τὸν καὶ τῆς ἀθανασίας, ὡραΐσαντα χάριτι, καὶ ἀνθρώπων τὴν φύσιν πανάμωμε.

Ὠδὴ γ'. Οὐκ ἐν σοφίᾳ.

Ἀρετῆς κάλλει, διαπρέπων αὐτόπτα καὶ θαύμασι, τῶν Ἰνδῶν τὸ δυσειδὲς, φωτὶ τῷ θείῳ κατηύγασας, πίστει καὶ ἐφαίδρυνας τȣ́των τὴν ζόφωσιν.

Ὑπὸ τῆς αἴγλης, πυρωθεὶς αὐτȣργίᾳ τȣ̃ Πνεύματος, ὡς βολὶς θεοφεγγὴς, ἐξαπεστάλης θεόληπτε, καὶ Κόσμον ἐφώτισας, Θωμᾶ τοῖς θαύμασι.

Μεμυημένος, τῆς ἐνθέȣ σοφίας τὰ δόγματα, ὥσπερ τάχος ἀστραπῆς, διερχομένης Ἀπόστολε, Θωμᾶ κατελάμπρυνας Κόσμȣ τὰ πέρατα. Θεοτοκίον.

Ὑπερόγαμε, ἡ Θεὸν σαρκωθέντα κυήσασα, τῶν παθῶν ταῖς προσβολαῖς, κλονȣμένην με στερέωσον. ȣ᾽ γὰρ ἔστιν ἄλλην, πλὴν σȣ βοήθεια.

Ὁ Εἱρμός.

„ Οὐκ ἐν σοφίᾳ, καὶ δυνάμει καὶ πλȣ́τῳ
„ καυχώμεθα. ἀλλ' ἐν σοὶ τῇ τȣ̃ Πα-
„ τρὸς, ἐνυποστάτῳ σοφίᾳ Θεοῦ. ȣ᾽ γὰρ
„ ἔστιν ἅγιος, πλὴν σȣ φιλάνθρωπε.

Ὠδὴ δ'. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ Λόγον.

Τῇ σαγήνῃ τῶν λόγων τῶν Θεϊκῶν, τȣ̀ς ἰχθύας ζωγρήσας τȣ̀ς λογικȣ̀ς. τȣ́τȣς προσήγαγες, ἀπαρχὴν τῷ Θεῷ ἡμῶν. καὶ τȣ̃ Χριστȣ̃ τὰ στίγματα, ποθῶν ἐπενδύσασθαι, μιμητὴς τȣ̃ πάθȣς αὐτȣ̃ πεφανέρωσαι. ὅθεν συνελθόντες, καταχρέως τιμῶμεν, Ἀπόστολε ἔνδοξε, τὴν πανέορτον μνήμην σȣ, καὶ συμφώνως βοῶμεν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι.

Δόξα. Τὸ αὐτό. καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

Τὴν Οὐράνιον πύλην καὶ κιβωτὸν, τὸ πανάγιον ὄρος τὴν φωτεινὴν, νεφέλην ὑμνήσωμεν, τὴν ἀκατάφλεκτον βάτον, τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν ἀνάκλησιν. τῆς Οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον. ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ Κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων. διὰ τȣ̃το βοῶμεν αὐτῇ· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνȣ̃σι, τὸν πανάγιον τόκον σȣ.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν τῷ ξύλῳ ὁρῶσα τῷ σταυρικῷ, ἡ πανάμωμος Μήτηρ τὸν λυτρωτὴν ἐθρήνει δακρύȣσα, καὶ πικρῶς ἐπωδύρετο, καὶ συνοχῇ καρδίας τὰς κόμας ἐσπάραττε, καὶ πρὸς αὐτὸν ἐβόα, Υἱέ μȣ καὶ Κύριε, πῶς ὁ ἀνομώτατος Ἑβραίων δῆμος, ἀδίκως προσπήγνυσι, τῷ Σταυρῷ ἀναμάρτητε; πῶς καὶ θέλων ὑφίστασαι, τȣ̃ προσώπȣ ῥαπίσματα; ὄξος καὶ τὴν τρῆσιν πλευρᾶς, χολήν τε οἴμοι, καὶ ἥλȣς μακρόθυμε; ἀλλὰ δόξα τῇ θείᾳ Σωτὴρ οἰκονομίᾳ σȣ.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Τῇ μεγίστῃ τῶν θαυμάτων, ἐπιδείξει χρησάμενος, καὶ δογμάτων θείων, δόξαν τηλαυγᾶς ἐκτιθέμενος, τὴν Οἰκȣμένην ἐπέσχες τῷ κηρύγματι, τὴν κραυγάζȣσαν· δόξα Χριστὲ τῇ δυνάμει σȣ.

Ὡς αὐτόπτην σε τȣ̃ Λόγου, καὶ θερμὸν ὑπηρέτην τε· καὶ τῆς τȣ́του δόξης, καὶ μεγαλειότητος μάρτυρα· καὶ ὡς πιστὸν οἰκονό-



Digitized by Google

χομένου, καὶ Ἀπόστολον εὐφημοῦμέν σε, μάκαρ Θωμᾶ πανσεβάσμιε.

Νυμφικὴν ὥσπερ παστάδα, καὶ σκηνὴν ἐπουράνιον, ὑποβάθραν λίθον, ἀκρογωνιαῖον πηξάμενος, ἐπῳκοδόμησας μάκαρ παναοίδιμε, Ἀποστόλων ἀκρότης, Θωμᾶ τοῖς πιστεύουσι.

Θεοτοκίον.

Τὴν ἀνήροτον τὸν στάχυν, τῆς ζωῆς γεωργήσασαν· καὶ νεφέλην κούφην, ὄμβρον ζωοδότην πηγάσασαν, τὴν Παναγίαν Παρθένον ὀνομάζομεν, οἱ κραυγάζοντες, δόξα Χριστὲ τῇ δυνάμει σου.

Ὠδὴ ε'. Ἀσεβεῖς οὐκ ὄψονται.

Ἐλλαμφθεὶς Ἀπόστολε, τῇ δόξῃ τοῦ Χριστοῦ. καὶ πλευρὰν τὴν ζωοποιὸν, ψηλαφήσας ἐπλήσθης ἀνεξιχνίαστον, εὐλογίας ἄβυσσον, καὶ τὸν Κόσμον κατεπλούτισας.

Μὴ παρὼν τῇ πρώτῃ σου εἰσόδῳ ὁ Θωμᾶς, ἀπιστῶν τε τοῖς Μαθηταῖς, πιστωθεὶς δὲ ὕστερον, χαίρων ἐβόησε· σὲ Θεὸν καὶ Κύριον, ἀναγγέλλων πολυέλεε.

Οὐρανὸς ὁ ἔμψυχος τῆς δόξης σου Χριστὲ, τῇ βροντῇ τῇ πραγματικῇ, ὁ Θωμᾶς ἐβόησεν, ἐκδιηγούμενος. καὶ Θεὸν καὶ Κύριον, σὲ πιστοῖς εὐηγγελίσατο.

Θεοτοκίον.

Νικητὴν ἀνάδειξον, Πανάμωμε τὸν νοῦν, τῶν παθῶν καὶ τῶν λογισμῶν, τὰς ὁρμὰς ὑπόταξον τούτων Θεόνυμφε, ἡ Θεὸν γεννήσασα, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ ς'. Θύσω σοι μετὰ φωνῆς.

Τὴν πάντων, ἀπιστίαν Θωμᾶ τὴν ψυχόλεθρον, ἡ ἀπιστία σου μάκαρ, θεραπεύει. σὺ γὰρ ἀναμφιλέκτως, καὶ τῶν ἥλων, καὶ τῆς λόγχης τοὺς τύπους ἠρεύνησας.

Ἀφῆκας, ὡς δυνατὸς Χριστὲ τὸν Ἀπόστολον, ἠκονημένον ὡς βέλος, ἐν ἐχθρῶν καρδίαις σου Ζωοδότα, καὶ τῶν σκύλων τὴν προνομὴν σοι τούτων προσήγαγεν.

Θυσίας, εἰδωλικὰς οἰκτίρμον κατήργησε, σφαγιασθεὶς ἐπὶ ξύλου, καὶ σφαγαῖς ἁγίαις τῶν Θεηγόρων, Ἀποστόλων, τῶν τὰ σὰ μιμουμένων παθήματα.

Θεοτοκίον.

Ὢ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον, ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως συλλαβοῦσα, οὐκ ἐστενοχώρησεν.

Ὁ Εἱρμός.

„ Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε.
„ ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων
„ λύθρου κεκαθαρμένη, τῷ δι' οἴκτον, ἐκ
„ τῆς πλευρᾶς σου ῥεύσαντι Αἵματι.

Κοντάκ. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὁ σοφίας χάριτος πεπληρωμένος, ὡς Χριστοῦ Ἀπόστολος, καὶ ὑπηρέτης ἀληθῶς, ἐν μετανοίᾳ ἐβόησε· σύ μου ὑπάρχεις, Θεός τε καὶ Κύριος.

Ὁ Οἶκος.

Τὸν τοῦ Χριστοῦ Μαθητὴν, καὶ μέγαν μυστολέκτην, Θωμᾶν τὸν θεηγόρον, τοῦ Πέτρου ἐκβοῶντος, ἑωράκαμεν τὸν Κύριον, ἔφησεν οὗτος. ἐὰν μὴ ἴδω ἐγὼ τοὺς ἥλους τῶν χειρῶν αὐτοῦ, ψηλαφήσω δὲ καὶ τὴν πλευρὰν, οὐ μὴ πιστεύσω. ἀλλ' ὁ κτίστης τῶν ἁπάντων, καὶ Δεσπότης, ὥσπερ δοῦλος ἐλήλυθε, θέλων πάντας σῶσαι, καὶ λέγει τῷ Θωμᾷ· ψηλάφησον χεῖρας, ἥλων τε, καὶ τὴν πλευρὰν, τύπους καὶ μὴ ἀπίστει. ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου. ὁ δὲ ἐν μετανοίᾳ ἐβόησε· Σύ μου ὑπάρχεις, Θεός τε καὶ Κύριος.

Τῷ αὐτῷ Μηνὶ ς'. Τοῦ Ἁγίου Ἀποστόλου Θωμᾶ.

Στίχ. Ὁ χεῖρα πλευρᾷ σῇ βαλεῖν ζητῶν πάλαι.
Πλευρὰν ὑπὲρ σοῦ, νύττεται Θωμᾶς Λόγε.
Δόρασιν οὐτάσθη Θωμᾶς μακροῖσιν ἐν ἕκτῃ.

Οὗτος Μήδοις καὶ Πάρθοις, Πέρσαις καὶ Ἰνδοῖς τὸν λόγον τοῦ Θεοῦ κηρύξας, φρουρεῖται παρὰ Σμιδαίου Βασιλέως, διὰ τὸ πιστεῦσαι καὶ βαπτισθῆναι ὑπ' αὐτοῦ Οὐαζάνην τὸν Υἱὸν αὐτοῦ, καὶ τὴν γυναῖκα Τερτίαν, καὶ Μιγδωνίαν, καὶ Νάρκαν. διὸ καὶ παραδίδοται πέντε στρατιώταις, οἳ τοῦτον ἐπί τι ὄρος ἀναβιβάσαντες, λόγχαις κατέτρωσαν. καὶ οὕτω πρὸς Κύριον ἐξεδήμησεν.

Ἐκ

Digitized by Google

Ἐκ τῶν αὐτοῦ Περιόδων.

Ἔτι δὲ ζῶν ὁ Ἀπόστολος, σὺν Ἀβάνῃ τινὶ ἐμπόρῳ, τὴν Ἰνδίαν διαπερᾷ. ἐπί τι δὲ δωμάτιον τῆς Ἀνδραπόλεως καταλύσαν. ἐκδόντος δὲ τοῦ τὴν ἐξουσίαν τῆς χώρας ἐκείνης τὸ ἑαυτοῦ θυγάτριον εἰς γάμου κοινωνίαν, συνεορτάζειν καὶ τοὺς παρατυχόντας συνέβαινεν. ὁ μὲν οὖν Ἀπόστολος ἐπὶ τὸ εὐτελέστερον ἀνεβλήθη τῶν τραπεζῶν. πάντων δὲ ἐμφορουμένων ἐπὶ τοῖς ἐδωδίμοις, μόνος οὗτος ἀμέτοχος τῶν τοιούτων ἦν. σιωπηλὸς γὰρ ὤν, καὶ ἑαυτῷ προσέχων, ἐκάθητο συνεσταλμένος. τῶν διακονούντων οὖν τις, ἀπονοίᾳ ἀρθεὶς, ῥάπισμα δίδωσιν αὐτῷ, εἰρηκώς. εἰς γάμον κληθεὶς, μὴ σκυθρώπαζε, ἀλλὰ χαῖρε συνηδόμενος τοῖς συμπόταις. καὶ ὁ Ἀπόστολος. Ἀπαμείψαι σοι Κύριος τὸ σφάλεν εἰς τὸν ἐπιόντα αἰῶνα, τῷ τύψαντι ἔφησε. τὴν δὲ ἀκρατῶς κατ᾽ ἐμοῦ ἐκταθεῖσαν χεῖρα, θῆρες ἐπιμερισάτωσαν ἄγριοι ἐν τῷ παρόντι, εἰς πολλῶν παιδείαν. καὶ ἅμα τῷ λόγῳ, ἐπιδραμὼν ὁ ῥαπίσας, οἰνοχόος γὰρ ἦν. ὕδωρ διακομίσαι τοῖς δαιτυμόσιν εἰς κρᾶσιν οἴνου, ὑπὸ θηρὸς τῷ φρέατι παρακαθημένου διασπαραχθεὶς, καὶ ἄχρις αὐτῶν τῶν ἐγκάτων, ἀπέψυκε. Τότε κύων ἐκ τοῦ παρατυχόντος, τὴν τὸν Ἀπόστολον τύψασαν δεξιὰν ἐῤῥιμμένην ἐπ᾽ ἀμφόδου, λαβὼν ἐν αὐτῷ τῷ συμποσίῳ εἰσῄει, τὴν ἀδικίαν ὥσπερ πᾶσιν ὑποδεικνύων. διαπορούντων δὲ τῶν δαιτυμόνων περὶ τῆς χειρὸς, τίνος ἄρα ἂν εἴη, γυνή τις ἐνὸς τῶν αὐλούντων διαπρύσιόν τι φωνήσασα, φησί· μέγα ἡμῖν ἀνεγνωρίσθη σήμερον μυστήριον. ἀκούσατε οἱ ἀνακεκλημένοι· Θεὸς, ἢ Ἀπόστολος Θεοῦ σὺν ἡμῖν ἀνακλιθῆναι ἠξίωσεν. ὃν γὰρ εἶχον ὁμόγλωσσον καταυλοῦσα καὶ ἡδύνουσα, ἤκουσα τῷ τύψαντι τοῦτον οἰνοχόῳ, φήσαντα, τὴν τούτου δεξιὰν χεῖρα ὑπὸ κυνὸς σύρεσθαι, εἰς ἐπίδειξιν τῶν πολλῶν, ὅπερ πάντες ὁρᾶτε γεγενημένον. καὶ ὡς τοῦτο διεβοήθη ἐπὶ πᾶσι τὸ θαῦμα, καὶ εἰς τὰς τοῦ κρατοῦντος ἦλθεν ἀκοὰς, κατὰ τὴν λύσιν τοῦ συμποσίου, προσκαλεσάμενος τὸν Ἀπόστολον ἔφη ὁ Βασιλεύς. εἰ ἐπαρᾶσθαι οἶδας καὶ θάνατον ἐπάγειν, δεῖξον καὶ τῆς σῆς εὐχῆς τὸ δραστήριον, εἰς τὴν σήμερον ἐκδοθεῖσάν μοι παῖδα. τοῦτο περιχαρῶς δεξάμενος ὁ Ἀπόστολος, πρὸς τὴν ἐπιθαλάμιον εἰσέδυ παστάδα, καὶ τοὺς νέους εἰς σωφροσύνην ἐπιστηρίξας, καὶ τῆς σαρκὸς ἀπώσασθαι τὴν ἡδυπάθειαν πείσας τούτους, καὶ τῷ Θεῷ παραθέμενος, ἐκεῖθεν ᾤχετο. μετὰ μικρὸν δὲ προσεοικότα τινὰ τῷ Ἀποστόλῳ ὁ νυμφίος ὁρᾷ τῇ νεάνιδι προσομιλοῦντα, καὶ Θωμᾶν εἶναι ὑποτοπάσας, ἔφη· οὐχὶ πρὸ πάντων ἐξῆλθες; πῶς ἄφνω πάλιν γέγονας, ἀπορῶ. καὶ ὁ Κύριος· ἐγὼ Θωμᾶς οὐκ εἰμὶ, κατὰ χάριν δὲ ἐκείνου ἀδελφός. ὃς δ᾽ ἂν ἐμοὶ ὡς ἐκεῖνος ἀκολουθήσῃ, ἀπαρνησάμενος Κόσμον, ἐν τῇ παλιγγενεσίᾳ οὐ μόνον ἀδελφὸς, ἀλλὰ καὶ συγκληρονόμος τῆς ἐμῆς Βασιλείας γενήσεται. τοῦτο εἰπὼν, ἀπ᾽ αὐτῶν ἀοράτως διέστη. ἐκεῖνοι δὲ τὸν λόγον ὡς μαργαρίτην ἐγκολπωσάμενοι, ὁλονύκτως δεήσεις τῷ φανέντι προσέφερον. Ἕωθεν δὲ ὁ Βασιλεὺς τὸν κοιτῶνα, ἔνθα οἱ νέοι, κατέλαβεν, ἄντικρυ δὲ τούτους καθεζομένους εὑρὼν, ταραχθεὶς τῆς ἀπ᾽ ἀλλήλων διαζεύξεως, τὴν αἰτίαν ἠρώτα, οἱ δὲ πρὸς αὐτόν· ταύτην τὴν διάζευξιν εὐχόμεθα μέχρι τέλους ἡμῖν διαφυλαχθῆναι, ἵνα ἐν τῷ τῶν στεφάνων καιρῷ, εἰς τὸν νυμφῶνα τὸν ἀκατάλυτον, ἀδιαίρετοι μείνωμεν, κατὰ τὴν τοῦ φανέντος ἐν ἡμῖν τοῦ ξένου ἐπαγγελίαν. ἐπὶ τούτοις ὁ Βασιλεὺς ταραχθεὶς, δωρεῶν ὑποσχέσεις, ἐφ᾽ ᾧ τὸν ἀπατεῶνα εὑρεθῆναι καὶ παραστῆναι ἐπηγγείλατο. ἀλλ᾽ ἐπεὶ ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις, ἀοράτως μᾶλλον τοῖς κατηχουμένοις ἐπιστηρίζων ὁ ζητούμενος ἐπωπτάνετο. ὡς ἐπὶ τῇ προσθήκῃ τῆς αὐτῶν πίστεως, καὶ τὸν θυμὸν τοῦ Βασιλέως καταλεᾶναι. καὶ τῇ ὑστεραίᾳ Χριστιανὸν πεῖσαι γενέσθαι. ὅτι δὲ οὐχ οἷόν τε τὴν ἀρετὴν διαλαθεῖν, ἔδειξεν, αὕτη καὶ τὸν Ἀπόστολον ἐν Ἰνδίᾳ διατρίβειν. καὶ πρὸς αὐτὸν οὗτοι τὸ βάπτισμα ληψόμενοι, παρα-



Digitized by Google

παραγεγονότες οἱ δόκιμοι μαθηταὶ τῆς Ἁγίας Τριάδος, ἀκλινῶς ταύτην ἐδόξαζον. ὅτε γὰρ πρὸς Γουνδαφόρον εἰσέβαλε τῶν Ἰνδῶν Βασιλέα ὁ τοῦ Κυρίου Ἀπόστολος, ποίαν εἰδέναι αὐτὸν ἐν ξύλοις ἐργασίαν ἐπύθετο, καὶ ποίαν ἐν λίθοις. καὶ ἐπὶ μὲν ξύλοις, ἄροτρα, κώπας, ζυγοὺς, καὶ πηδάλια. ἐπὶ δὲ λίθοις, στήλας, ναοὺς, καὶ Βασιλείων οἰκοδομὰς κατασκευάζειν ἐμπειροτάτως ἔλεγεν εἰδέναι. καὶ ὁ Βασιλεύς· ἆρά γε παλάτιον ἐν ᾧ τόπῳ ἐφέσεως κέκτημαι, δυνάσαι μοι κατασκευάσαι πρὸς θεραπείαν; καὶ ὁ Ἀπόστολος ὡς κατέθετο, μηδὲν μελήσας, χρυσὸν αὐτίκα λήψεσθαι ἐπέλευσε πρὸς τὴν τῶν ἐπιτηδείων μετακομιδὴν, καὶ τοὺς θεμελίους ἄρτι καταβαλεῖν ὑπετίθει, τὸν τόπον ὑποδεικνύς. ἀλλ' ὁ Ἀπόστολος, οὐ τοῦ παρόντος καιροῦ ᾧ Βασιλεῦ τὸ κτίζειν ἐπίτηδες, ἀλλὰ τοῦ ὑπερβερεταίου μᾶλλον μηνός. οἶμαι δὲ τοῦτο εἰρῆσθαι τῷ Ἀποστόλῳ, διὰ τὴν ἐν τῷ μέλλοντι αἰῶνι τῶν βεβιωμένων ἀνταμοιβήν. διὸ καὶ τὴν τοῦ κρατοῦντος εὐφυῶς παρεκρούσατο γνώμην. λαβὼν ἐπὶ χεῖρας καὶ κανόνιον, καὶ τὴν διάθεσιν ἐπιστημόνως διαζωγραφήσας, ἀλύπως ἔπεισεν ἔχειν αὐτοῦ τὸν σκοπόν. ἀγασθεὶς οὖν ὁ Βασιλεὺς εἰς τὸ περιδέξιον τοῦ Ἀποστόλου, τὸ ἱκανὸν τῶν ἀναλωμάτων αὐτῷ ἐπιδοὺς, οἴκοι ἐπανακάμπτει. Τότε ὁ Ἀπόστολος εἰς τὰς τῶν δεομένων χεῖρας ἅπαν τὸν χρυσίον καταβαλὼν, ὡς Ἀπόστολος ἀχειροποίητον οἰκίαν ἐν τῇ τῶν πρωτοτόκων αὐλῇ τῷ Βασιλεῖ κατεσκεύασεν. ὡς δὲ ὁ Βασιλεὺς, ἱκανοῦ χρόνου παραδραμόντος, ἔσπευδε περὶ τοῦ ἔργου μαθεῖν, ἤκουσε δὲ τὴν στέγην μόνην ἀπολείπεσθαι, ἐκ περιχαρείας ὡς ἀληθεύουσαν τὴν ἀγγελίαν ὑποτοπάσας, ἑτέρου χρυσίου ὁλκὴν τῷ Ἀποστόλῳ πέπομφεν, εἰρηκὼς, καλλιστεύσασάν μοι τὴν ὀροφὴν τῶν οἰκοδομημάτων διὰ τάχους ἀποτέλεσον, ἵνα ὅταν αὐταῖς ὄψεσιν ἴδω, λόγοις ἐπαίνων τῆς ἐπιστήμης τὸν πλεονέκτην ἐγκωμιάσω. αὐτὸς δὲ πάλιν τὸ χρυσίον ἀπολαβὼν, εἰς Οὐρανὸν ἄρας τὰς χεῖρας καὶ τὰ ὄμματα, εὐχαριστῶ σοι φιλάνθρωπε ἔλεγεν, ὅτι ποικιλοτρόπως ἑκάστου τὴν σωτηρίαν οἰκονομεῖν οἶδας. καὶ τῶν προτέρων πάλιν ἐχόμενος, ἅπαν τοῖς δεομένοις τὸ ἀργύριον διένειμεν. ἐπὶ τούτοις πᾶσιν, ὥς τινες τῶν ἐκεῖσε, ἐν οἷς ὁ Ἀπόστολος διατρίβων ἦν, καὶ χρόνου τινὸς διαῤῥεύσαντος, πρὸς τὸν Βασιλέα ἀφίκοντο, καὶ περὶ τοῦ κάλλους τῶν οἰκοδομημάτων μαθεῖν ἱμείρετο, ἤκουσε, μὴ προσδοκᾶν τὸ σύνολον ἐξ ἐκείνου τοῦ ἀνδρὸς οἰκοδομὰς κτισμάτων, ὡς τοῦ χρυσίου παντὸς τοῖς πένησι διανεμηθέντος, μᾶλλον δὲ ὅτι καὶ Θεὸν ἀγνοούμενον κηρύσσει, καὶ τοῖς προσφοιτῶσιν αὐτῷ ἐξαίσια τινὰ θαυματουργεῖ, μηδ' ὁπωσοῦν τὸ σύνολον στηριζόμενος. ὁ Βασιλεὺς οὖν ἀκατασχέτῳ μανίᾳ πληγεὶς, καὶ τὸν Ἀπόστολον μεταστειλάμενος, ἐπυνθάνετο, εἰ τὸ παλάτιον ἔκτισαι. ὁ δὲ ὑπολαβὼν, εἶπεν· ὃ παρὰ τοῦ ἀληθινοῦ ἀρχιτέκτονος ἐγὼ οἰκοδομεῖν μεμάθηκα, Βασιλεῦ, τοῦτό σοι ὡραῖον καὶ πάνυ παλάτιον ἔκτισαι. καὶ ὁ Βασιλεὺς, ἐξ αὐτῆς παραγεγονότες, τὸ κατασκευασθὲν ἴδωμεν. οὐ μοι δοκεῖ, ὁ Ἀπόστολος ἀπεκρίνατο, τὴν τούτου χρῆσιν ἔχειν σε τὸ παρόν. ἀλλ' ὅτι μεταναστὰς ἧς γένῃ τῶν ὧδε, τότε τοῦ κτισθέντος εὑρήσεις ἁρμόδιον τὸ κατάλυμα. καὶ ὡς δῆθεν ὁ Βασιλεὺς χλευαζόμενος, τοῦτο γὰρ ὑπέλαβε, θηριωδῶς κατεβρόντησεν εἰπών· τὸν ἀπατεῶνα τοῦτον εἰς σκοτεινότατον λάκκον, σὺν τῷ ἀγαγόντι μοι ἐμπόρῳ, ἀσφαλισθῆναι προστάσσω. Ὡς δὲ τοῦτον ἡ φρουρὰ δεσμώτην εἶχε κατάκλειστον, ὁ τοῦ Βασιλέως ἀδελφὸς, ἐν μιᾷ τῶν νυκτῶν ὡς δῆθεν τῷ ἀδελφῷ συναλγῶν, καὶ ἀθυμίας νέφει ἐπιπεσὼν, πρὸς θάνατον ἤπαγε, τὸν Βασιλέα προσκαλεσάμενος ἔφη. διὰ τὴν τοῦ δολίου συμβᾶσάν μοι ἐπήρειαν, τὴν ψυχὴν παθὼν ἤδη, τῆς ζωῆς ὑπεξέρχομαι. καὶ ἑκατέρων οὕτως ὁμιλούντων, ἀποπνιγεὶς ἄφωνος ἔμεινε. τότε τὴν ψυχὴν αὐτοῦ λαβὼν Ἄγγελος, τὰς σκηνὰς Κυρίου ἐπιπορευόμενος, ὑπεδείκνυε τὴν τούτων εὐπρέπειαν. καὶ εἰς ὁ-

ποίαν

Digitized by Google

ποίαν οἰκῆσαι βέλοιτο ἐπηρώτα. καὶ ὡς ἔγνω ἡ ψυχὴ μίαν τὸ ἐξαίρετον ἔχεσαν, καὶ ἐπὶ πᾶσι ταύτην ἐδείκνυε τῷ Ἀγγέλῳ, καὶ ἐν μέρει ταύτης τῆς κατοικίας οἰκῆσαι παρεκάλει. καὶ ὁ Ἄγγελος, ἐν ταύτῃ οἰκῆσαι ἐ δύνασαι. αὕτη γάρ ἐστι τῆ ἀδελφῆ σε, ἣν ὁ ξένος αὐτῷ Θωμᾶς ᾠκοδόμησε. καὶ δέομαί σε ἀντέφησεν, ἀνες μοι πρὸς αὐτὸν ἀπελθεῖν. αὐτόμως γὰρ ὠνησάμενος αὐτὴν ἐξ ἐκείνε, ἐπανέλθω. ἐδὲ γὰρ οἶδε τὸ κάλλος αὐτῆς. τότε ἐπαναχάμψας ὁ Ἄγγελος τὴν ψυχὴν, τῷ νεκρῷ σώματι ἀποδίδωσιν· ὡς ἀπὸ καρε δὲ τινὸς ἀναμήψας ὁ τεθνηκὼς, τοῖς παρεςῶσι τὸν ἀδελφὸν ἐπεζήτει, ἐ παραγενομένε, πρὸς αὐτὸν εἴρηκεν· ἀνενδοιάςως πέπεισμαι, ὡς τὸ ἥμισυ τῆς Βασιλείας σε προείλε δῦναι εἰς τὴν ἐμὴν ἀναβίωσιν. ὅθεν μικράν τινα χάριν αἰτῶ παρασχεῖν μοι, ἣν μὴ ὑπέρθε χαρίσασθαί μοι. καὶ ὁ Βασιλεὺς. ὅσον ὑπὸ τὴν χεῖρα ἐστὶ, φιλτάτῳ προθύμως χαρίσομαι, ὅρκῳ τῦτο βεβαιώσας. τότε ἀνυποςόλως τὸ ζητέμενον τῷ ἀδελφῷ ἐπετςάνωσεν, εἰπών· τὸ ἐν Οὐρανοῖς σε παλάτιόν μοι ἐπίδος, εἰς ὅσην βέλῃ χρημάτων ἀντάλλαγήν. καὶ ὡς περ ἐμμεὸς ὁ Βασιλεὺς ἐπὶ τέτῳ γενόμενος, ἔφη· ἐμοὶ παλάτιον ἐν Οὐρανοῖς; πόθεν; ναὶ μὴν ἔςι σοι ἔφη, εἰ καὶ αὐτὸς ἀγνοεῖς, ὅπερ σοι ὁ ἐν φρερᾷ ἐδομήσατο ὑπηρέτης. ὡς καὶ αὐτὸς ἐγὼ τῇ πρὸς σὲ ἀχθόμενος λύπῃ ἀρπαγεὶς, τέτε εἶδον τὴν καλλονήν. τότε συνεὶς ὁ Βασιλεὺς τὸ λεγόμενον, ὅπως τὸν ἀδελφὸν ἀπεκρέσατο εἰπών· εἰ μὲν τῶν ὑπὸ τὴν βασιλείαν κειμένων τὸ ζητέμενον ἦν, ἐξ ἀνάγκης ἡ τῶν ὅρκων λύσις ἐπισφαλής. εἰδὲ τῶν ἐν Οὐρανοῖς ἀποκεκληρωμένων, αὐτὸς τὸ λεγόμενον δίκασον. ἀλλ' ἐπεὶ πάρεστιν ὁ τέκτων, λάβε τῦτον, καὶ ὧν ἐθεάσω, σκευάσει σοι λαμπρότερα. τῦτο εἰπὼν, σὺν τῷ Ἀβάνῃ τῆς φυλακῆς τὸν Ἀπόςολον ἐξάγει. καὶ πεσὼν αὐτῷ πρὸς τὰς πόδας, τῆς συναρπαγῆς τὸ σφαλερὸν συμπαθῆσαι ἐζήτει. ἐπὶ τέτῳ τῷ Θεῷ εὐχαριςήσας ὁ Ἀπόςολος, καὶ ἀμφοτέρες τῷ λόγῳ τῆς χάριτος καταλαμπρύνας, δὲς αὐτοῖς τὸν ἀῤῥαβῶνα τῆς ἀκηράτε Βασιλείας, ἐφ' ἑτέρας αὐτὸς κηρύξων ὥρμητο πόλεις, δοξάζων καὶ εὐλογῶν τὸν Πατέρα, καὶ Υἱὸν, καὶ τὸ Ἅγιον Πνεῦμα.

Τῇ αὐτῇ ἡμέρᾳ, Τε Ὁσίε Πατρὸς ἡμῶν Νικήτα Πατρικίε τε Ὁμολογητε.

Στίχ. Θλίψεις ὑποςὰς εἰκόνων θείων χάριν.

Χαίρει χαρὰν Νικήτας ὅταν οἱ Νόες.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Ἐρωτηΐδος.

Στίχ. Ἐρωτηΐδα πυρπολεσα Παρθένον,
Ἔρωτι Χριςε τὴν προπυρπολεμένην.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις Χριςέ.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Μετὰ τῆς ἄνω, χοροςασίας ὡς Ἀπόςολος, χαίρων συγχορεύεις μάκαρ ἐν Οὐρανοῖς, ἀναμέλπεις τε γηθόμενος· εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε.

Ἀπὸ περάτων, ἕως περάτων ὁ σὸς διέδραμε, φθόγγος καὶ ῥημάτων θείων ἡ προφορὰ, τὰς κραυγάζοντας παιδεύουσα· εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε.

Ναὸς ἐγένε, σὺ τῆς Τριάδος παναοίδιμε, ὅθεν καὶ ναὰς εἰδώλων τε καὶ βωμὰς, ἀπεκάθηρας Ἀπόςολε. ναὰς δὲ ἤγειρας, εἰς ὑμνῳδίαν καὶ αἶνον Χριςε τε Θεε.

Θεοτοκίον.

Νόμε δελείας, τῇ σῇ γεννήσει λελυτρώμεθα. σὺ γὰρ Θεοτόκε τὸν ἐλευθερωτὴν, ἀπειράνδρως ἡμῖν τέτοκας, εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις πανάμωμε Δέσποινα.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Θεῷ ὁμιλῶν σε σαρκωμένῳ, σαρκὸς ἐπιλελησμένος ἐναπέφηνας. τὴν δὲ ὑπερκόσμιον, θέωσιν ἐπλούτησας, τῇ πρὸς Θεὸν ἐγγύτητι θεοποιέμενος· τὸν Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψῦτε, εἰς πάντας τὰς αἰῶνας.

Ἀγά-

Digitized by Google

Ἀγάπῃ Θεῷ συγκεκραμένος, τὸν θάνατον μετ' αὐτοῦ μάκαρ ἐπόθησας. τοῖς συναποστόλοις σου, ἄγωμεν φθεγξάμενος, καὶ σὺν αὐτῷ τὸν θάνατον καταδεξώμεθα. τὸν Κύριον ὑμνεῖτε βοῶντες. καὶ ὑπερυψοῦτε.

Ὑμᾶς ὁ Χριστὸς τοὺς Ἀποστόλους, νεφέλας τῆς ἐκείνου βροχῆς ἔδειξεν, ὄμβροις ἐπικλύζοντας, θείας ἐπιγνώσεως, τὰς Ἐκκλησίας πάνσοφοι, καὶ καταρδεύοντας. καὶ Κύριον ὑμνεῖτε βοῶντας, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Μώμων καθαρὰ καὶ μολυσμάτων, καὶ πάσης ἁγιωσύνης ὅσα τέμενος, Λόγον τὸν πανάγιον, πάντας ἁγιάζοντα, τὸν τῷ Πατρὶ συνάναρχον, ἐκυοφόρησας διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

„Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ Τό„κος τῆς Θεοτόκου διεσώσατο. τότε „μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, „τὴν Οἰκουμένην ἅπασαν, ἐγείρει ψάλ„λουσαν. τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, „καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Ἔρμα φωτοφόρον ἐδείχθης, ἐπικαθήμενον τὸν Λόγον, τῇ εὐπειθεστάτῃ σου ψυχῇ, καὶ θεοφόρῳ ἐπιφερόμενος, πρὸς σωτηρίαν εὔδοξε, ἡνιοχοῦντα τοὺς ὑμνοῦντάς σε.

Σοῦ τὴν παμμακάριστον μνήμην, ἐπιτελοῦντες δυσωποῦμεν, πάσης τρικυμίας σωθῆναι, τῇ μεσιτείᾳ τῆς παρρησίας σου. ἣν ὡς Χριστοῦ Ἀπόστολος, ἔχεις Θωμᾶ μακαριώτατε.

Σήμερον τὴν μνήμην σου πάντες, Θωμᾶ Ἀπόστολε τελοῦμεν. φώτισον ἁγίασον πίστει, πειρατηρίων καὶ περιστάσεων, καὶ παθημάτων πάντοτε, ἀπολυτρούμενος πρεσβείαις σου. Θεοτοκίον.

Ὤφθης θεονύμφευτος Μήτηρ, καὶ πανακήρατος Παρθένος. σὺ γὰρ παρθενίαν καὶ τόκον, εἰς ἓν συνῆψας ἄχραντε Δέσποινα, τὸν Ποιητὴν καὶ Κύριον, πάσης τῆς κτίσεως γεννήσασα.

Ὁ Εἱρμός.

„Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλα„ξεύτου σου Παρθένε, ἀκρογωνιαῖος „ἐτμήθη, Χριστὸς συνάψας, τὰς διεστώ„σας φύσεις. διὸ ἐπαγαλλόμενοι, σὲ Θεο„τόκε μεγαλύνομεν.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Αὐτόπτα καὶ Ἀπόστολε, Χριστοῦ τοῦ πανοικτίρμονος, εἰρήνην δώρησαι πάσῃ, τῇ Οἰκουμένῃ καὶ νίκας, τῷ φιλοχρίστῳ Ἄνακτι, ἡμῖν πταισμάτων ἄφεσιν, καὶ σωτηρίαν αἴτησαι, τοῖς σὲ Θωμᾶ εὐφημοῦσιν, ὡς μαθητὴν θεηγόρον.

Ἕτερον. Ὅμοιον.

Χριστὸς ὁ μέγας Ἥλιος, ἀκτῖνά σε πολύφωτον, ἐν τῇ Ἰνδίᾳ ἐκπέμπει, τὴν ζοφερὰν πλάνην μύστα, συντόμως ἐκδιώκοντα, Θωμᾶ σοφὲ Ἀπόστολε. καὶ τοὺς λαοὺς φωτίζοντα, Τριάδα σέβειν τὴν θείαν, παρ' ἧς φρουρούμεθα πάντες.

Θεοτοκίον. Ὅμοιον.

Παναμώμε Μητρόθεε, τὸ μέγα περιήχημα, τῶν Ἀποστόλων Μαρτύρων, καὶ Προφητῶν καὶ Ὁσίων, τὸν σὸν Υἱὸν καὶ Κύριον, ἱλέωσαι τοῖς δούλοις σου, ἡμῖν Θεογεννήτρια, ὅταν καθήσῃ τοῦ κρῖναι, τὰ κατ' ἀξίαν ἑκάστῳ.

Εἰς τὸν η'. τῆς Ὀκτωήχου, λέγονται καὶ τὰ παρόντα. Ἦχος α'. Ἀνατολίου.

Χριστῷ ἠκολούθησας Θωμᾶ Ἀπόστολε, καὶ τοῦ Κόσμου κατεφρόνησας, καὶ τὰ τούτου διδάγματα ἐν τῷ ταμείῳ σου κρύψας, ἀνεδείχθης Ἀπόστολος. ὅθεν γενόμενος ἐν τοῖς ἔθνεσι, καὶ τὰς τούτων ἀπὸ τῆς πλάνης, καὶ τῶν παθῶν σκοτισθείσας ψυχὰς ἐντολαῖς τοῦ Σωτῆρος ἐφώτισας, πιστεύειν εἰς Τριάδα ὁμοούσιον.

Ἦχος δ'.

Τῷ τῆς γνώσεως θείῳ πυρί, τὴν ψυχὴν καταυγασθεὶς, ἐν πᾶσι τοῦ Δεσπότου μιμητὴς γέγονας, ὡς ἔννομος Μαθητὴς, Θωμᾶ Ἀπόστολε. τῷ γὰρ καλάμῳ τοῦ Σταυροῦ, ἐκ τοῦ βυθοῦ τῆς ἀγνωσίας, ἀσε-

Digitized by Google

ἀσεβῶν ψυχὰς ἐξώρισας. ὅθεν καὶ τὴν τῶν Ἰνδῶν ἐξαφωμένην διάνοιαν, τῷ τοῦ Θείου Πνεύματος ἀγκίστρῳ εἰσαγαγόντας Χριστὸν τὸν Θεὸν ἀεὶ δυσώπει, καὶ ἡμᾶς ῥυσθῆναι τοῦ ἐχθροῦ, ἐξαφωμένης ὄψεως, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος δ'.

Πρὸς τῆς ἀλίας βυθὸν καταλιπὼν, τῷ τοῦ Σταυροῦ καλάμῳ πίστει προσέδραμες, καὶ ἐν αὐτῷ πάντας ἐξώγρησας, Θωμᾶ Ἀπόστολε. διὸ καὶ τὴν ἄχραντον πλευρὰν τοῦ Λόγου, τῇ χειρὶ ψηλαφήσας, τῶν πεπαρμένων ἥλων τοὺς ὠτειλὰς, τῷ δακτύλῳ κατιδεῖν κατηξίωσαι. Χριστὸν τὸν Θεὸν ἐκτενῶς πρέσβευε ἀεὶ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

---

Τῷ αὐτῷ Μηνὶ Ζ'.

Τῶν Ἁγίων Μαρτύρων Σεργίου, καὶ Βάκχου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ς'. καὶ ψάλλομεν στ. Ἦχος α'.

Πανεύφημοι Μάρτυρες.

Βάκχε καὶ Σέργιε ὑμᾶς. ὁ τῆς δόξης Κύριος. καταοσμήσας ταῖς χάρισι, ταῖς τῶν ἰάσεων, θαυμαστοὺς ἐν Κόσμῳ ἀκλεῶς ἀνέδειξε, νοσοῦντας δι' ὑμῶν θεραπεύων ἀεί. διὸ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Βάκχε καὶ Σέργιε ὑμεῖς, ἐπὶ γῆς ἀθλήσαντες, ἐν Οὐρανοῖς συγχορεύετε, σὺν ἀσωμάτοις γὰρ, ἀεὶ παρεστῶτες, τῇ Τριάδι Ἅγιοι, καὶ δόξῃ ἐντρυφῶντες ἀγάλλεσθε. διὸ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Βάκχε καὶ Σέργιε ὑμεῖς, τοῦ ἐχθροῦ τὴν σύστασιν, ἀνδρείως ἄμφω ἐλύσατε, καὶ τῶν εἰδώλων δὲ, ὀλεθρίαν πλάνην, ἀσεβῶς ἀπώσασθε, Χριστὸν τὸν Βασιλέα κηρύξαντες· ὃν ἱκετεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος δ'.

Σέργιος καὶ Βάκχος, ἡ φαιδρὰ τῶν Μαρτύρων καὶ τερπνὴ λαμπηδὼν. τῶν μὲν Τυράννων τὸ θράσος κατέβαλε. τῶν δὲ εἰδώλων τὴν πλάνην κατήργησε. καὶ τῆς Θεογνωσίας τὸ τέλειον μυστήριον, λαμπρᾷ τῇ φωνῇ, ὑψηγοροῦντες ἀνεκήρυττον. ὧν ταῖς πρεσβείαις Χριστὲ, ὁ τούτων μονοδότης, ἀγωνοθέτης τε καὶ στεφανοθέτης, καὶ ἡμᾶς ἀξίωσον, κατὰ τῶν ἀοράτων καὶ ὁρατῶν δυνάμεων, τὸ κράτος ἀναδήσασθαι.

Καὶ νῦν. Θεοτ. Ἔδωκας σημείωσιν.

Ἥλιον κυήσασα, Δικαιοσύνης παμάμωμε. τὸ ζοφῶδες διάλυσον, παθῶν τῶν θλιβόντων με, καὶ τὸν ἀπατῶντα, τὴν ψυχήν μου ὄφιν, καὶ καταθέλγοντά με νῦν, φιληδονίαις καὶ ματαιότησι, πόρρωθεν ἀπαδίωξον, τῆς ταλαιπώρου καρδίας μου, ἐν γαλήνῃ φυλάττουσα, ἀπαθείας τὸν δοῦλόν σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρούμενον βλέπουσα, καὶ τὴν πλευρὰν ὀρυττόμενον, ὑπὸ λόγχης ἡ παναγμος, Χριστὸν τὸν φιλάνθρωπον, ἔκλαιε βοῶσα· τί τοῦτο Υἱέ μου; τί σοι ἀχάριστος λαὸς, ἀποτιννύει ἀνθ' ὧν πεποίηκας, καλῶν αὐτοὺς καὶ σπεύδεις με, ἀτεκνωθῆναι παμφίλτατε· καταπλήττομαι εὔσπλαγχνε, σὴν ἑκούσιον σταύρωσιν.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος Πλ. δ'.

Ἐκραταιώθη τῶν τοῦ Χριστοῦ Μαρτύρων, κατ' ἐχθρῶν τὸ σύστημα, ἐν οἷς ὡς φωστῆρες κοσμικοὶ διαλάμπουσιν, οἱ ἀθεμεῖς καὶ ἄριστοι ἀθλοφόροι, Σέργιός τε καὶ Βάκχος. τούτοις ἔκλινε τὰ νῶτα ἡ πονηρὰ φάλαγξ τῶν δαιμόνων. τούτους ἐξεπλάγησαν Τύραννοι, καὶ ἐθαύμασαν Ἄγγελοι, ὁρῶντες τὸν ἀσώματον, μετὰ σαρκὸς πατούμενον. τῶν δὲ πιστῶν ἡ Ἐκκλησία, πανέορτον ἑορτὴν καὶ κοσμικὴν χαρμονὴν, ἐπιτελοῦσα βοᾷ· ὁ ἀθεμεία σαρκὸς πεδήσας τὸν ἰσχυρὸν, ταῖς πρεσβείαις τῶν Ἁγίων σου, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ

Digitized by Google

Καὶ νῦν. Θτ. Ὢ τοῦ παραδόξου.

Πῶς σου τὴν χάριν ἀμνήσαιμι, καὶ τὴν πολλὴν πρὸς ἐμὲ, τὸν ἀνάξιον δοῦλόν σου, καθ' ἑκάστην πρόνοιαν, ἣν σαφῶς ἐπιδείκνυσαι; πῶς δέ σου φράσω τὴν ἀγαθότητα; καὶ τὴν ποικίλην ὄντως κυβέρνησιν; σὺ οὖν καὶ ἔτι νῦν, εἰς ἀεί μοι πρόστηθι, παντὸς κακοῦ, ζῶντα καὶ θανόντα με, ἐκλυτρουμένη σεμνή.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὢ τοῦ παραδόξου θαύματος, ὢ μυστηρίου καινοῦ, ὢ φρικτῆς ἐγχειρήσεως, ἡ Παρθένος ἔλεγεν, ἐν σταυρῷ θεωροῦσά σε, ἐν μέσῳ δύω λῃστῶν κρεμάμενον, ὃν ἀνωδύνως φρικτῶς ἐκύησεν, ἔκλαιε κράζουσα· οἴ μοι τέκνον φίλτατον, πῶς σε δεινὸς, δῆμος καὶ ἀχάριστος, σταυρῷ προσηλῶσαι;

Ἀπολυτίκιον. Οἱ Μάρτυρές σου Κύριε.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης Στιχ. Κανόνες τῆς Ὀκτωήχου δύω, καὶ τῶν Ἁγίων εἰς ϛ'.

Οὗ ἡ ἀκροστιχίς.

Σέργιον ἀθλοφόρον, καὶ Βάκχον ἀοίδιμον ᾄδω. Θεοφάνους.

Ὠδὴ ά. Ἦχος ά.

Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Σέργιε θεράπον τοῦ Χριστοῦ, συμπρεσβευτὴν προσλαβὼν καὶ συλλήπτορα, Βάκχον τὸν ἀοίδιμον, μεθ' οὗ τοὺς ἄθλους θεοφρόνως ἤνυσας, λόγον μου σοφίας, ὑμᾶς ὑμνοῦντι βραβεύσατε.

Ἐπὶ τὴν ἀσάλευτον Χριστοῦ, πέτραν τῆς πίστεως ἅγιοι, Μάρτυρες θέντες τὸν θεμέλιον, ἐπ' ἀσφαλοῦς ἐρηρεισμένοι πίστεως, πρόβολοι καὶ πύργοι, τῆς εὐσεβείας ἐδείχθητε.

Ῥήμασι πιστεύσαντες Χριστοῦ, καὶ πρὸς αὐτὸν ἀκλινῶς ἀτενίζοντες, πᾶσαν διεπτύσατε, παρερχομένην εὐδοξίαν Ἅγιοι· δόξης ἀϊδίου, καταπλεχθέντες τῷ ἔρωτι.

Γένους καὶ πατρίδος καὶ τιμῆς, διὰ Χριστὸν γυμνωθέντες ἀγάλλεσθε, καὶ περιβαλλόμενοι, θηλυπρεπὲς ἀνδρειοφρόνως ἔνδυμα, τὴν τῆς ἀφθαρσίας, καταστολὴν ἠμφιάσθητε.

Θεοτοκίον.

Ἴλεων γενέσθαι τοῖς πιστοῖς, καὶ ἀμεμπτῶς Θεομῆτορ δυσώπησον, Λόγον ὃν ἐγέννησας, σωματικῶς ἡμῖν ἐπιδημήσαντα. σὲ γὰρ προστασίαν, καὶ σωτηρίαν κεκτήμεθα.

Ὠδὴ γ'. Ὁ μόνος εἰδώς.

Ὁ μόνος γινώσκων ὡς Θεὸς, τὰ πάντα πρὶν γενέσεως, τὴν πρὸς αὐτὸν ὁρῶν ὑμῶν πρόθεσιν, σοφίας λόγον καὶ θείας γνώσεως, καὶ στεῤῥοῦ φρονήματος, δαψιλῶς ἐνέπλησεν, ὡς αὐτοῦ στρατιώτας μακάριοι.

Νομίμως θεράποντες Χριστοῦ, ἀθλήσαι προελόμενοι, τὴν φθειρομένην δόξαν καὶ φεύσαν, καὶ Κόσμον πάντα καὶ Κοσμοκράτορα, λογισμῷ θεόφρονι, ἀθλοφόροι Μάρτυρες, ἐβδελύξασθε πόθῳ τοῦ Κτίσαντος.

Ἀχράντοις νοὸς ἐπιβολαῖς, Θεῷ νυνὶ παριστάμενοι, καὶ τῆς ἐκεῖθεν αἴγλης πληρούμενοι, καὶ τῆς ἀφράστου μακαριότητος, σαφῶς ἀπολαύοντες, πειρασμῶν καὶ θλίψεων, ἀθλοφόροι Κυρίου λυτρώσασθε.

Θεοτοκίον.

Θανάτῳ κρατούμενος τὸ πρὶν, Ἀδὰμ νῦν ἠλευθέρωται, τῇ σῇ γεννήσει μόνη Θεόνυμφε· ζωὴν γὰρ ὄντως τὴν ἐνυπόστατον, ἐρωθεῖσαν σώματι, Ἁγνὴ καθ' ὑπόστασιν, ὑπὲρ φύσιν καὶ λόγον ἐκύησας.

Ὁ Εἱρμός.

„Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας
„τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐ-
„τὴν μορφωσάμενος, περίζωσόν με ἐξ
„ὕψους δύναμιν, τοῦ βοᾷν σοι Ἅγιος, ὁ
„Ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου σου δό-
„ξης φιλάνθρωπε.

Κάθ. Ἦχος Πλ. δ'. Τὴν σοφίαν καὶ Λόγον.

Τοὺς τῆς πίστεως ἄνθη τοὺς νοητοὺς, μαργαρίτας Κυρίου καὶ ἀθλητὰς, Σέργιον τιμήσωμεν, καὶ τὸν Βάκχον τοὺς Μάρτυρας. ὡς τοῦ ἐχθροῦ τὴν πλάνην, ἐνθέως πατήσαντας, καὶ τῶν εἰδώλων πᾶσαν ἰσχὺν ἐδαφίσαντας, ὅθεν ἐπαξίως, οὐρανόθεν

τὸ

Digitized by Google

τὸ στέφος, τῆς νίκης δεξάμενοι, σὺν Ἀγγέλοις χορεύουσι. διὸ πίστει βοήσωμεν· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτ. Ὅμοιον.

Ἐνθυμοῦμαι τὴν κρίσιν καὶ δειλιῶ, ἔργα πράξας αἰσχύνης ὁ ταπεινός, ἄξια καὶ δέομαι, Θεοτόκε πανύμνητε. πρὸ τοῦ τὰς πύλας φθάσαι, θανάτου ἐπίστρεψον, πρὸς τὴν τῆς μετανοίας ὁδὸν ὁδηγοῦσά με· ἵνα εὐχαρίστως, προσκυνῶν ἀνυμνῶ σου, τὴν ἄμετρον δύναμιν, καὶ τὴν θείαν ἀντίληψιν, Παναγία, Θεόνυμφε. πρεσβεύουσα Χριστῷ τῷ Θεῷ, ὑπὲρ οὗ αἰτοῦμαι δοθῆναί μοι, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Παρεστῶσα σὺ Κόρη ἐν τῷ Σταυρῷ, καὶ ὁρῶσα τὸν σὸν Υἱὸν καὶ Θεόν, σταυρούμενον ἄχραντε, ἀνεβόας σπαράττουσα, παρειὰς καὶ προσβρέχουσα, τοῖς δάκρυσιν ἔλεγες· ὢ πῶς ἐνέγκω ταῦτα, καὶ τ᾽ ἄλλα τῶν ὕβρεων, ὄξος καὶ καλάμου τὰς τύψεις, ῥαπίσματα, φέροντα κολαφίσματα στῆσίν τε, τῆς πλευρᾶς ἐξορύγματα, ἡ ἀνωδύνως κυήσασα; νῦν δὲ αἱ ὀδύναι στερρῶς, ψυχὴν κατατεύχουσι βλέπουσαν, Δέσποτα τὰ παθήματα, ὅσα θέλων ὑφίστασαι.

Ὠδὴ δ΄. Ὅρος σε τῇ χάριτι.

Λαμπτῆρες διττοὶ ἀπὸ δυσμῶν ἐξανέτειλαν, τὴν ἐναντίαν τῷ τῆς γῆς, τότε κρατοῦντι δυσσεβεῖ, ποιούμενοι κίνησιν, καὶ πρὸς τὴν σὴν ἀνατολὴν ἐπειγόμενοι, τὴν φωτοφόρον Χριστὲ καὶ σωτήριον.

Οὐ ξίφος οὐ πῦρ οὐ διωγμὸς οὐδὲ μάστιγες, τῆς ἀσεβοῦς περὶ Θεόν, γνώμης ἐχώρισαν ὑμᾶς. ζωὴν γὰρ ἡγήσασθε, τὴν τελευτὴν τὴν δι᾽ αὐτὸν ἀξιάγαστοι, καὶ μακαρίαν τρυφὴν καὶ ἀνώλεθρον.

Φωστῆρες οἱ ὄντως ἀπλανεῖς τὸ στερέωμα, τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, περιαυγάζουσι φωτὶ τῆς θείας ἐλλάμψεως, καὶ τὰς ψυχὰς τῶν ἀσεβῶν κατευφραίνουσα, τὰς τῶν θαυμάτων ἀκτῖνας ἐκπέμποντες.

Ὁ Βάκχος ὁ θεῖος καὶ πανάριστος Σέργιος, ἐν ἐνιαυτῶν περιτροπαῖς, τοὺς εὐσεβείας ἐραστάς, καὶ τοὺς φιλομάρτυρας, πνευματικῶς πρὸς εὐωχίαν προτρέπονται, τὰς ἀριστείας αὐτῶν προτιθέμενοι.

Θεοτοκίον.

Ῥομφαία τὰς πύλας τῆς Ἐδὲμ ἡ φυλάττουσα, παραχωρεῖ νῦν τοῖς πιστοῖς, καὶ ὑποδέχεται φαιδρῶς, τιμίῳ ἐν Αἵματι, τοῦ ἐκ τῆς σῆς γαστρὸς τεχθέντος Παναμώμε, σημειωθέντας ὁρῶσα καὶ χάριτι.

Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Οἱ τὴν πλάνην ἀληθείας ἐν ὅπλῳ ἐλάσαντες, καὶ τυράννων καρτερῶς αἰκισμοὺς ὑπομείναντες, νικηταὶ γεγόνατε, παρὰ Χριστοῦ στεφανωθέντες, καὶ νῦν ἀξίως ἀγάλλεσθε.

Νευρούμενοι ἀηττήτῳ δυνάμει καὶ χάριτι, ἡ δυὰς ἡ θαυμαστὴ τῶν Μαρτύρων κατέβαλε, τὸν τοῦ σκότους ἄρχοντα, καὶ τοὺς αὐτῷ δεδουλωμένους, τῆς τούτου πλάνης ἐρρύσατο.

Καρτερίᾳ, καὶ ἀνδρείᾳ ψυχῆς καὶ στερρότητι, διανοίας ξυνωρὶς τῶν Μαρτύρων ἡ ἔνδοξος, ὑπερέβη ἅπασαν, τῶν διωκτῶν πικρὰν μανίαν, καὶ σὺν Ἀγγέλοις αὐλίζεται.

Θεοτοκίον.

Ἀνέτειλας Θεομῆτορ ὡς ὄρθρος τὸν Ἥλιον, τὸν ἄδυτον ἑνωμένον σαρκὶ καθ᾽ ὑπόστασιν, ἐν ἀγκάλαις φέρουσα, τῆς ἀληθοῦς δικαιοσύνης. διό σε πάντες δοξάζομεν.

Ὠδὴ ϛ΄. Ἐκύκλωσεν ἡμᾶς.

Ἰάσεων πηγὰς Μαρτύρων λείψανα, πλουσίως ἀναβρύουσιν· ἀρυσώμεθα προθύμως οἱ πιστοί, καὶ τοὺς ἀθλοφόρους μακαρίσωμεν, τὸν κλεινὸν Σέργιον, Βάκχον τε τὸν ἀοίδιμον.

Βαρούμενοι τὴν μετ᾽ ἀνόμων σκήνωσιν, καὶ πλάνην δυσχεραίνοντες, τὴν Οὐράνιον πορείαν ἀσφαλῶς, Σέργιος καὶ Βάκχος ἐπορεύοντο, καὶ πρὸς Χριστοῦ λιμένα, ἔφθασαν τὸν ἀχείμαστον.

Ἀνοίγονται τοῖς ἀθλοφόροις Μάρτυσιν, αἱ πύλαι αἱ Οὐράνιαι, ἀλαβύμεναι τὸ πάθος τοῦ Χριστοῦ, τὸ τῇ ἐκμιμήσει τοῦ Θεοῦ ἡμῶν χαριτωθὲν, καὶ φυγαδεῦον δαιμόνων φάλαγγας.

Θεοτοκίον.

Κυρίως σε Θεοῦ Μητέρα Πάναγνε, φρονοῦντες καταγγέλλομεν. τὸν γὰρ ἄναρχον Υἱὸν μονογενῆ, τὸν πρὸ τῶν αἰώνων ἀναλάμψαντα, ἐκ τοῦ Πατρὸς, ἀνερμηνεύτως Παρθένε τέτοκας.

Ὁ Εἱρμός.

„ Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος, οὐκ
„ ἔστιν ὁ ῥυόμενος, ἐλογίσθημεν ὡς
„ πρόβατα σφαγῆς. σῶσον τὸν λαόν σου
„ ὁ Θεὸς ἡμῶν. σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούν-
„ των καὶ ἐπανόρθωσις.

Κοντάκ. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὸν νῦν πρὸς ἐχθροὺς ἀνδρείως παρετάξασθε, τὴν πᾶσαν αὐτῶν ἀπάτην καταλύσαντες. καὶ τὴν νίκην ἄνωθεν, εἰληφότες Μάρτυρες πανεύφημοι, ὁμοφρόνως ἐκράζετε· καλὸν καὶ τερπνὸν τὸ συνεῖναι Χριστῷ. Ὁ Οἶκος.

Ἐν Οὐρανοῖς Χριστὲ κατοικοῦντες Σέργιός τε καὶ Βάκχος, καὶ τοῦ θείου φωτὸς τοῦ παρὰ σοῦ ἐμφορούμενοι, ἐμὲ τὸν ἐν τῷ σκότει τῆς ἀγνωσίας πορευόμενον προσφθάσειεν διὰ τάχους. καὶ τῶν παθῶν ἀφαρπάσειεν μόνε ἀθάνατε, στολὴν μοι τῆς ἀφθαρσίας καταπέμποντες. ὅπως λαχεῖν μονῶν, τὴν φωτοφόρον αὐτῶν ἑορτὴν ἀνυμνῶ, καὶ κραυγάζω σοι Κύριε. Καλὸν καὶ τερπνὸν τὸ συνεῖναι Χριστῷ.

Τῷ αὐτῷ Μηνὶ Ζ΄. Τῶν Ἁγίων μεγάλων Μαρτύρων, Σεργίου καὶ Βάκχου.

Στίχ. Χαλκᾶ σὰ νεῦρα Βάκχε πρὸς νεύρων βίον.

Καὶ πρὸς ξίφος Σέργιε, πῦρ σὴ καρδία.

Σέργιον ἑβδομάτῃ ξίφος ἔκτανε, νεῦρα δὲ Βάκχον.

Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ Βασιλέως. καὶ ὁ μὲν Σέργιος Πριμικήριος ἦν τῆς σχολῆς τῶν Κιντηλίων. ὁ δὲ Βάκχος Σεκουνδικήριος τῆς αὐτῆς σχολῆς. ἀρχῆθεν δὲ τὰ τῶν Χριστιανῶν μυηθέντες, καὶ τὰς θεοπνεύστους γραφὰς ἐκμαθόντες καλῶς, διαβληθέντες τῷ βασιλεῖ, προσετάχθησαν ἅμα αὐτῷ θυσίαν τοῖς εἰδώλοις προσενεγκεῖν. τοῦτο δὲ μὴ καταδεξάμενοι, ἀφῃρέθησαν τὰς ζώνας, καὶ τὰ μανιάκια τὰ ἐπὶ τοῖς τραχήλοις αὐτῶν κείμενα, καὶ περιεστάλησαν θηλυπρεπέσιν ἐνδύμασι, καὶ διὰ μέσης τῆς Πόλεως ἐφ' ὕβρει δῆθεν σίδηρα πεπεδημένοι ἤχθησαν, καὶ πρὸς τὸν Ἡγεμόνα Ἀντίοχον παραπέμπονται, εἰς Πόλιν Εὐφρατησίων. ἤδη δὲ πλησιάζοντες, ἐξ ἐπιφανείας Ἀγγέλων, θείας ἰσχύος καὶ θάρσους ἐπλήσθησαν. καὶ ὁ μὲν Βάκχος πρῶτος τυφθεὶς νεύροις ὠμοῖς, τῆς ὥρας παραταθεὶς, ἐν αὐταῖς ταῖς βασάνοις τὸ πνεῦμα παρέδωκεν. ὁ δὲ Σέργιος διαφόρως ἐξετασθεὶς, καὶ κρηπῖσι τοὺς πόδας καθηλωθεὶς σιδηροῖς, καὶ τρέχειν ἀναγκασθεὶς μακροτάτας ὁδοὺς, εἶτα καθειρχθεὶς, καὶ αὖθις ταῖς αὐταῖς κρηπῖσι καθηλωθεὶς, τὴν κεφαλὴν τῷ ξίφει ἀποτέμνεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Ἰουλιανοῦ Πρεσβυτέρου, καὶ Καισαρίου Διακόνου.

Σάκκῳ δοθεῖσι καὶ βυθῷ, Θεὸς Λόγος, Διττοῖς ἀθληταῖς, σάκκον εἰς χαρὰν στρέφει.

Κλαυδίου βασιλεύοντος ἐν Ῥώμῃ, καὶ τὴν ἰδίαν μητέρα ἀποκτείναντος διὰ τὴν εἰς Χριστὸν πίστιν, οὐκ ἐφείσατο ἔκτοτε τῶν Χριστιανῶν. τότε ὁ μακάριος Καισάριος ἀπὸ τῆς Ἄφρων χώρας ἐλθὼν, ἐν κώμῃ λεγομένῃ Ταρακινῇ, ὡς εἶδε τὰς μυσαρὰς θυσίας, κατέπτυσε. συμπατήσας δὲ ταύτας, καὶ κρατηθεὶς ἐν τρισὶν ἡμέραις ἄσιτος τῇ φυλακῇ, παρεδόθη τῷ ἀνθυπάτῳ. δεσμηθεὶς δὲ τὰς χεῖρας ὄπισθεν, εἵλκετο παρὰ τῶν στρατιωτῶν ἔμπροσθεν τοῦ ὀχήματος τοῦ ἄρχοντος, μέχρι τοῦ ναοῦ τοῦ Ἀπόλλωνος. καὶ ὡς ἤδη πρὸς τὸν ναὸν ἀφικόντο, τοῦ Ἁγίου προσευξαμένου, πέπτω-

Digitized by Google

πτωκεν εὐθέως ἐκ θεμελίων ὁ ναός, συμπεριλαβὼν ἔνδον τόν τε Ἀρχιερέα, καὶ ἄλλους πολλούς. ὅπερ ἰδὼν Λεόντιος ὁ Ὑπατικός, προσέπεσε τῷ Ἁγίῳ, καὶ πιστεύσας εἰς τὸν Χριστόν, ἐβαπτίσθη αὐτὸς ἐνώπιον πάντων. καὶ ἐλθὼν ὁ Πρεσβύτερος Ἰουλιανός, μετέδωκεν αὐτῷ τῶν ἀχράντων Μυστηρίων. καὶ τοῦ ὑπατικοῦ εὐθέως τὴν ψυχὴν εἰς χεῖρας Θεοῦ ἀναθεμένου ἐξ αἰτήσεως διὰ τῆς τοῦ Ἁγίου προσευχῆς, θεασάμενος Λοξώριος ὁ Ἄρχων τὸ γεγονός, ἐκράτησεν Ἰουλιανὸν τὸν Πρεσβύτερον, καὶ Καισάριον τὸν Διάκονον, καὶ προσέταξε βληθῆναι αὐτοὺς εἰς σάκκους, καὶ ῥιφῆναι ἐν τῇ θαλάσσῃ. οἱ δὲ Ἅγιοι εἶπον πρὸς αὐτόν· ἡμεῖς μὲν Λοξώριε ῥιπτόμεθα ἐν τῇ θαλάσσῃ, σὺ δὲ ὑπὸ δεινοῦ ὄφεως δηχθείς, κακῷ θανάτῳ τὴν ψυχὴν ἀπορρήξεις. ὃ καὶ γέγονε. μετὰ γὰρ δύω ἡμέρας περιπλακεὶς αὐτῷ ἐν τῷ αἰγιαλῷ τῆς θαλάσσης περιπατοῦντι δεινότατος ὄφις, καὶ πάντα τὰ τούτου μέλη τύψας, ἄπνουν καὶ σχεδὸν νεκρὸν εἰργάσατο. ἐξογκωθεὶς γὰρ ἔκειτο τοῖς ὁρῶσι θέαμα μέγα. τὰ δὲ σώματα τῶν Ἁγίων ἐξελθόντα ἀπὸ τῆς θαλάσσης ὑπὸ Κυρίου κυβερνώμενα, Εὐσέβιός τις Πρεσβύτερος, καὶ Φῆλιξ δι᾽ ὀπτασίας ἀποσταλέντες, ὑπεδέξαντο ταῦτα, καὶ διήρχοντο ὅπου ὁ δύστηνος ἔκειτο. οὓς καὶ θεασάμενος ἐταλάνιζεν ἑαυτόν. ἀλλ᾽ ὁ υἱὸς τοῦ βαπτισθέντος Λεοντίου τοῦ ὑπατικοῦ, μετὰ τὸ κατατεθῆναι τὰ τῶν Ἁγίων Λείψανα πλησίον τῆς Πόλεως, ἀπέτεμε καὶ τὰς τούτων κεφαλάς, ῥίψας αὐτὰς ἐν τῷ ποταμῷ. Κούαρτος δὲ Πρεσβύτερος ἐκ τοῦ Κάστρου Καπύης, ὑπὸ θείου Ἀγγέλου ὁδηγηθείς, ἀπελθὼν ἔλαβε καὶ τὰ τούτων Ἅγια Λείψανα, Εὐσεβίου φημὶ καὶ Φήλικος, καὶ κατέθετο ταῦτα ἐν ἐπισήμῳ τόπῳ, εἰς δόξαν Πατρὸς Υἱοῦ καὶ Ἁγίου Πνεύματος.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Πολυχρονίου.

Στ. Κτείνουσι πολλὰ Πολυχρόνιον ξίφη,
Πρὸς τὰ ξίφη δὲ λήψεται καὶ τὰ γέρα.

Οὗτος ἐπαρχίας μὲν ἦν τῆς Γαμφανίτου λεγομένης. ὁ δὲ τούτου Πατὴρ Βαρδάνιος, γεωργὸς ἦν. τὸν δὲ Παῖδα γράμμασιν ἐπαίδευσε, καὶ τοῖς παισὶν ἐπακολουθεῖν τοῦτον ἐκέλευσε. καὶ διὰ τὸ εἶναι μήκοθεν τὸ ὕδωρ, τῇ εὐχῇ τοῦ παιδός, πηγὴ ἀνεδόθη. πολλὴ γὰρ ἦν ἐν τῷ νέῳ ἡ σύνεσις καὶ ἡ ἐγκράτεια. καὶ ἐπεὶ εἰς μέτρον ἔφθασεν ἡλικίας, τοῖς ἀμπελικοῖς ἐργατουργοῖς ἑαυτὸν ἐμισθώσας, πρὸς τὴν βασιλεύουσαν ἔρχεται, καὶ ἐργαζόμενος καὶ αὐτὸς μετὰ τῶν λοιπῶν τὰς ἀμπέλους, διὰ δύω ἢ καὶ τριῶν ἡμερῶν τροφῆς ἐλάμβανε καὶ ὕδατος. ὁ δὲ τούτου ἐργοδότης θαυμάσας τὸν τοῦ Θεοῦ ἐργάτην, καὶ αἰδεσθεὶς αὐτοῦ τὴν ἀρετήν, ἐφοδιάσας χρυσίου ποσότητι, ἀπέστειλεν εἰπών· ἄπελθε εἰς τὰ ἴδια, ὑπὲρ ἐμοῦ εὐχόμενος, κρατήσαο τὴν δίκελλαν αὐτοῦ πίστεως χάριν, ἥτις πολλὰ θαυμάσια ἐτέλεσεν. αὐτὸς δὲ μετὰ τοῦ ἐν χερσὶ χρυσίου, Ἐκκλησίαν κατασκευάσας, ἐν τῇ κατὰ Νίκαιαν Συνόδῳ αἱρεθείς, Ἀναγνώστης ὤν, δέχεται τὸ τοῦ Διακόνου, καὶ Πρεσβυτέρου ἀξίωμα. ἐπεὶ δὲ ὁ μέγας Κωνσταντῖνος τὸν βίον μετήμειψε, παραυτίκα ἡ τοῦ Ἀρείου αἵρεσις ἤρξατο τοὺς πολλοὺς ἐκταράττειν. ὅθεν οἱ κακόδοξοι φθόνῳ τηκόμενοι, εὑρόντες τὸν Ἅγιον τῷ Θυσιαστηρίῳ παρεστάμενον, ἄφνω ἐκπηδήσαντες, τοῖς ξίφεσιν αὐτὸν κατέσφαξαν, καὶ κατέκοψαν. καὶ τῷ μυστικῷ καὶ θείῳ Αἵματι συμμίξαντες, θυσίαν ἀκουσίως τῷ ἁγίῳ Θεῷ παρέπεμψαν.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις Χριστέ.

Ὠδὴ ζ΄. Σὲ νοητὴν Θεοτόκε.

Χαῖρε δυὰς ἀθλοφόρων ἔνδοξε. χαῖρε νικήσασα λαμπρῶς, τῶν τυράννων τὰς ἀπειλάς. χαῖρε ἡ ἀνύσασα δρόμον τὸν μακάριον. χαῖρε τρανῶς παρεστῶσα Θεῷ Θεομακάριστε.

Ὁλολαμπεῖς, ἐπὶ γῆς βαδίζοντες, τοὺς τῶν δαιμόνων ὀφθαλμούς, καὶ τὰς ὄψεις τῶν διωκτῶν, Μάρτυρες ἠμβλύνατε, φέγ-

γει

Digitized by Google

γει τῷ τῆς χάριτος, καὶ ταῖς αὐγαῖς τῆς ἀθλήσεως, τὸν αἱρετὸν ἀνυμνοῦντες Θεὸν τὸν ὑπερένδοξον.

Ναοὶ Θεοῦ πεφηνότες ἔνδοξοι, ζῶντος καὶ ζῶντες ἀθληταὶ, τῇ δυνάμει τῇ αὐτοῦ, ὄντως δυναμούμενοι, στῖφος ἐτροπώσασθε, τῶν δυσμενῶν παμμακάριστοι, τὸν κραταιὸν ἐν πολέμοις Χριστὸν, ὕμνοις γεραίροντες. Θεοτοκίον.

Ἥγιασεν σὺ, Ναὸς ἐχρημάτισας, καὶ πανάγία κιβωτὸς, δεξαμένη τὸν Ποιητὴν, τὸν ἀπεριόριστον, καὶ τὸν ἀπερίληπτον, ἐν τῇ γαστρί σου χωρήσασα. τὸν αἱρετὸν τῶν Πατέρων Θεὸν καὶ ὑπερένδοξον.

Ὠδὴ η'. Ἐν καμίνῳ Παῖδες.

Ὁ τῇ δρόσῳ πάλαι τοῖς Παισὶ, τὴν φλόγα καταψύξας, ἔρωτας ἐν τοῖς ἀγῶσιν ἐδυνάμωσεν αὐτοὺς, τοὺς Μάρτυρας ψάλλοντας. Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τοξόβολους καὶ ψυχοβλαβεῖς, θωπείας τῶν τυράννων, ἐμφρόνως οἱ ἀθλοφόροι διεκρούσαντο, Χριστῷ βοῶντες καὶ ψάλλοντες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου.

Ἀρασηνείους φύλακας ἡμῖν, τὸν Σέργιον καὶ Βάκχον, τοὺς ὄντας στεφανηφόρους, ἐπεστήσατο Χριστὸς, φρουροῦντας καὶ ψάλλοντας· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου.

Ἰθυνόν μοι Δέσποτα Χριστὲ, πρεσβείαις τῶν Μαρτύρων, τὴν τρίβον τῆς ἀρετῆς μοι, κατευμαρίζων, καὶ σοὶ κραυγάζειν ἀξίωσον· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Μακαρίζω σε τὴν ἀληθῆ, Θεοῦ ἡμῶν Μητέρα, τὸ χαῖρε σοι τῷ Ἀγγέλῳ, προσκομίζων Ἁγνὴ, πανάμωμε Δέσποινα. σὲ γὰρ ὄντως, πάντα τὰ ἔργα ὑμνοῦσι, καὶ ὑπερυψοῦσιν εἰς πάντας.

Ὁ Εἱρμός.

„Ἐν καμίνῳ Παῖδες Ἰσραὴλ, ὡς ἐν „χωνευτηρίῳ, τῷ κάλλει τῆς εὐσε„βείας, καθαρώτερον χρυσοῦ, ἀπέστιλ„βον λέγοντες· Εὐλογεῖτε πάντα τὰ ἔρ„γα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπε„ρυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τύπον τῆς ἁγνῆς.

Ὅλον τὸν Χριστὸν ἐκτήσασθε. Κόσμον γὰρ ὅλον δι' αὐτὸν κατελίπατε. καὶ νῦν Μάρτυρες τοὺς Οὐρανοὺς ἐμβατεύοντες, τὰς χορείας τῶν ἄνω Δυνάμεων, ἀνδρῶν τε τῶν μακαρίων καταμονεῖτε εὐφραινόμενοι.

Νέμοις ξυνωρὶς παμάριστε, τῷ τοὺς ἐπαίνους πόθῳ σοι προσκομίζοντι, χάριν ἄνωθεν καὶ τῶν πταισμάτων συγχώρησιν, δυσωποῦσα τὸν μόνον οἰκτίρμονα. πρὸς ὃν ἐπειγομένη, τῶν χαμαιζήλων κατεφρόνησας.

Αἴγλη τριλαμποῦς Θεότητος, πεφωτισμένοι οἱ ἀήττητοι Μάρτυρες, τὴν πολύθεον ἀπατηλὴν ἀθεότητα, καὶ Τυράννων τὸν φόβον ἀπώσαντο, καὶ νῦν τῆς ἀκηράτου, κατατρυφῶσιν ἀπολαύσεως.

Δρόμον τὸν καλὸν τελέσαντες, τὴν εὐσεβῆ τε πίστιν σώζειν σπουδάζοντες, τὴν ἀσάλευτον παραλαβεῖν ἠξιώθητε, Βασιλείαν πανένδοξοι Μάρτυρες, διάδημα τοῦ κάλλους, καὶ εὐπρεπείας περικείμενοι.

Θεοτοκίον.

Ὢ τῶν ὑπὲρ νοῦν θαυμάτων σου. τὸν τοῦ Θεοῦ γὰρ Λόγον σάρκα γενόμενον, μόνη τέτοκας ὑπερφυῶς Μητροπάρθενε, τὸν τὰ σύμπαντα θείῳ βουλήματι, σοφῶς διακρατοῦντα, καὶ κυβερνῶντα καὶ συνέχοντα.

Ὁ Εἱρμός.

„Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρ„πολουμένη βάτος ἔδειξεν ἄφλεκτος. „καὶ νῦν καθ' ἡμῶν τῶν πειρασμῶν ἀγριαί„νουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμι„νον, ἵνα σε Θεοτόκε, ἀκαταπαύστως „μεγαλύνωμεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Ἀδελφικῇ συνδούμενοι, τῇ στοργῇ καὶ τῇ πίστει, οἱ ἀθλοφόροι Μάρτυρες, Σέργιος ὁ θεόφρων, καὶ ὁ ἀοίδιμος Βάκχος, σὲ Χριστὲ δυσωποῦσιν, εἰρήνην δοῦναι τῷ Κόσμῳ, καὶ τοῖς ἐν Κόσμῳ καὶ Βασιλεῖ, κατ' ἐχθρῶν βαρβάρων τρόπαια νίκης, ἡμῖν πταισμάτων ἄφεσιν, καὶ ψυχῶν σωτηρίαν.

Θεοτοκίον.

Τὸν σαρκωθέντα Κύριον, ἐξ ἁγνῶν σου αἱμά-

Digitized by Google

αἱμάτων, Παρθενομήτορ ἄχραντε, δυσωποῦσα μὴ παύσῃ, ὑπὲρ ἀχρείων σου δούλων, ὅπως εὕρωμεν χάριν, καὶ εὔκαιρον βοήθειαν, ἐν ἡμέρᾳ ᾗ κρίνει, γένος βροτῶν, ὡς Θεὸς παρέχων τὰ κατ' ἀξίαν. σὲ γὰρ προστάτιν ἅπαντες, ἔχομεν ἐν ἀνάγκαις.

Εἰς τοὺς Αἴνους ἱστ. Ἦχος α'. ὃν δευτεροῦμεν, καὶ τὸν γ'. καὶ τὸν δ'.

Ἦχος α'. Γερμανοῦ.

Δαβιτικῶς ἀνεβόων, Σέργιος καὶ Βάκχος οἱ Μάρτυρες· ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; οὐ δεσμούμενοι φύσεως σχέσει, ἀλλὰ πίστεως τρόπῳ. ὅθεν οἱ Ἅγιοι, τὸν ἐχθρὸν κατεπάτησαν, καὶ τὸν σταυρὸν ἀράμενοι, τῷ Χριστῷ ἠκολούθησαν. καὶ πρεσβεύουσι τῷ Βασιλεῖ καὶ Θεῷ, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος γ'.

Ἐστὶ καλὸν ἔτι τερπνόν, ἡ αὐτάδελφος γνώμη τῶν Μαρτύρων σου Κύριε. οὓς γὰρ ἡ φύσις σαρκικοὺς ἀδελφοὺς οὐκ ἐγνώρισε, τούτους ἡ πίστις ἀδελφὰ φρονεῖν μέχρις αἵματος κατηνάγκασεν. ὁ Θεὸς ταῖς εὐχαῖς αὐτῶν, ἐλέησον ἡμᾶς.

Ἦχος δ'. Ἀνατολίου.

Προφητικῶς τοῖς Ἁγίοις συνελθόντες, τὸν ὕμνον βοήσωμεν. ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; οὐ φύσεως ἀκολουθίᾳ, ἀλλὰ πίστεως, ἑνώσει τοῦ Ἁγίου Πνεύματος. τὰ γὰρ φθαρτὰ βδελυξάμενοι πάντα, ἦραν τὸν Σταυρὸν ἐπ' ὤμων, καὶ ἠκολούθησαν Χριστῷ, Σέργιος καὶ Βάκχος, οἱ γενναῖοι Μάρτυρες. ἐν Οὐρανοῖς παῤῥησίαν κεκτημένοι, πρεσβεύουσιν αὐτῷ ὑπὲρ ἡμῶν, τοῦ καταπεμφθῆναι ἡμῖν τὸ μέγα ἔλεος. Δόξα. Ἦχος δ'.

Ὑποδησάμενος Σέργιος, ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης, τὰ τῶν ἥλων ὑποδήματα, τῷ αἵματι τῷ τῶν ποδῶν ἀποῤῥέοντι, τὸν ὄφιν τὸν ἐπιτηροῦντα τὴν πτέρναν ἡμῶν, ἐξετύφλωσε, καὶ τοῦ Μαρτυρίου στέφανον ἐκομίσατο. διὸ εὐχαῖς αὐτοῦ Χριστὲ ὁ Θεός, καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ ἡμᾶς ἐλέησον.

Καὶ νῦν. Θεοτοκίον.

Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ἡ τεκοῦσα τὸν τῶν ὅλων Ποιητήν, ἵνα πάντες κράζωμέν σοι· χαῖρε ἡ μόνη προστασία τῶν ψυχῶν ἡμῶν.

Σταυροθεοτοκίον. Ὡς γενναῖον.

Τὸν ἀμνὸν καὶ Ποιμένα σε, ἐπὶ ξύλου ὡς ἔβλεψεν, ἡ ἀμνὰς ἡ τέξασα ἐπωδύρετο, καὶ μητρικῶς σοι ἐφθέγγετο· Υἱὲ ποθεινότατε, πῶς ἐν ξύλῳ τοῦ σταυροῦ, ἀνηρτήθης φιλάνθρωπε; πῶς τὰς χεῖράς σου, καὶ τοὺς πόδας σου Λόγε, προσηλώθης, ὑπ' ἀνόμων καὶ τὸ Αἷμα, τὸ σὸν ἐξέχεας Δέσποτα;

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου.

Ἦχος β'. Ἀνατολίου.

Καθορῶσα πάλαι ἡ Ἐκκλησία τοῦ Θεοῦ, τοὺς ὑμῶν ἀγῶνας Μάρτυρες παγκόσμιοι, σήμερον φαιδρῶς στολίζεται, καὶ πιστῶς ἑορτάζει ἐν τῇ μνήμῃ ὑμῶν, ὡς κόσμον βασίλειον περιφέρουσα τὴν αἰσχύνην, τὴν ἐπὶ τοῖς θείοις ὑμῶν αὐχέσιν ἐπιτεθεῖσαν παικτικῶς, δι' ἧς δόξης κατηξιώθητε τῆς ἐπουρανίου, καὶ τῆς ἀτελευτήτου μακαριότητος.

Καὶ νῦν. Θεοτοκ. Ὅτε ἐκ τοῦ ξύλου σε.

Ὅλην τὴν ζωήν μου ἐν κακοῖς, καταδαπανήσας ὁ τάλας, νῦν κατελείφθην Ἀγνή, πάσης ὄντως ἔρημος, ἀγαθῆς πράξεως, προσεγγίζοντα βλέπων δέ, τὸν θάνατον οἴμοι. τρέμω τὸ Κριτήριον τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ. ὅπερ, ἐξελοῦ με Παρθένε, καὶ πρὸ τῆς ἀνάγκης ἐκείνης, Δέσποινα ἐπίστρεψον καὶ σῶσόν με.

Σταυροθεοτοκίον. Ὅμοιον.

Πόνους ὑπομείνασα πολλούς, ἐν τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου σταυρώσει ἄχραντε, ἔστενες δακρύουσα, καὶ ὀλολύζουσα. οἴμοι τέκνον γλυκύτατον, ἀδίκως πῶς πάσχεις, πῶς τῷ ξύλῳ κρέμασαι, ὁ πᾶσαν γῆν ἐκπληρῶν; ὅθεν, Παναγία Παρθένε, σὲ παρακαλοῦμεν ἐν πίστει, ἵλεων ἡμῖν τοῦτον ἀπέργασαι.



Digitized by Google

Εἰς τὴν Λειτουργίαν, Προκείμενον. Ἦχος δ'. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ. Στίχ. Προωρώμην τὸν Κύριον. Ὁ Ἀπόστολος, πρὸς Ἑβραίους. Ἀδελφοί, οἱ Ἅγιοι πάντες. Ζήτει Κυριακῇ τῶν Ἁγίων πάντων. Ἀλληλούϊα. Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν; Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν. Εἶπεν ὁ Κύριος· προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Ζήτει τῇ γ'. τῆς ιβ'. Ἑβδομάδος τοῦ Λουκᾶ. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Τῷ αὐτῷ Μηνὶ Η'.

Τῆς Ὁσίας Μητρὸς ἡμῶν Πελαγίας.

Στιχηρά. Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐγκρατείᾳ τὸ σῶμά σου, Πελαγία νεκρώσασα, τὴν ψυχὴν ἐζώωσας καὶ ἐκόσμησας, καὶ οἰκητήριον Πνεύματος, σαυτὴν ἀπετέλεσας, καὶ συνήφθης μυστικῶς, τῷ νυμφίῳ καὶ Κτίστῃ σου. ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Τὸ ὡραῖον τοῦ σώματος, εἰς τὸ πρῶτον ἀξίωμα, Πελαγία ἔνδοξε μετερρύθμισας. οὐχὶ χρωμάτων τοῖς ἄνθεσιν, ἀρετῶν δὲ κάλλεσι, κατεποίκιλας σαυτήν, καὶ τοῦ Κτίστου γεγένησαι καθ' ὁμοίωσιν, ἐκτενῶς δυσωποῦσα ὑπὲρ πάντων, τῶν ἐν πίστει ἐκτελούντων, τὴν ἀεισέβαστον μνήμην σου.

Τῶν δακρύων ἀλάβαστρον, καθ' ἑκάστην προχέουσα, εὐωδίας ἔπλησας τὰ Οὐράνια, διὸ ὡς μύρα πολύτιμα, Χριστῷ προσηνέχθησαν, εἰς ὀσμὴν τὴν μυστικήν, τῆς αὐτοῦ ἀγαπήσεως ἐκχεόμενα, διὰ τοῦτο δυσώπει ὑπὲρ πάντων, τῶν ἐν πίστει ἐκτελούντων, τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα. Ἦχος δ'. Ἰωάννου Μοναχοῦ.

Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, καθὼς ὁ Ἀπόστολος διδάσκει. ἐν προσευχαῖς γὰρ καὶ δάκρυσι Πελαγία, τῶν πολλῶν πταισμάτων τὸ πέλαγος ἐξήρανας, καὶ τὸ τέλος εὐπρόσδεκτον τῷ Κυρίῳ, διὰ τῆς μετανοίας προσήγαγες. καὶ ἐν τούτῳ πρεσβεύεις, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν. Θεοτοκ.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐπομβρείαις τοῦ Πνεύματος, τοῦ Ἁγίου παμάχραντε, τὴν ἐμὴν διάνοιαν καταδρόσισον, ἡ τὴν σταγόνα κυήσασα, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἀνομίας τῶν βροτῶν, οἰκτιρμοῖς ἀποσμήχουσα. ἀπόξηρανον, τὴν πηγὴν τῶν παθῶν μου καὶ χειμάρρους, καταξίωσον τρυφῆς με, ταῖς ἀειζώοις πρεσβείαις σου. Θεοτοκίον. Ὅμοιον.

Ὡς ἑώρακε Κύριε, ἡ Παρθένος καὶ Μήτηρ σου, ἐν σταυρῷ κρεμάμενον ἐπωδύρετο. καὶ θρηνῳδοῦσα ἐφθέγγετο· τί σοι ἀνταπέδωκαν, οἱ πολλῶν σου δωρεῶν, ἀπολαύσαντες Δέσποτα; ἀλλὰ δέομαι, μὴ με μόνην ἐάσῃς ἐν τῷ Κόσμῳ, ἀλλὰ σπεῦσον ἀναστῆναι, συνανιστῶν τοὺς προπάτορας. Εἰς τὸν Στίχ. Στιχ. τῆς Ὀκτωήχου. Δόξα. Ἦχος πλ.

Μελετίου Ἱερομονάχου Βλαστοῦ.

Μετὰ τὸ ἁρμόσασθαι σαρκὸς τὴν εὐπάθειαν, ἀνεδείχθης καθαρὸν δοχεῖον, τοῦ δι' εὐσπλαγχνίαν τοῖς ἀνθρώποις συγκαταβάντος φιλανθρώπου Λόγου. ὅθεν καὶ πρὸς ζωὴν τὴν ἀγήρω οἰκεῖν σε ἠξίωσεν ὡς ὑπεράγαθος. τὰ Οὐράνια πάντα συγχαίρουσι, τὴν πρίν σε ἀσέμνως βιώσασαν, νῦν καθορῶντα Χριστοῦ ἄσυλον κειμήλιον, τοῦ ἐν Οὐρανοῖς ἀπὸ τῆς γῆς σε μεταθέντος, πάντας πιστοὺς, φρουροῦντος τῇ μνήμῃ σου. Καὶ νῦν. Θεοτ. Τροπάριον. Ἦχος πλ. Ἐν σοὶ Μῆτερ ἀκριβῶς.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. Κανόνες τῆς Ὀκτωήχου, καὶ τῆς Ἁγίας.

Οὗ ἡ ἀκροστιχίς.

Πόθῳ γεραίρω τὴν σοφὴν Πελαγίαν.

Ἐν δὲ τοῖς Θεοτοκίοις. Γεωργίου.

Ὠδὴ α'. Ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον.

Προθεῖσα ὡς πανδαισίαν σήμερον, τὴν θείαν μνήμην αὐτῆς, τῇ Οἰκουμένῃ πάσῃ μυστικῶς, Πελαγία προτρέπεται, κατατρυφῆσαι ἅπαντας, τῶν ἐδεσμάτων τῶν ἀγώνων αὐτῆς.

Ὁ πόθος ὁ ὑπὲρ πᾶσαν ἔφεσιν, ἐν τῇ ψυχῇ σου σεμνὴ, κατοικισθεὶς ἐκύρωσε τὸν

Digitized by Google

τὸν μῦν, ἢ τὴν φλόγα τοῦ πνεύματος, ἀνάψας σε ἐφώτισε, καὶ τῶν παθῶν τὴν ὕλην ἔφλεξεν.

Θαλάσσης τῆς ἁμαρτίας κλύδωνα, ὑπεκφυγοῦσα σεμνή, τῷ γαληνῷ λιμένι τοῦ Χριστοῦ, Πελαγία προσώρμισαι. διὸ τῇ μετανοίᾳ σου, ἀπεκληρώσω τὸν Παράδεισον.

Θεοτοκίον.

Γαλήνη τῶν ἐν τῷ βίῳ ἄχραντε, χειμαζομένων βροτῶν, ἢ ἀσφαλὴς ἢ ἄγκυρα στεῤῥὰ, ἢ λιμὴν ἢ κυβέρνησις, αὐτὴ ὑπάρχεις πάντοτε, χειραγωγοῦσα καὶ διέπουσα.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Ἡ μέπτης εἰς Οὐρανοὺς, ἡ τοῦ Χριστοῦ περιστερὰ πτέρυξι, τῆς ἐγκρατείας, σαυτὴν, ἢ πόνοις πολλοῖς ἀνυψώσασα.

Γ λύος τῆς τῶν παθῶν, σὺ τὸ δυσῶδες τῷ Χριστοῦ ὕδατι, ἀποσμηχθεῖσα σεμνή, μῦρον Πελαγία ἐδείχθης αὐτῷ.

Ῥομφαία τῷ πονηρῷ, θανατηφόρος ἀληθῶς γέγονεν, ἡ πρὸς Θεόν σου σεμνή, ἔμπυρος ἀγάπη ἢ ἔφεσις.

Θεοτοκίον.

Ὡς δρόσος ἑωθινὴ, ἡ εὐφροσύνη σου Ἁγνὴ στάζουσα, τὴν τῶν παθῶν κάμινον, τῶν σε ἀνυμνούντων σβεννύει ἀεί.

Ὁ Εἱρμός.

„Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου „Χριστὲ κράζουσα· σύ μου ἰσχὺς Κύριε, „ἢ καταφυγὴ ἢ στερέωμα.

Κά. Ἦχος πλ. δ'. Τὴν σοφίαν ἢ Λόγον.

Μετανοίας τῇ δρόσῳ τὴν τῶν παθῶν, ἀποσβέσασα φλόγα τὴν ἑαυτῆς, ζωὴν ἀνατέθεικας, τῷ Θεῷ τῷ Σωτῆρι σου. διὰ τοῦτο Κόσμον, φυγοῦσα ἐμόναζες, ἐν ἐρήμῳ βίον Ἀγγέλων ζηλώσασα. ὅθεν ἢ τὸ τέλος, μετὰ δόξης μεγάλης, θεόθεν τιμώμενον, ἐπεγράφη τοῖς πέρασι, Πελαγία πανένδοξε. πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. τὸ αὐτό. ἢ νῦν. Θτ. Ὅμοιον.

Πειρασμοῖς πολυπλόκοις περιπεσὼν, παρὰ ἐχθρῶν ἀοράτων ἢ ὁρατῶν, τῷ σάλῳ συνέχομαι, τῶν ἀμέτρων πταισμάτων μου. ἢ ὡς θερμὴν ἀντίληψιν, ἢ σκέπην μου ἄχραντε, τῷ λιμένι προστρέχω, τῆς σῆς ἀγαθότητος. ὅθεν Πανάγια, τὸν ἐκ σοῦ σαρκωθέντα, ἀπαύστως ἱκέτευε, ὑπὲρ πάντων τῶν δούλων σου, τῶν ἀπαύστως ὑμνούντων σε, Θεοτόκε πανάχραντε, πρεσβεύουσα αὐτῷ ἐκτενῶς, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν πανάγιον τόκον σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Καθελκόμενος Λόγε ἐν τῷ σταυρῷ, ὑπ' ἀνδρῶν παρανόμων γνώμῃ σκαιᾷ, ὁρῶσα ἡ Μήτηρ σου, ἢ δακρύουσα ἔλεγε. ἢ κοπτομένη σπλάγχνα, ἐθρήνει κραυγάζουσα· ἢ συνοχῇ καρδίας, ἐβόα στενάζουσα· οἴ μοι τῇ τεκούσῃ, Θεὲ ὑπεράγαθε, πῶς θέλων ὑφίστασαι, τοῦ προσώπου ῥαπίσματα; πῶς δὲ πάλιν ἐμπτύσματα, καὶ τὸν ἄδικον θάνατον; φεῦ μοι τῇ τεκούσῃ Υἱὲ, σταυρῷ ὁρώσῃ σε ἥλοις πηγνύμενον. ἢ γὰρ πάσχεις θέλων, ὁ φύσει φιλάνθρωπος.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ὡς θυμίαμα ὑπέρτιμον Πελαγία, τῆς ἐγκρατείας ἄνθραξιν ὁλοκαυτωθεῖσα, εὐωδία γέγονας, Χριστῷ τῷ Θεῷ ἡμῶν, εἰς ὀσμὴν δραμοῦσα τοῦ μύρου αὐτοῦ.

Τὴν τοῦ σώματος εὐπρέπειαν Πελαγία, τῆς ἁμαρτίας ὕλην πρώην γενομένην, ὅλην μετεῤῥύθμισας, εἰς κάλλος ἀνώλεθρον, οὗ ὁ σὸς νυμφίος ἠράσθη Χριστός.

Ἡ τοῦ Πνεύματος ἐνσκήψασα Πελαγία, ἐν τῇ ψυχῇ σου χάρις ὡς σπινθῆρα τοῦ λόγου, τὴν φλόγα μετέωρον, ἀνῆψε τῆς πίστεως, καὶ τὴν ἁμαρτίαν ἐχώνευσεν.

Θεοτοκίον.

Ῥάβδος ἔφυς Θεοτόκε ἐξ ἧς τὸ ἄνθος, τὸ νοητὸν ἐβλάστησε θείας εὐωδίας, πληρῶσαν τὰ σύμπαντα, Χριστὸς ὁ Θεὸς ἡμῶν, μύρον ὢν ἀκένωτον τίμιον.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Νάμασι μυστικοῖς, πιανθεῖσα τοῦ Πνεύματος, ἐξηνθήσας ἐν τῇ πίστει, ἀρετῶν εὐφορίαν, ἢ πόνοις τῆς ἀσκήσεως.

Σὺ Κύριε τὸ φῶς, τῶν ἐν σκότει κειμένων βροτῶν· σὺ ἔλαμψας ἐν καρδίᾳ, τῆς ὁσίας τὴν αἴγλην, τῆς θείας ἐπιγνώσεως.

Οἱ πόνοι σου σεμνὴ, Πελαγία ἐν δάκρυσι, σπειρόμενοι ἀφροσύνης, καὶ χαρᾶς ἀφθονίαν, ἐν Οὐρανοῖς συνηθροισαν.

Θεοτοκίον.

Γνωστὴ σου ἀληθῶς, ἡ χάρις ἀναδέδεικται, Παναχραντε παραδόξως, ἐνεργοῦσα δυνάμεις, καὶ τέρατα ἐν πάσῃ τῇ γῇ.

Ὠδὴ ϛ΄. Θύσω σοι μετὰ φωνῆς.

Φανείσης, τῆς ἀνεσπέρου αἴγλης Χριστοῦ τοῦ Θεοῦ, ἐν τῇ ψυχῇ Πελαγίας, ὁ τοῦ σκότους ἄρχων ἀπεσοβήθη, καὶ ᾠκίσθη ἡ τοῦ Πνεύματος χάρις καὶ πίστις αὐτῇ.

Ἡ πάλαι, παγιδευθεῖσα ὑπὸ τοῦ ὄφεως, παγὶς αὐτῷ ἀνεδείχθη, τὴν αὐτοῦ συνέχουσα δυναστείαν, καὶ πατοῦσα τὴν αὐτοῦ πανουργίαν δυνάμει Θεοῦ.

Νυμφίον, τὸν Κύριον καὶ Θεὸν ἀγαπήσασα, ταῖς ἀρεταῖς κοσμηθεῖσα, καὶ πεποικιλμένη πόνοις ἐνθέοις, τοῦ νυμφῶνος τοῦ αὐτοῦ Πελαγία ἠξίωσαι.

Θεοτοκίον.

Ἰδεῖν σου, Θεοτόκε τὴν δόξαν τὴν ἄφραστον, πάλαι ὠδίνησαν θείως, οἱ Προφῆται πάντες· ἀλλ᾽ ἐπ᾽ ἐσχάτων, ἡμῖν ὤφθη, τοῖς ποθοῦσι σε κόρη Παναμωμε.

Ὁ Εἱρμός.

„Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, „ἡ Ἐκκλησία βοᾷ σοι· ἐκ δαιμόνων „λύθρου κεκαθαρμένη, τῷ δι᾽ οἶκτον ἐκ „τῆς πλευρᾶς σου ῥεύσαντι Αἵματι.

Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὸ σῶμα τὸ σὸν, νηστείαις καταπήξασα, ἀγρύπνοις εὐχαῖς, τὸν Κτίστην καθικετεύσας, τοῦ λαβεῖν σῶν πράξεων, τὴν τελείαν συγχώρησιν· καὶ ἐδέξω ὁσία σαφῶς, ὁδὸν μετανοίας ὑποδείξασα.

Ὁ Οἶκος.

Ὅσοι ἐν βίῳ ἐν ἁμαρτίαις ἐμολύνθητε, ὡς ὁ τάλας ἐγὼ, ζηλώσωμεν τὴν μετάνοιαν, τὸν ὀδυρμόν τε μετὰ δακρύων, τῆς Ὁσίας Μητρὸς ἡμῶν Πελαγίας, ἵνα ταχὺ ἐκ Θεοῦ, τὴν συγχώρησιν λάβωμεν, καθάπερ ἡ μακαρία ἔτι ζῶσα τὸν ῥύπον ἀπέπλυνε τῆς ἁμαρτίας, καὶ ἔλαβεν ἐκ Θεοῦ τὴν τελείαν συγχώρησιν, ὁδὸν μετανοίας ὑποδείξασα.

Τῷ αὐτῷ Μηνὶ Η΄. Τῆς Ὁσίας Μητρὸς ἡμῶν Πελαγίας.

Στ. Αἴσχους λυθεῖσα, καὶ λιποῦσα τὸν σάλον,
Πρὸς ὅρμον ἥκεις Οὐρανοῦ Πελαγία,
Ὀγδοάτῃ ἰπέληξε βίου πέλαγος Πελαγία.

Αὕτη ἡ Ἁγία ὑπῆρχεν ἐπὶ Νουμεριανοῦ Βασιλέως, ἐκ πόλεως Ἀντιοχείας, ταῖς ὀρχίστραις καὶ ταῖς θεατροκοπίαις σχολάζουσα. καὶ παλακευομένη τῇ Πόλει, καὶ συνάγουσα ἐκ τῆς πονηρᾶς ταύτης ἐργασίας πλοῦτον ἄπειρον. αὕτη κατηχηθεῖσα παρά τινος Νόνου Ἐπισκόπου Ἁγίου ἀνδρὸς, καὶ θερμῶς μετανοήσασα, καὶ βαπτισθεῖσα, ἀποβάλλεται πάντα ὡς σκύβαλα. καὶ περιβαλλομένη τρίχινα, καὶ εἰς ἄνδρα μετασχηματισθεῖσα, καὶ λαθοῦσα, κατέλαβε τὸ ὄρος τῶν Ἐλαιῶν, καὶ ἐγκλείσασα ἑαυτὴν ἐν κελλίῳ, τὸ λειπόμενον τῆς ζωῆς θεαρέστως ζήσασα, ἐν εἰρήνῃ ἀνεπαύσατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Πελαγίας τῆς Παρθένου.

Στ. Κρημνοῦ φυγοῦσα κρημνὸν αἰσχύνης μέγαν.
Κρημνοῖς τὸν ἐχθρὸν, ἀφυῶς Πελαγία.

Αὕτη ὑπῆρχεν ἀπὸ Ἀντιοχείας τῆς Συρίας, γένους ἐνδόξου, μαθὼν δὲ ὁ ἄρχων τῆς ἐκεῖσε πόλεως, ὅτι Χριστιανή ἐστιν, ἀπέστειλε στρατιώτας τοῦ κρατῆσαι αὐτήν. οἱ δὲ ἀπελθόντες, περιεκύκλωσαν τὸν οἶκον αὐτῆς, βουλόμενοι ἁρπάσαι αὐτήν. ἡ δὲ Ἁγία μαθοῦσα τοῦτο, ᾐτήσατο μικρὸν περιμεῖναι. τῶν δὲ πεισθέντων, στᾶσα πρὸς ἀνατολὰς, ἐν ᾧ τόπῳ εἰώθει προσεύχεσθαι, ἀνατείνασα τὰς χεῖρας, καὶ τοὺς ὀφθαλμοὺς ἄρασα εἰς τὸν Οὐρανὸν, προσηύξατο ἐπὶ πολὺ πρὸς Θεὸν, μὴ παραδοθῆναι τοῖς στρατιώταις, ἀλλὰ πρὸς αὐτὸν ἀπελθεῖν ἁγνὴν, καὶ ἱερεῖον ἄμωμον. ταῦτα εἰποῦσα, καὶ σεμνῶς αὐτὴν περιστείλασα, τῷ Κυρίῳ τὸ πνεῦμα παρέθετο.

Τῇ

Digitized by Google

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Πελαγίας.

Στίχ. Βοὸς τὸ χαλκούργημα πῦρ φαγεῖ φλέγον,
Βληθεῖσαν ἔνδον τὴν Πελαγίαν φλέγει.

Πελαγία ἡ Μάρτυς ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ Βασιλέως, ἐκ πόλεως Ταρσοῦ τῆς Κιλικίας. Λίνου δὲ τοῦ Ἐπισκόπου πολλοὺς τῶν Ἑλλήνων βαπτίζοντος, ἡ Ἁγία Πελαγία ὁρᾷ κατ᾽ ὄναρ τὸν χαρακτῆρα τοῦ Ἐπισκόπου, παρακαλοῦντα αὐτὴν πρὸς τὸ βάπτισμα. καὶ αἰτήσασα τὴν μητέρα, ὡς δῆθεν πρὸς τὴν τροφὸν ἀπελθεῖν, ἦλθε πρὸς τὸν Ἐπίσκοπον, καὶ ἐβαπτίσθη. καὶ μετὰ τὸ βάπτισμα, δέδωκε τῷ Ἐπισκόπῳ τὴν πολύτιμον αὐτῆς στολὴν, δοῦναι τοῖς πτωχοῖς. εἶτα ἐλθοῦσα πρὸς τὴν τροφὸν, οὐ προσεδέχθη. ἀπελθοῦσα δὲ πρὸς τὴν Μητέρα, μεθ᾽ ἧς ἐνεδέδυτο ταπεινῆς στολῆς, τὴν μὲν Μητέρα ἐπὶ τούτῳ οὐ μικρῶς ἀλγήσασαν, προσαγγεῖλαι τῷ Υἱῷ τοῦ Διοκλητιανοῦ τῷ ταύτην μνηστευσαμένῳ. τὸν δὲ παροξυνθέντα ἑαυτὸν διαχειρίσασθαι. ἐπὶ τούτῳ οὖν ὀργισθεὶς ὁ πατὴρ αὐτοῦ Διοκλητιανὸς, καὶ κρατήσας αὐτὴν, χαλκῷ βοῒ πεπυρακτωμένῳ ἐνέβαλε. καὶ οὕτως ἡ Ἁγία πρὸς Κύριον ἐξεδήμησε.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Ταϊσίας τῆς πόρνης.

Στίχ. Ἐκ τοῦ ῥύπου σμηχθεῖσα τῆς ἀσωτίας,
Φαιδρὰ πρόσεισι τῷ Θεῷ Ταϊσία.

Αὕτη ἐκ παιδὸς παρὰ τῆς ἰδίας μητρὸς ἐργαστήριον κατέστη τοῦ διαβόλου, παρὰ δὲ Παφνουτίου τοῦ Σιδωνίου ἀγρευθεῖσα, καὶ τελείαν πληροφορίαν λαβοῦσα, ὅτι δεῖ μετανοία, πάντα τὰ προσόντα αὐτῇ τοῖς δεομένοις διανείμασα, λιτρῶν ὄντα τετρακοσίων, καὶ ἑαυτὴν ἐγκλείσασα ἔν τινι κελλίῳ, καὶ δακρύουσα, καὶ στενάζουσα ἐκ βάθους καρδίας, ἔλεγεν· ὁ πλάσας με ἐλέησόν με. ἐν τούτοις διετέλεσεν ἔτη τρία. ἐκεῖθεν δὲ ἐξελθοῦσα κελεύσει τοῦ Ἀββᾶ, μετὰ δεκαπέντε ἡμέρας ἐτελειώθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀρτέμωνος.

Στ. Κόσμου μεταστὰς, καὶ Θεῷ προσεγγίσας,
Σὸς εἰμὶ καὶ σῶσόν με, φασὶν Ἀρτέμων.

Οὗτος ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ Βασιλέως, Πρεσβύτερος τῆς κατὰ Λαοδίκειαν Ἐκκλησίας. γηραιὸς καὶ ἤδη ἐπανθοῦσαν ἔχων τὴν πολιάν. εἰσελθὼν δὲ μετὰ Σισινίου τοῦ Ἐπισκόπου ἐν τῷ τῶν εἰδώλων ναῷ, τὸ τοῦ Ἀπόλλωνος κατέστρεψεν ἄγαλμα, ὁμοίως καὶ τὸ τοῦ Ἀσκληπιοῦ ἀνέτρεψε ξόανον, καὶ τοὺς ἐν αὐτῷ δράκοντας ἠφάνισε. φασὶ γὰρ αὐτοὺς εἴκοσι πήχεις ἔχειν τὸ πλάτος, καὶ τὸ μῆκος ὀγδοήκοντα. διὰ τοῦτο κρατηθεὶς, τὰς σάρκας σιδήροις κατατέμνεται. καὶ ἐν ἐσχάρᾳ πυρακτωμένῃ ὀπτᾶται, καὶ ἐκ ταύτης ἀπαθὴς διανίσταται. καὶ ταῦτα ἐπῆγον τῷ Ἁγίῳ οἱ ἀλιτήριοι, καίπερ δορκάδος ἑπομένης αὐτῷ, καὶ φωνῇ ἀνθρωπίνῃ ἐλεγχούσης τὴν τοῦ παρανόμου ὠμότητα. ὁ δὲ ἅγιος, ἐν ᾧ ἦν ἱστάμενος τόπῳ, ἐξαίφνης πηγῆς ἀναδοθείσης, καὶ τοὺς παρατυχόντας βαπτίσας, αὐτίκα ἀνεπαύσατο ἐν Κυρίῳ.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Πέλαγος θείων, κατορθωμάτων ὤφθης ὡς ἀληθῶς, ὅλην τοῦ ἐχθροῦ βυθίσασα ἐν αὐτῷ, τὴν ἰσχύν. διὸ ἀνέμελπες· εὐλογημένος εἶ, ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Ἐν τῇ καμίνῳ, τῆς ἐγκρατείας σῶμα καὶ τὴν ψυχὴν, θεῖον ὡς χρυσὸν ἐχώνευσας καθαρὸν, καὶ τὸ πρῶτον κάλλος ἔδειξας, ἐρριζωθεῖσα σεμνὴ, Πελαγία τῇ ἄκρᾳ ἀσκήσει σου.

Λουτρῷ τῷ θείῳ, ἐνδυσαμένη ὅλον σὺ ἀληθῶς. ὅνπερ παλαιὸν ἐκδέδυσαι τῶν παθῶν, καὶ φθειρόμενόν σου ἄνθρωπον. τὸν νέον ἄνθρωπον, ἠμφιάσω Χριστὸν συμμορφούμενον.

Θεοτοκίον.

Ὁ ἐν τῷ θρόνῳ, τῷ πατρικῷ ὀχούμενος Λόγος Θεοῦ, ξένως ἐπὶ σοὶ ἐσκήνωσε



Digitized by Google

καὶ φρικτῶς, Θεοτόκε καὶ ἀνέπλασεν ἡμῶν τὸ φύραμα, ἐν αὐτῷ ἀνυψώσας ὡς εὔσπλαγχνος.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας Δανιὴλ.

Λάμψασιν ἀκτῖνες φαειναὶ, τῶν θαυμασίων σου, καθάπερ Ἥλιος, καὶ τὴν τοῦ βίου σου ἅπασαν, ὑπεμφαίνουσι λαμπρότητα, καὶ τὴν ἀστράψασαν ἐν σοὶ, τῆς θείας πίστεως ἐκβοῶσι, πάσῃ τῇ κτίσει αὐγὴν Πελαγία σεμνή.

Ἄλυτον δεσμὸν τὸν εἰς Χριστὸν, πιστῶς συνδήσασα, προσεκολλήθης αὐτῷ. καὶ ἀδιάσπαστος ἔμεινας, τῇ ἑνώσει τῆς ἀγάπης αὐτοῦ, συναρμοσθεῖσα νοητῶς, σεμνὴ τῇ πίστει αὐτοῦ, Πελαγία, ἀδιαιρέτως αὐτῷ διαμείνασα.

Γνῶσιν δεξαμένη ἀληθῆ, ἐν τῇ καρδίᾳ σου, διὰ τοῦ Πνεύματος, σαφῶς κατέιπλες ἅπασαν, τὴν τοῦ βίου ματαιότητα· διὸ κατέπληξας βροτοὺς, ἐν τῇ ἀθρόᾳ σεμνὴ μεταθέσει, καὶ Οὐρανοὺς εὐφροσύνης ἐπλήρωσας.

Θεοτοκίον.

Ὑμνοῦσι πανάχραντε Ἁγνὴ, τὰ μεγαλεῖά σου αἱ νοεραὶ στρατιαί. ἀνακηρύττουσιν ἅπαντες, Πατριάρχαι καὶ Προφῆται τρανῶς, σὺν Ἀποστόλοις Ἱεροῖς. καὶ τῶν Μαρτύρων χοροὶ, καὶ Ὁσίων ἅπαν τὸ πλῆθος. μεθ' ὧν προσκυνοῦμέν σε.

Ὁ Εἱρμός.

„Χεῖρας ἐκπετάσας Δανιὴλ, λεόντων „χάσματα ἐν λάκκῳ ἔφραξε, πυ„ρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περι„ζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ, Παῖ„δες κραυγάζοντες· εὐλογεῖτε, πάντα „τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Ἰδεῖν ἐπεθύμησας ὄντως, τοῦ ἐραστοῦ Χριστοῦ τὸ κάλλος. δι' ὃν ἐσταυρώθης τῷ Κόσμῳ, καὶ τὸ ὡραῖον ἄνθος τοῦ σώματος, Ὁσία κατεμάρανας, καὶ τὴν τοῦ βίου ἐβδελύξω στοργήν.

Ἅπαν τὸ τοῦ σώματος κάλλος, ἀποθεμένη Πελαγία, δι' ἐγκρατείας καὶ πόνων, πρὸς οὐρανίους σκηνὰς ἀνέδραμες. ἐν αἷς τοῦ ποθουμένου σοι, ἐναπολαύεις κάλλους εὔδοξε.

Νῦν τοὺς σὲ τιμῶντας ἐκ πόθου, πάντας Ὁσία ἐποπτεύεις, καὶ τοὺς τὴν ἐτήσιον ταύτην, ἐπιτελοῦντας σου μνήμην πρέσβευε, τῷ ποιητῇ καὶ Κτίστῃ σου, ἵνα μετάσχωμεν τῆς δόξης αὐτοῦ.

Θεοτοκίον.

Ὑμνῶ σου τὸν τόκον Παρθένε, καὶ μεγαλύνω σου τὴν χάριν. σὺ γὰρ φωτισμὸς τῆς ψυχῆς μου, ὑπάρχεις ὄντως καὶ ἡ παράκλησις, ἡ ταχινὴ βοήθεια, καὶ σωτηρία καὶ ἀντίληψις. Ὁ Εἱρμός.

„Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλα„ξεύτου σου Παρθένε, ἀκρογωνιαῖος „ἐτμήθη, Χριστὸς συνάψας τὰς διεστώ„σας φύσεις. διὸ ἐπαγαλλόμενοι, σὲ Θεο„τόκε μεγαλύνομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Ὑπογραμμὸς ὁ βίος σου, Μοναζόντων ἐδείχθη. καὶ ἀκριβὴς ἀνόρθωσις, τῶν δεινῶς πεπτωκότων, ἀοίδιμε Πελαγία. τῶν παθῶν γὰρ τὴν νύκτα, φυγοῦσα προσεπέλασας, τῷ Ἡλίῳ τῆς δόξης, Χριστῷ σεμνή. Ἀσκητῶν ἐκλάμψασα ὁμήγυρει, μεθ' ὧν σου τὴν ὑπέρλαμπρον, ἑορτάζομεν μνήμην.

Θεοτοκίον.

Χαρμονικῶς τὸ Χαῖρέ σοι, τοῦ σεπτοῦ Ἀρχαγγέλου, οἱ λυτρωθέντες Πάναγνε τῆς ἀρχαίας κατάρας, διὰ τοῦ θείου σου τόκου, εὐχαρίστως βοῶμεν, χαῖρε Ἀδὰμ ἡ λύτρωσις, χαῖρε Εὔας ἡ λύσις, χαῖρε δι' ἧς, ἅπαν ἡμῶν βρότειον ἐθεώθη, χαῖρε δι' ἧς ἐτύχομεν, Οὐρανῶν Βασιλείας.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικά. ὡς σύνηθες.

## Τῷ αὐτῷ Μηνὶ Θ'.

### Τοῦ Ἁγίου Ἀποστόλου Ἰακώβου τοῦ Ἀλφαίου, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀνδρονίκου, καὶ τῆς συμβίας αὐτοῦ.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ϛ'. καὶ ψάλλομεν στ. τοῦ Ἀποστόλου. Ἦχος δ'.

Ὡς

Digitized by Google

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τῷ καλάμῳ τῆς χάριτος, ἐκ βυθοῦ ματαιότητος, τοὺς βροτοὺς ἀνελκύσας ἀξιάγαστε, τοῦ Διδασκάλου τοῖς νεύμασιν, ὑπείκων Ἰάκωβε, τοῦ φωτίσαντος τὴν σὴν, κατὰ πάντα διάνοιαν, καὶ Ἀπόστολον, καὶ σεπτὸν θεηγόρον σὲ παμμάκαρ, ἀναδείξαντος τῆς τούτου, ἀκαταλήπτου Θεότητος.

Ἡ τοῦ Πνεύματος ἔλλαμψις, ἐπὶ σὲ καταβέβηκε, τοῦ πυρὸς ἐν εἴδει καὶ σὲ Μακάριε, θεῖον δοχεῖον εἰργάσατο, συντόμως ἐλαύνοντα, ἀθείας τὴν ἀχλὺν, καὶ τὸν Κόσμον φωτίζοντα, τῇ λαμπρότητι, τῶν πανσόφων σου λόγων, μυστολέκτα, Ἀποστόλων ἡ ἀκρότης, Χριστοῦ αὐτόπτα Ἰάκωβε.

Ἀστραπαῖς τοῦ κηρύγματος, τοὺς ἐν σκότει καθεύδοντας, ἀγνωσίας ἔνδοξε κατεφώτισας, καὶ ἀναδείξας Ἰάκωβε, υἱοὺς διὰ πίστεως, τοῦ Δεσπότου καὶ Θεοῦ, οὗ τὸ Πάθος ἐζήλωσας, καὶ τὸν θάνατον. τῆς γὰρ δόξης ἐγένου κληρονόμος, ὡς σοφὸς καὶ θεηγόρος, ὡς μαθητὴς ἀληθέστατος.

Ἕτερα π. τοῦ Ὁσίου. Ἦχος Πλ. βʹ.

Ὅλην ἀποθέμενοι.

Ὅλην ἀποθέμενοι, βιωτικὴν τυραννίδα, καὶ πλοῦτον μισήσαντες, καὶ τρυφὴν τὴν ῥέουσαν, βδελυξάμενοι. τὸν σταυρὸν ἤρατε, ὡς ζυγὸν ἔνθεον, καὶ Χριστῷ ἠκολουθήσατε, καὶ πρὸς οὐράνιον, χλόην θαυμαστῶς ἐσκηνώσατε. ἐν οἷς συναγαλλόμενοι, μέμνησθε ἡμῶν τῶν ἐκ πίστεως, ὑμῶν μεμνημένων, καὶ πόθῳ ἐκτελούντων εὐλαβῶς, τὴν ἱερὰν καὶ σεβάσμιον, μνήμην ὑμῶν Ἅγιοι.

Ὅλως ἀγαπήσασα, σὲ ἐκ ψυχῆς τὸν Δεσπότην, ὀπίσω σου ἔδραμε, δυὰς ἡ ἀοίδιμος καὶ ὁμόζυγος. καὶ τερπνὰ ἅπαντα, καὶ δεσμὸν ἄλυτον, ὡς ἱστὸν ἀράχνης ἔλυσε. διὸ καὶ ἔτυχε, σοῦ τῆς Βασιλείας ἀθάνατε. αὐτῶν οὖν ταῖς δεήσεσιν, ἱλασμὸν οἰκτίρμων παράσχου μοι, τῶν πλημμελημάτων, καὶ δεῖξόν με ἀνώτερον παθῶν, τῶν ἀνοχλεύτων μου Δέσποτα, τὴν ψυχὴν ἑκάστοτε.

Παίδων ἐστερήθητε, τῆς ποθεινῆς ξυνωρίδος, προστάξει τῇ κρείττονι, καὶ τῷ βίῳ μένοντες ἀπαράλλακτοι. τὴν φωνὴν ἤρατε, τὴν γενναιοτάτην, τοῦ Ἰὼβ καὶ ἀνεκράξατε. Κύριος ἔδωκε, Κύριος καὶ πάλιν ἀφείλετο. διὸ καὶ τὸ ποθούμενον, ἔργον εὐχερῶς διηνύετε. καὶ πρὸς ἐρημίας, καὶ τόπους τοὺς ἁγίους ἐν χαρᾷ, μεταναστεύοντες ὤφθητε, ζεῦγος ἱερώτατον.

Δόξα. Ἦχος δʹ. Θεοφάνους.

Τὴν τοῦ θείου Πνεύματος σαφῶς, χάριν δεξάμενος, τῆς ἱερωτάτης χορείας τῶν Ἀποστόλων συναρίθμιος Ἰάκωβε γέγονας. ὅθεν καὶ οὐρανόθεν τὴν φερομένην ποτὲ, πνοὴν βιαίαν πυρίνῃ γλώσσῃ ἐμπνευσθεὶς, τὴν τῶν ἐθνῶν ἀκανθώδη ἔφλεξας ἀθεότητα. Χριστὸν τὸν Θεὸν, θεοκήρυξ ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θτ. Ὡς γενναῖον.

Ὁ Κριτὴς ἤδη πάρεστι, τὸ κριτήριον ἕτοιμον. ὁ πρὸς τοῦτον φέρων θάνατος ἤγγικεν. οἱ ὑπουργοὶ ἑτοιμότατοι. τὰ πάντα ηὐτρέπισται. τί οὖν μέλεις ὦ ψυχή; τί βραδύνεις μὴ κράζουσα; ὁ Θεὸς ἡμῶν, καὶ Θεὸς τοῦ ἐλέους, ταῖς πρεσβείαις, τῆς Μητρός σου οἰκτειρόν με, καὶ πάσης ῥῦσαι κολάσεως.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἀμνὰς ἡ κυήσασα, τὸν ἀρνίον τὸν ἄμωμον, τὸ τὴν ἁμαρτίαν ἐλθὸν ἰάσασθαι, παντὸς τοῦ Κόσμου πανάχραντε, οἰκείῳ ἐν αἵματι, τὸ σφαγὲν ὑπὲρ ἡμῶν, καὶ ζωῶσαν τὰ σύμπαντα· σύ με ἔνδυσον, γυμνωθέντα τῆς θείας ἀφθαρσίας, ἐξ ἐρίου τοῦ σοῦ τόκου, περιβολὴν θείας χάριτος.

Εἰς τὸν π. π. τῆς Ὀκτω…

Δόξα. Ἦχος Πλ.

Πιστῶς πανηγυρίζομεν, τὴν πάνσεπτον ἡμέραν τῆς σῆς μνήμης, Ἰάκωβε ἔνδοξε, οὐχ ὡς Ἀλφαίου Υἱὸν, ἀλλ'



Digitized by Google

ὡς τοῦ Χριστοῦ Ἀπόστολον, καὶ κήρυκα τῆς αὐτοῦ ἀρρήτου σαρκώσεως. ὅθεν τῷ δεσποτικῷ θρόνῳ, σὺν Ἀσωμάτοις ἀεὶ παριστάμενος, Ἀποστόλων καὶ Μαρτύρων χοροῖς, ἐκτενῶς ἱκέτευε, τοῦ σωθῆναι ἡμᾶς, τῷ Σωτῆρι καὶ Θεῷ ἡμῶν.

Καὶ νῦν. Θτ. Χαίροις ἀσκητικῶν.

Ρῦσαι ἀπὸ ῥομφαίας ἐχθρῶν, νῦν τὴν ψυχήν μου Θεομῆτορ πανάμωμε. ἐν σοὶ γάρ, καὶ ἐν τῷ τόκῳ, τῷ σῷ Παρθένε Ἁγνή, πᾶσα κατηργήθη τοῦ ἀλάστορος, ἰσχὺς καὶ ἠφανίσθαι, τὰ δαιμόνων στρατεύματα. καὶ σωτηρία, καὶ τῶν πόνων ἀνάπαυσις, τοῖς πιστεύουσι, τῷ σῷ τόκῳ γεγένηται. ὅθεν κἀγὼ κραυγάζω σοι, πολέμησον Δέσποινα, τοὺς πολεμοῦντας ἀεὶ με, καὶ δίκην τούτους ἀπαίτησον, τῆς πρὶν ἐπηρείας, δι᾽ ἧς πάσης σοι κακίας, πρόξενοι ὤφθησαν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Βλέπουσα ἡ ἀμνὰς τὸν Ἀμνόν, Θεοῦ τὸν αἴροντα τοῦ Κόσμου τὰ πταίσματα, ἐν ξύλῳ ἀνηρτημένον, καὶ πεπληγμένον πλευράν, θρηνῳδοῦσα ταῦτα, ἀπεφθέγγετο· Υἱὲ πῶς ὑπέστης, θανατωθῆναι ὡς ἄνθρωπος, Θεὸς ὑπάρχων, καὶ Δεσπότης τῆς Κτίσεως, εἰ καὶ φαίνεσαι, σαρκοφόρος θελήματι; τίνος χάριν ἐτάχυνας, τὸν δρόμον ποιήσασθαι, καὶ ἐγκατέλιπες μόνην, τέκνον ἐμὸν τὴν τεκοῦσάν σε, ἀγνῶς εὐεργέτα; λόγον δός μοι, μὴ βραδύνῃς, ὁ μέγα ἔλεος.

Ἀπολυτίκιον. Ἀπόστολε Ἅγιε.

Τοῦ Ὁσίου. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. Κανὼν τῆς Ὀκτωήχου εἷς, καὶ τῶν Ἁγίων δύω. Ὁ Κανὼν τοῦ Ἀποστόλου. Οὗ ἡ ἀκροστιχίς.

Χριστοῦ μαθητὴν Υἱὸν Ἀλφαίου σέβω.

Θεοφάνους. Ὠδὴ α'. Ἦχος Πλ. β'.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Χεῖρά μοι δίδου θεόπτα καὶ μαθητά, τοῦ Χριστοῦ Ἰάκωβε, τὴν σεπτήν σου ἑορτήν, εὐφημεῖν ὁρμήσαντι. καὶ φῶς, τῇ καρδίᾳ μου ταῖς σαῖς, πρεσβείαις ἔλλαμψον.

Ῥείθροις ἐνθέου σοφίας περικλυσθείς, ποταμὸς ἐξώρμησας, Παραδείσου τῆς τρυφῆς, καὶ τῆς γῆς τὸ πρόσωπον ῥοαῖς, δυσσεβείας ἀληθῶς, σοφὲ κατήρδευσας.

Ἱερωτάτῃ χορείᾳ τῶν Μαθητῶν, τοῦ Χριστοῦ Ἰάκωβε, συνετάγης συμπληρῶν, ἀριθμὸν τῶν δώδεκα· μεθ᾽ ὧν, τῷ Δεσπότῃ παρεστώς, ἡμῶν μνημόνευε.

Θεοτοκίον.

Σὲ ἡ Παναγία Παρθένε τὸν Οὐρανόν, ὁ τανύσας Κύριος, καὶ τὴν γῆν θεμελιῶν, Οὐρανὸν ἐπίγειον ἐκ σοῦ, προελθὼν, μετὰ σαρκὸς, ἡμῖν ἀνέδειξε.

Ἕτερος Κανὼν τοῦ Ὁσίου, ἔχων ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις, Δημητρίου.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Προκαθαρθεὶς σου τὴν ψυχὴν Ἀνδρόνικε, ταῖς γενναίαις ἀρεταῖς, καὶ θείου πόθου, πυρωθεὶς τοῖς ἄνθραξι, τοὺς τῆς σαρκὸς ἐξέκλινας, πυρακτώσεις. τὴν δρόσον, τὴν θείαν εἶχες γὰρ ἄνωθεν, σὲ καταδροσίζουσαν πάντοτε.

Μὴ τοῦ Δεσπότου προσταγῇ πειθόμενος, ὡς Πατριάρχης ποτέ, ὁ Ἀβραὰμ Πάτερ, τὴν σὴν γῆν κατέλιπες, καὶ συγγενῶν ηὐλόγησας, γυναικός τε καὶ πλούτου, μακρὰν ἐγένου καὶ ἔρημον, μάκαρ καταμόνας κατῴκησας.

Τὴν τοῦ Κυρίου ἐντολὴν πεπλήρωκας, πάντα πωλήσας τὰ σά, καὶ τοῖς πτωχοῖς νείμας, δι᾽ αὐτῶν τὴν ὤνησιν, τοῦ μαργαρίτου εὕρηκας, τοῦ τιμίου καὶ τοῦτον, λαβὼν ἐπλούτησας ἄφθονον, πλοῦτον τὴν τῶν μύρων ἀνάβλυσιν.

Θεοτοκίον.

Δημιουργεῖται βουληθεὶς ἐν μήτρᾳ σου, ὁ τοῦ Ἀδὰμ πλαστουργός, καὶ ὁ δρακὶ φέρων, Θεοτόκε σύμπαντα, ταῖς σαῖς ἀγκάλαις φέρεται. ὢ φρικτοῦ μυστηρίου. καὶ νήπιος ἀναδέδεικται, πάντων τῶν αἰώνων ὁ Κύριος.

Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Τοῦ θείου Πνεύματος σαφῶς, δεδεγμένος τὴν χάριν, τοῖς ἐν σκότει ὡς ὄρθρος, ἀνεδείχθης πρωϊνός, Ἡλίου τοῦ

μον-.

Digitized by Google

μοντοῦ, καταγγέλλων, πᾶσι τὴν ἐμφάνειαν.

Ὅπως σὺ ἔσῃ προφανῶς, ἐν ἀθυμίᾳ μάκαρ, πρὸς τὸν Βασιλέα, τὸν ἀθάνατε καὶ χρηστὸν, χορεύων περιχαρῶς, καὶ βαδίζων, τρίβον τὴν Οὐράνιον.

Υἱὸν τὸν ἄναρχον Θεοῦ, τὸν τὰ πάντα ποιοῦντα, Θεϊκῇ ἐξουσίᾳ, ἀπλανῆ μυσταγωγὸν, τὴν γνῶσιν τὴν ἀληθῆ, σὲ μυοῦντα, ἔσχηκας Ἰάκωβε. Θεοτοκίον.

Μαρία πάντων ἡ ἐλπὶς, τῶν εἰς σὲ πεποιθότων, ἡ τεκοῦσα τὸν Λόγον, σαρκωθέντα δι' ἡμᾶς, ποικίλων με πειρασμῶν, καὶ κινδύνων, Πάναγνε διάσωσον.

Ἄλλος. Ὁ στερεώσας κατ' ἀρχάς.

Ἐξωστρακίσθη τῆς Ἐδὲμ, τῇ συμβουλῇ τῇ τῆς Εὔας, ὁ Ἀδάμ. σὺ δὲ πεισθεὶς συμβουλίᾳ, τῆς Συζύγου σου σοφὲ, τοῦ Παραδείσου γέγονας, ἔνδον ὅσιε ταύτῃ χαίρων, πάντοτε μάκαρ Ἀνδρόνικε.

Ὁ κεκρυμμένος καὶ σοφῶς, οἰκονομῶν πάντα Λόγος, καὶ βροτοὺς πρὸς σωτηρίαν ἰθύνων, ἀπὸ γῆς πρὸς Οὐρανὸν, τοὺς ποθεινοὺς μεθίστησι, Παῖδας ὑμῶν τοὺς δύο, τρίβον ἀληθείας δεικνὺς ἡμῖν.

Τῆς ἐπικήρου καὶ φθαρτῆς, ἠλογηκότες ἀγάπης. τοῖς ἐν γῇ καταλειπόντες δὲ ταύτην. συνεδέθητε στοργῇ πραγματικῇ μακάριοι. ὅθεν καὶ νῦν οἰκεῖτε, ἔνθα δικαίων σκηνώματα. Θεοτοκίον.

Ἡ ἀσυγκρίτως Χερουβὶμ, καὶ Σεραφὶμ ὑπερτέρα, ἡ Θεὸν ἀνερμηνεύτως τεκοῦσα, καὶ τὴν βρότειον ἀρὰν, εἰς εὐλογίαν τρέψασα, ὕμνοις ἀεὶ τιμάσθω, αὕτη γὰρ ἡμῶν προΐσταται.

Ὁ Εἱρμός.

» Ὁ στερεώσας κατ' ἀρχὰς, τοὺς Οὐρανοὺς ἐν συνέσει, καὶ τὴν γῆν ἐπὶ ὑ-
» δάτων ἑδράσας' ἐν τῇ πέτρᾳ με Χριστὲ,
» τῆς Ἐκκλησίας στήριξον, ὅτι οὐκ ἔστι
» πλὴν σοῦ, Ἅγιος μόνε φιλάνθρωπε.

κα. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ Λόγον.

Τὴν σοφίαν τὴν ὄντως παιδαγωγὸν, ἐσχηκὼς σε μυῆσαι τὰ ὑπὲρ νοῦν, σοφίαν ἐμώρανας, τῶν Ἑλλήνων θεόπνευστε. καὶ ἐθνῶν ἐγένου, φωστὴρ καὶ Διδάσκαλος, ἀσεβείας λόγοις, ῥυθμίζων τοὺς ἄφρονας. ὅθεν οἱ ῥυσθέντες, διὰ σοῦ τῆς ἀπάτης, ἀξίως ὑμνοῦμέν σε, καὶ πιστῶς μακαρίζομεν, Θεηγόρε Ἰάκωβε. πρέσβευε Χριστῷ τῷ Θεῷ.

Δόξα. Τοῦ Ὁσίου. Ὅμοιον.

Τὸν ζυγὸν τοῦ Κυρίου τὸν ἐλαφρὸν, ὁλοψύχως ἐπ' ὤμων ἀναλαβὼν, αὐτῷ ἠκολούθησας, Θεοφόρε Ἀνδρόνικε, καὶ κοσμικοὺς θορύβους, καλῶς βδελυξάμενος. ἐν ταῖς ἐρήμοις Μάκαρ, προθύμως ἐξέδραμες. ἔνθα καὶ τὸν δρόμον, τῆς ἀσκήσεως Πάτερ, ἀμέμπτως διήνυσας, τῷ Θεῷ συγγινόμενος. διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὡς παμάμωμος νύμφη τοῦ ποιητοῦ, ὡς ἀπειρόνυμφος Μήτηρ τοῦ Λυτρωτοῦ, δοχεῖον ὡς ὑπάρχουσα, τοῦ Παρακλήτου πανάμωμε· ἀνομίας με ὄντα, αἰσχρὸν καταγώγιον, καὶ δαιμόνων παίγνιον, ἐν γνώσει γενόμενον· σπεῦσον καὶ τῆς τούτων, κακουργίας με ῥῦσαι, λαμπρὸν οἰκητήριον, δι' ἀρετῆς ἀπαρτίσασα. φωτοδόχε ἀκήρατε, δίωξον τὸ νέφος τῶν παθῶν, καὶ τῆς ἄνω μεθέξεως ἀξίωσον, καὶ φωτὸς ἀμεσιτεύτου πρεσβείαις σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἀμνὸν καὶ ποιμένα καὶ λυτρωτὴν, ἡ ἀμνὰς θεωροῦσα ἐν τῷ σταυρῷ, ἠλάλαζε δακρύουσα, καὶ πικρῶς ἀνεβόα· ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν σταύρωσιν· ἣν περ ὑπομένεις, διὰ σπλάγχνα ἐλέους, μακρόθυμε Κύριε, τοῦ ἐλέους ἡ ἄβυσσος, καὶ πηγὴ ἀνεξάντλητος. σπλαγχνίσθητι καὶ δώρησαι, τῶν πταισμάτων ἄφεσιν τοῖς πίστει σου, ἀνυμνοῦσι τὰ θεῖα παθήματα.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Αὐτός σε Κύριος, ὁ μόνος ἅγιος, τῇ σεπτῇ ὁμηγύρει τῶν Μαθητῶν, μάκαρ



Digitized by Google

συνηείθμησε, τὴν ἁγνὴν σου καὶ λαμπρὰν, πολιτείαν προορώμενος.

Θαυμάτων ἔμπλεως, τοῦ θείου Πνεύματος, γεγονὼς θεοκήρυξ τερατουργεῖς. νόσους ἐφυγάδευσας, καὶ πονηρίας πνευμάτων, τοὺς ἀνθρώπους ἠλευθέρωσας.

Ἡ θεία ἔλλαμψις, ἐπιφοιτήσασα, τῇ καρδίᾳ σου μάκαρ θεαλαμπῆ, ταύτην ἀπειργάσατο, καὶ δεκτικὴν τῶν ὑπὲρ νοῦν, χαρισμάτων κατεσκεύασε.

Θεοτοκίον.

Τῷ θείῳ τόκῳ σου, Παρθένε πάναγνε, τῶν Ἀγγέλων αἱ τάξεις καὶ τῶν βροτῶν, ἥνωνται συστήματα. τὸν εἰρηνάρχην γὰρ Χριστὸν, καὶ Σωτῆρα πάντων τέτοκας.

Ἄλλος. Εἰσακήκοα Κύριε.

Οἱ ἱδρῶτες τῶν πόνων σου, οἱ ἐκ τῆς σαρκός σου ἐναποστάξαντε, ἱερώτατε Ἀνδρόνικε, εἰς ὀσμὴν τοῦ μύρου μετημείφθησαν.

Ὥσπερ φοῖνιξ ὑψίκομος, σὺ ἐν ταῖς ἐρήμοις Πάτερ ἠξιώθησας, καὶ Θεῷ ἐκαρποφόρησας, γλυκυτάτους πόνους τῶν καμάτων σου.

Τῶν δακρύων τοῖς χεύμασι, τὴν τῆς ἐρημίας γῆν κατεδρόσισας. καρποφόρον δὲ ἀπέδειξας, τὴν ψυχήν σου πόνοις τῆς ἀσκήσεως.

Θεοτοκίον.

Μὴ κενώσας ὁ Κύριος, κόλπους τοὺς Πατρῴους τὴν σὴν κατῴκησε, Μήτραν Κόρη τὴν παναμώμητον, καὶ τὸν κόσμον ὅλον ἀνεκαίνισεν.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου.

Ἡλίῳ μάκαρ τῷ νοητῷ, συνοικος τελῶν μαρμαρυγὰς, σὺ τὰς ἐκεῖθεν δεχόμενος, ὅπερ κατ᾽ οὐσίαν πρῶτος ἐκεῖνος ἐστὶ, δεύτερος κατὰ χάριν γέγονας ἔνδοξε.

Νοῦν καθαρώτατον ἐσχηκὼς, καὶ διαφανῆ εἰλικρινῆ, σὺ τὴν καρδίαν κτησάμενος, τὸν σεσαρκωμένον Θεὸν ἑώρακας, τὸν ἀκατάληψίᾳ καταμονούμενον.

Ὑποχωρεῖ σοι τῷ μαθητῇ, πᾶσα προφητεία, καὶ πᾶσα νομοθεσία παμόλβιε. τὸν γὰρ ταύταις πάλαι προχαραττόμενον, αὐτόπτως ἠξιώθης μάκαρ θεάσασθαι.

Θεοτοκίον.

Σὺ Παρθένε προφητικῶς, ἔσχες ἐν γαστρί σου, τὸν ἐπὶ πάντων Δεσπότην καὶ Κύριον. ὃν ἀφράστῳ τρόπῳ σεμνὴ γεγέννηκας, Παρθένος μετὰ τόκον ἄφθορος μείνασα.

Ἄλλος. Ὀρθρίζοντες βοῶμέν σοι.

Ὑμνήσωμεν Ἀνδρόνικον ᾄσμασι, πάντες πιστοὶ, καὶ τὴν τούτου σύνοικον, Ἀθανασίαν δοξάσωμεν.

Οὐδ᾽ ὅλως ὥσπερ γέγραπται δέδωκας, σοῖς ὀφθαλμοῖς, ὕπνον οὐδὲ νύσταν, τοῖς σοῖς κροτάφοις Ἀνδρόνικε.

Ἐδόξασε τοῖς μύροις σε Κύριος, μάκαρ τοὺς σοὺς, πόνους προσδεξάμενος, ὡς θῦμα ὄντως εὐπρόσδεκτον.

Θεοτοκίον.

Τὸν ἕνα τῆς Τριάδος ἐκύησας, Κόρη φρικτῶς, καὶ γάλακτι ἔθρεψας, βροτῶν τὴν φύσιν τὸν τρέφοντα.

Ὠδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Οἱ πόδες ὡραῖοί σου, τὴν εἰρήνην ἀπλανῶς, ὡς εὐαγγελιζόμενοι, τὴν εἰρήνην τὴν ὄντως ὑπερφυῆ, καὶ νοῦν ὑπερέχουσαν, Μαθητὰ τοῦ Κυρίου πανσεβάσμιε.

Νοεῖν τὸ μυστήριον, καὶ κηρύττειν τὸ φρικτὸν, τῆς τοῦ Θεοῦ σαρκώσεως, ἠξιώθης Ἰάκωβε πρωτουργοὺς, ἀκτῖνας δεξάμενος, παρ᾽ αὐτοῦ τοῦ ὑψίστου παμμακάριστε.

Ναὸς Θεοῦ ἔμψυχος, ἀνεδείχθης καὶ ναοὺς, τοὺς τῶν δαιμόνων ὤλεσας. καὶ ναοὺς ἐδομήσω τοὺς τοῦ Χριστοῦ, δυνάμει καὶ χάριτι, Ἀποστόλων τὸ θεῖον ἐγκαλλώπισμα.

Θεοτοκίον.

Ἡ πάντων δεσπόζουσα, τῶν κτισμάτων ὡς Θεὸν, τὸν ἀγαθὸν γεννήσασα, τῶν πταισμάτων μου πάναγνε τὰς ὕλας, εἰς τέλος ἐξάλειψον, εὐσπλαγχνίᾳ χρωμένη τοῦ τεχθέντος ἐκ σοῦ.

Ἄλλος. Χιτῶνά μοι παράσχου.

Τῆς φύσεως τὸ χαῦνον οὐδαμῶς, τὴν πρόθεσιν ἤμβλυνεν. ἣν περ ἐκέκτησο, πρὸς τῶν πόνων ὦ Ὁσία τὰ σκάμματα.

Ἀμεί-

Digitized by Google

Ἀμείψασα τὸ ἔνδυμα σαφῶς, τὴν φύσιν ἔλαθες. ὅθεν ἀνύποπτον, τὴν ὁδὸν τῆς σωτηρίας διήνυσας.

Ἐγνώρισας τὸν σύζυγον τὸν σόν, ὁδῷ πορευόμενον, ᾧ καὶ συνωδεύσασα, μηδαμῶς τι πρὸς αὐτὸν ὁμιλήσασα. Θεοτ.

Ῥημάτων Γαβριὴλ σοι τὴν φωνήν, Κόρη νῦν προσάγομεν· χαῖρε ὁ Κύριος, μετὰ σοῦ εὐλογημένη βοῶντές σοι.

Ὁ Εἱρμός.

„Χιτῶνά μοι παράσχου φωτεινόν, ὁ ἀναβαλλόμενος, φῶς ὡς ἱμάτιον, „πολυέλεε Χριστὲ ὁ Θεὸς ἡμῶν.

Κοντάκ. Ἦχος β΄. Τὴν ἐν πρεσβείαις.

Ὡς ἑωσφόρον ἐκλάμποντα πᾶσαν κτίσιν, τὸν τοῦ Χριστοῦ αὐτόπτην καὶ θεηγόρον, ὕμνοις Ἰάκωβον εὐφημήσωμεν, γεραίροντες τὴν τούτου πανήγυριν σήμερον. πρεσβεύει γὰρ ἀεὶ ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Τὸν Οὐρανόθεν τοῦ Λόγου μυηθέντα τὴν γνῶσιν, καὶ τρανῶς τοῖς ἐν γῇ τὸ Εὐαγγέλιον κηρύξαντα, Ἰάκωβον τὸν μέγαν προηρημένος, τοῦ Ἀλφαίου τὸν γόνον ἀνευφημῆσαι, σὲ δυσωπῶ καταπέμψαι μοι χάριν, Χριστὲ Ἰησοῦ, ὁ πλήσας Πνεύματος Θείου τὸν σοφὸν Μαθητήν σου, καὶ κήρυκα τοῦτον πᾶσι τοῖς πέρασι δωρησάμενος, καὶ πρέσβυν πρὸς σὲ εὐπρόσδεκτον. Πρεσβεύει γὰρ ἀεὶ ὑπὲρ πάντων ἡμῶν.

Τῷ αὐτῷ Μηνὶ Θ΄. Τοῦ Ἁγίου Ἀποστόλου Ἰακώβου τοῦ Ἀλφαίου.

Στίχ. Τὸν Σταυρὸν Ἰάκωβος φέρων ἡδέως,
Ὡς ἔστι Σῶτερ ἄξιός σου δεικνύει.
Ἀμφ᾽ ἐνάτῃ Ἰακὼβ ἐνὶ σταυρῷ τετάνυστο.

Οὗτος ἦν ἀδελφὸς Ματθαίου τοῦ Τελώνου καὶ Εὐαγγελιστοῦ, οὗτος ὁ Ἀπόστολος ἐξελθὼν εἰς τὸ κήρυγμα, πάντα τὰ τῶν εἰδώλων τεμένη ζήλῳ θείῳ πυρποληθεὶς κατέστρεψε, νόσους ἀπελάσας καὶ πονηρίας πνεύματα. διὸ καὶ ἡ πληθὺς τῶν ἐθνῶν σπέρμα θεῖον αὐτὸν ὠνόμασε. διαδραμὼν οὖν τὴν σύμπασαν ὡς ἐραστὴς τοῦ Χριστοῦ, οὗ καὶ τὸ πάθος, καὶ τὸν θάνατον ἐζήλωσε, Σταυρῷ προσπήγνυται, καὶ τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀνδρονίκου, καὶ Ἀθανασίας τῆς Συμβίου αὐτοῦ.

Στ. Σύσκηνον Ἀνδρόνικος Ἀθανασίαν.
Κόσμῳ τ᾽ ἐν ἀσκήσει τε κἂν Πόλῳ ἔχει.

Οὗτος ὁ Ὅσιος Ἀνδρόνικος, ἦν ἐξ Ἀντιοχείας τῆς μεγάλης, ἀργυροπράτης τὸ ἐπιτήδευμα, εὐλαβὴς πάνυ, καὶ πλήρης ἀγαθῶν ἔργων, καὶ πλούσιος. ἔγημε δὲ γυναῖκα τὴν Ἀθανασίαν, σεμνὴν καὶ θεοφιλῆ καὶ αὐτὴν οὖσαν. μεθ᾽ ἧς ἐπ᾽ ἀγαθῷ συμφωνήσας, εἰς τρία διεῖλον ἀεὶ τὸν βίον αὐτῶν. καὶ τὸ μὲν ἓν μέρος, τοῖς πτωχοῖς ἀφθόνως παρεῖχον. τὸ δὲ ἕτερον, δάνειον παρεῖχον ἀμισθὶ τοῖς χρείαν ἔχουσι. τὴν δὲ τρίτην μερίδα, λόγῳ τοῦ ἀργυροπρατείου, καὶ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ᾠκονόμουν. ἔτεκον δὲ δύω Παῖδας, ἄρρεν, καὶ θῆλυ. τεχθέντων δὲ αὐτοῖς τούτων τῶν δύω Παίδων, οὐκ ἔτι προσέθεντο προσεγγίσαι ἀλλήλοις, ἀλλ᾽ ἦσαν ἀμφότεροι ἐν σωφροσύνῃ καὶ προσευχαῖς, καὶ ταῖς τῶν πτωχῶν καὶ νοσούντων εὐποιίαις ἐνδελεχῶς σπουδάζοντες. μετὰ δὲ δώδεκα ἔτη τῆς αὐτῶν συνοικήσεως, ὄντων τῶν τέκνων αὐτῶν ἐν ἐκείνῃ τῇ ἡλικίᾳ, ᾗ ἀγάλλειν τοὺς γονεῖς εἶχον, ἐν μιᾷ τῶν ἡμερῶν τεθνήκασιν ἀμφότερα. ὁ δὲ μακάριος Ἀνδρόνικος, οὐδὲν ἀγενὲς ἐπὶ τῷ συμβεβηκότι ἐνδειξάμενος, τὴν μακαρίαν μᾶλλον φωνὴν τοῦ Ἰὼβ ἐξεβόησεν· αὐτὸς γυμνὸς ἐξῆλθον, καὶ τὰ ἑξῆς. ἡ δὲ τούτου σύμβιος Ἀθανασία ἀπαραμύθητον εἶχε τὴν λύπην. ὅθεν καὶ ταφέντων τῶν Παιδίων ἐν τῷ Μαρτυρείῳ τοῦ Ἁγίου Ἰουλιανοῦ, οὐκ ἠθέλησεν ἐκεῖθεν ἐξελθεῖν, λέγουσα, συναποθανοῦμαι καὶ αὐτή, καὶ συνταφήσομαι τοῖς τέκνοις μου. λαβόντος οὖν τοῦ Πατριάρχου τὸν μακάριον Ἀνδρόνικον ἐν τῷ Πατριαρχείῳ, χάριν παραμυθίας, ἡ γυνὴ οὐκ ἠνείχετο τοῦ Μαρτυρείου ἐξελθεῖν, ἀλλ᾽ ἔμεινεν ἐκεῖ γοερῶς κοπτομένη. μεσούσης δὲ τῆς νυκτός, ὤφθη αὐτῇ ὁ μάρ-

Digitized by Google

τυς Ἰουλιανός, ἐν σχήματι Μοναχοῦ, λέγων αὐτῇ· τί ἔχεις ὦ γύναι; τί οὐκ ἐᾷς ἠρεμεῖν τοὺς ὧδε; ἡ δὲ ἀποκριθεῖσα, ἔφη· μὴ βαρυνθῇς Κύριέ μου κατὰ τῆς δούλης σου, ἐπεὶ σφοδρὸν πόνον κέκτημαι. δύο γὰρ μόνα τέκνα ἔχουσα, σήμερον ἀμφότερα ἐξεκόμισα. ὁ δὲ λέγει αὐτῇ· μὴ κλαῖε περὶ αὐτῶν. λέγω γάρ σοι γύναι, ὅτι ὃν τρόπον ἀπαιτεῖ ἡ φύσις τοῦ ἀνθρώπου τὴν βρῶσιν, καὶ ἀδύνατον μὴ δοῦναι ἑαυτῷ φαγεῖν· οὕτω καὶ τὰ νήπια ἀπαιτοῦσι τὸν Θεὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὰ μέλλοντα ἀγαθά, λέγοντα· δικαιοκρῖτα, ἀντὶ τῶν ἐπιγείων ὧν ἐστερήθημεν, μὴ στερήσῃς ἡμᾶς τῶν ἐπουρανίων. ἡ δέ, ἀκούσασα, κατενύγη, καὶ μετέβαλε τὸ πένθος εἰς χαράν, λέγουσα· ἄρα ζῶσι τὰ τέκνα μου ἐν Οὐρανοῖς, τί κλαίω; καὶ στραφεῖσα, ἐζήτει τὸν λαλήσαντα αὐτῇ Ἀββᾶν· καὶ περιελθοῦσα ὅλον τὸν Ναόν, οὐχ εὗρε. καὶ λέγει τῷ θυρωρῷ, ποῦ ἐστιν ὁ Ἀββᾶς, ὁ εἰσελθὼν ἐνταῦθα ἄρτι; λέγει αὐτῇ ὁ θυρωρός. ὁρᾷς πάσας τὰς θύρας ἠσφαλισμένας, καὶ λέγεις, ποῦ ἐστιν ἄρτι; ἔγνω δὲ ὁ θυρωρός, ὅτι ὀπτασίαν ἑώρακεν. ἡ δὲ φόβῳ συγχυθεῖσα, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτῆς, καὶ διηγήσατο τῷ Ἀνδρὶ αὐτῆς ἃ εἶδε, καὶ ᾐτήσατο βαλεῖν αὐτὴν εἰς Μοναστήριον. οἱ δὲ (καὶ γὰρ καὶ αὐτὸς ἦν τοῦτο ποθῶν) ἀσμένως τὸν λόγον δεξάμενος, δέδωκε τὸ πλεῖστον μέρος τῆς οὐσίας αὐτοῦ τοῖς πτωχοῖς, καὶ τοὺς ὠνητοὺς τῶν δούλων ἠλευθέρωσε, τὰ δὲ λοιπὰ τῶν ὑπαρχόντων αὐτοῦ ἀνέθετο τῷ πενθερῷ αὐτοῦ, παραγγείλας αὐτῷ, ποιῆσαι νοσοκομεῖα καὶ ξενοδοχεῖα Μοναχῶν. αὐτὸς δὲ μικρὰ ἐφόδια λαβών, ἐξῆλθε νυκτὸς ἐκ τῆς Πόλεως, αὐτός, καὶ ἡ γυνὴ αὐτοῦ μόνοι. ἡ δὲ μακαρία Ἀθανασία, μακρόθεν ἰδοῦσα τὸν οἶκον αὐτῆς, ἀναβλέψασα εἰς τὸν Οὐρανὸν εἶπεν· ὁ Θεός, ὁ εἰπὼν τῷ Ἀβραὰμ καὶ τῇ Σάρρᾳ· Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω, αὐτὸς τανῦν ὁδήγησον ἡμᾶς εἰς τὸν φόβον σου. ἰδοὺ γὰρ κατελείψαμεν τὸν οἶκον ἡμῶν ἀνεῳγμένον διὰ τὸ ὄνομά σου, μὴ κλείσῃς ἡμῖν τὴν θύραν τῆς Βασιλείας σου. καὶ κλαύσαντες ἀμφότεροι, ἀπῆλθον. καὶ φθάσαντες εἰς τοὺς Ἁγίους τόπους, προσεκύνησαν, καὶ συνέτυχον πολλοῖς πατράσιν. ὑποστρέψαντες δὲ ἐκεῖθεν, ἐπορεύθησαν ἀμφότεροι εἰς τὸν Ἀββᾶν Δανιήλ. καὶ αἰτησαμένων αὐτῶν ἀναθῆναι τὴν Ἀθανασίαν ἐν Μοναστηρίῳ, ἀπέστειλεν αὐτὴν εἰς τὴν Μονὴν τῶν Ταβεννησιωτῶν. ὁ δὲ Ἀνδρόνικος δεξάμενος τὸ ἀγγελικὸν σχῆμα παρὰ τοῦ γέροντος, ἔμεινε παρ' αὐτῷ ἔτη ιβ'. διελθόντων δὲ τῶν δώδεκα ἐτῶν, παρεκάλεσε τὸν Ἀββᾶν Δανιήλ, συγχωρῆσαι ἀπελθεῖν αὖθις εἰς προσκύνησιν τῶν ἁγίων τόπων. ὁ δὲ ποιήσας εὐχήν, ἀπέλυσεν αὐτόν. ὁδεύων δὲ ὁ Ὅσιος Ἀνδρόνικος κατὰ τὴν Αἴγυπτον, ἐκάθισεν ὑποκάτω φυτοῦ, ἵνα ἀναψύξῃ ἀπὸ τοῦ καύματος. καὶ ἰδοὺ κατ' οἰκονομίαν Θεοῦ καὶ ἡ γυνὴ αὐτοῦ, ἀπερχομένη καὶ αὐτὴ εἰς τοὺς ἁγίους τόπους ἐν ἀνδρικῷ σχήματι, συνήντησε τῷ ὁμοζύγῳ αὐτῆς Ἀνδρονίκῳ. καὶ ἀσπασαμένων ἀλλήλους, ἐκείνη μὲν ἀνεγνώρισεν αὐτόν, ἐκεῖνος δὲ οὐκ ἐγνώρισεν αὐτήν, διὰ τὸ μαρανθῆναι τὸ κάλλος αὐτῆς ὑπὸ τῆς ἄγαν ἀσκήσεως, καὶ ὡς Αἰθίοπα αὐτὴν φαίνεσθαι. λέγει οὖν αὐτῷ ἐκείνη. ποῦ ἀπέρχῃ Κύριε Ἀββᾶ; λέγει αὐτῇ, εἰς τοὺς ἁγίους τόπους. λέγει αὐτῷ· ἐκεῖ βούλομαι κἀγὼ ἀπελθεῖν. λέγει οὖν αὐτῷ, θέλεις ὁδεῦσαι ἡμᾶς ἀμφοτέρους ὁμοῦ; λέγει αὐτῷ, ὡς κελεύεις, πλὴν ὡς μὴ ὄντος μου, οὕτως ὁδεύσωμεν σιωπῶντες. ὁ δὲ Ἀνδρόνικος ἔφη, ὡς κελεύεις. λέγει αὐτῷ. ὄντως οὐκ εἶ μαθητὴς τοῦ Ἀββᾶ Δανιήλ; λέγει αὐτῇ, ναί. καὶ λέγει αὐτῷ· οὐκ Ἀνδρόνικος ὀνομάζῃ; λέγει αὐτῷ, ναί. ἡ δὲ εἶπεν αὐτῷ· αἱ εὐχαὶ τοῦ γέροντος συνοδεύσωσιν ἡμῖν. λέγει ὁ Ἀνδρόνικος, ἀμήν. καὶ συνώδευσαν ἀμφότεροι. καὶ προσκυνήσαντες τοὺς ἁγίους τόπους, ὑπέστρεψαν σιωπῶντες ἐν Ἀλεξανδρείᾳ. καὶ λέγει ὁ Ἀββᾶς Ἀθανάσιος (οὕτω γὰρ μετωνομάσθη ἡ Ἀθανασία) τῷ Ἀνδρονίκῳ·

θέ-

Digitized by Google

θέλεις ἵνα μείνωμεν ὁμοῦ εἰς κελλίον; λέγει ὁ Ἀνδρόνικος· ὡς κελεύεις. ἀλλὰ θέλω πρῶτον ἀπελθεῖν, καὶ λαβεῖν τὴν εὐχὴν τοῦ γέροντος. λέγει αὐτῷ, ὕπαγε, καὶ μένω σε εἰς τὸ ὀκτωκαιδέκατον. καὶ ἐὰν ὑπομένῃς μεῖναι μετ᾽ ἐμοῦ σιωπηρῶς, ὡς φθάσαμεν, ἐλθέ· εἰ δὲ μή, οὐκ ἐλεύσῃ. ὁ δὲ ἀπελθὼν, ἀνήγγειλε τῷ γέροντι τὰ περὶ τοῦ πράγματος. ὁ δὲ γέρων, εἶπεν αὐτῷ· ὕπαγε, ἀγάπα τὴν σιωπήν, καὶ μεῖνον μετὰ τοῦ ἀδελφοῦ. Μοναχὸς γάρ ἐστιν ὡς δεῖ εἶναι. ἐπαναλύσαντος δὲ αὐτοῦ, ἔμειναν ὁμοῦ ὅ, τε Ἀθανάσιος, καὶ ἡ αὐτοῦ σύζυγος, ἄλλα ιβ΄. ἔτη, καὶ οὐκ ἐγνώσθη αὐτῷ, ὅτι ἡ γυνὴ αὐτοῦ ἐστι. πολλάκις οὖν ἤρχετο ὁ γέρων εἰς ἐπίσκεψιν αὐτῶν, διαλεγόμενος αὐτοῖς τὰ περὶ ὠφελείας. ἅπαξ οὖν ἀνελθόντος τοῦ γέροντος, καὶ συνταξαμένου αὐτοῖς, ἐν τῷ ὑποστρέφειν αὐτὸν, ἔδραμεν ὀπίσω αὐτοῦ ὁ Ἀββᾶς Ἀνδρόνικος, καὶ καταλαβὼν αὐτὸν, λέγει· ὁ Ἀββᾶς Ἀθανάσιος ὑπάγει πρὸς Κύριον. καὶ ἐπαναλύσας ὁ γέρων, εὗρεν αὐτὸν πυρετῷ συνεχόμενον. καὶ ἤρξατο κλαίειν ὁ Ἀββᾶς Ἀθανάσιος. λέγει αὐτῷ ὁ γέρων· ἀντὶ τοῦ χαρῆναί σε, ὅτι ἀπέρχῃ ἀπαντῆσαι Θεῷ, κλαίεις; ἡ δὲ ἔφη· οὐ κλαίω, εἰ μὴ διὰ τὸν Ἀββᾶν Ἀνδρόνικον, ἀλλὰ ποίησον ἀγάπην, καὶ μετὰ τὸ θάψαι με, εὑρήσεις πινάκιον κείμενον πρὸς κεφαλῆς μου, καὶ ἀνάγνωθι αὐτὸ, καὶ δὸς αὐτὸ τῷ Ἀββᾷ Ἀνδρονίκῳ. καὶ ποιησάντων εὐχὴν, ἐκοινώνησε, καὶ ἐκοιμήθη ἐν Κυρίῳ. ἦλθον δὲ κηδεῦσαι αὐτὸν, καὶ ἰδοὺ τῇ φύσει εὑρέθη γυνή. καὶ ἠκούσθη εἰς ὅλην τὴν Λαύραν. καὶ πέμψας ὁ γέρων, ἀνήνεγκεν ὅλην τὴν σκήτην, καὶ τοὺς εἰς τὴν ἐσωτέραν ἔρημον οἰκοῦντας Ἀδελφοὺς, καὶ ἀνῆλθον πᾶσαι αἱ λαῦραι Ἀλεξανδρείας, καὶ πᾶσα ἡ Πόλις συνῆλθε, καὶ οἱ σκητιῶται λευκοφοροῦντες. οὕτω γάρ ἐστιν ἔθος ἐν τῇ σκήτῃ. μετὰ κλάδων οὖν καὶ βαΐων, ἐξεκόμισαν τὸ τίμιον λείψανον Ἀθανασίας, δοξάζοντες τὸν Θεόν, τὸν τοσαύτην ὑπομονὴν παρασχόντα τῇ γυναικί. ἔμεινε δὲ ὁ γέρων, τὰ ἕβδομα τελέσαι τῆς μακαρίας Ἀθανασίας. καὶ μετὰ ταῦτα ἠθέλησε λαβεῖν μεθ᾽ ἑαυτοῦ τὸν Ἀββᾶν Ἀνδρόνικον. ὁ δὲ, οὐκ ἠνέχετο, λέγων· μετὰ τῆς κυρίας μου τελευτήσω. καὶ πάλιν συνταξαμένου τοῦ γέροντος, ἐν τῷ ὑποστρέφειν αὐτὸν, φθάνει αὐτὸν ἀδελφὸς λέγων· ὁ Ἀββᾶς Ἀνδρόνικος πυρετῷ συνέχεται. καὶ πάλιν ἔπεμψεν ὁ γέρων ἐν τῇ σκήτῃ, λέγων· δεῦτε ἀνέλθετε, ὅτι ὁ Ἀββᾶς Ἀνδρόνικος ἀκολουθεῖ τῷ ἀδελφῷ Ἀθανασίῳ. οἱ δὲ ἀνῆλθον, καὶ κατέλαβον αὐτὸν ζῶντα. καὶ εὐλογηθέντων αὐτῶν παρ᾽ αὐτοῦ, ἐκοιμήθη ἐν Κυρίῳ. ἐγένετο οὖν ἔνστασις μεταξὺ τῶν ὀκτὼ καὶ δεκάτου, καὶ τῶν σκητιωτῶν, περὶ τοῦ λειψάνου αὐτοῦ, πότερον τῶν μερῶν λήψεται αὐτό. μόλις οὖν κατέπαυσεν αὐτοὺς ὁ γέρων, ἐᾶσαι αὐτὸ ἐκεῖσε συνταφῆναι μετὰ τῆς συναγωνιστοῦ αὐτοῦ Ἀθανασίας. καὶ οὕτως ἐπαύσαντο τῆς φιλονεικίας ἀμφότεροι, δοξάζοντες τὸν ἐπὶ πάντων Θεόν. Ἀμήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Ποπλίας.

Στ. Ῥυσθεῖσα Κόσμου τῆς πλάνης ἡ Ποπλία,
Πόλου πρόσεισι φωλεοῖς ὡς στρουθίον.

Αὕτη κατὰ τοὺς καιροὺς Ἰουλιανοῦ τοῦ δυσσεβοῦς γενομένη, γάμου τὸ πρῶτον ἐπὶ μικρὸν κοινωνήσασα, καὶ καρπὸν ἄξιον τῷ Θεῷ προσενέγκασα τὸν Πρεσβύτερον Ἰωάννην, ὃς πολλάκις προέστη τῆς Ἐκκλησίας, καὶ ἀεὶ τὴν Ἡγεμονίαν δι᾽ ἄκραν ταπείνωσιν ἔφυγεν. ὕστερον δὲ διὰ τὴν ἐν Χριστῷ ἀναστροφὴν αὐτοῦ τὴν ἀγαθὴν, τῆς ἐν Ἀντιοχείᾳ Ἐκκλησίας, Διάκονος ἐχρημάτισε, καὶ χοροῦ ἱερῶν Παρθένων ἐξῆρχε. τοῦ γοῦν Ἰουλιανοῦ τότε τὴν Ἀντιοχέων ἐπιδημήσαντος, καὶ πολλὴν δεισιδαιμονίαν κεκτημένου, καὶ πάντας ἐκκαλουμένου τοῖς δαίμοσι σέβας προσενεγκεῖν, αὕτη ἡ τιμία γραῦς τοῦ παραβάτου Ἰουλιανοῦ παρόντος, ἀπήρξατο ψάλλειν γεγονώτερον σὺν ταῖς Παρθένοις, τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύ-

Digitized by Google

ρον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. διὰ ταῦτα ἑλκυσθεῖσα, κατὰ τῶν παρειῶν τύπτεται σφοδρῶς, ὥστε καὶ τὴν γῆν φοινιχθῆναι τῷ ταύτης αἵματι. ὁ δὲ θάνατος αὐτῆς, ἐν τῷ ὑποστρέφειν τὸν παραβάτην ἐταμιεύθη. αὕτη διαρκέσασα χρόνον, ἐν εἰρήνῃ τὸν βίον ἀπέλιπεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Πέτρου.

Στίχ. Εἰς ὕψος ἀρθεὶς ἀρετῶν θεῖος Πέτρος,
Τὸν χοῦν ἀπεκδὺς, ὕψος Οὐρανοῦ φθάνει.

Οὗτος ὁ μακάριος ἀνὴρ ἐπὶ τῆς Βασιλείας ἦν Θεοφίλου, ὁρμώμενος ἐκ τῆς τῶν Γαλατῶν ἐπαρχίας, Θεοφίλου καὶ Εὐδοκίας γέννημα, καὶ κάλλει καὶ μεγέθει, καὶ ῥώμῃ σώματος σεμνυνόμενος. ὃς δι' αὐτὸ τοῦτο, Κόμης ὑπὸ τοῦ Βασιλέως ζώννυται. διαπρέψας δὲ ἐν τῇ στρατείᾳ χρόνον οὐχὶ συχνὸν, πάντων καταφρονήσας, τὸν μονήρη βίον μετέρχεται. τὴν κόμην ἔν τινι Μοναστηρίῳ Δαφνεῶνι προσαγορευομένῳ κειράμενος, καὶ Πέτρος ἀντὶ Λέοντος ὀνομασθείς. ἔπειτα ἐν τῷ Ὀλύμπῳ γέγονεν. εἶτα τοὺς ἁγίους τόπους κατείληφεν. εἶθ' οὕτω τὴν Λαοδίκειαν καὶ τὴν Ἀττάλειαν. πάντα δὲ πόνον τὸν ἐκ τῆς ὁδοιπορίας, καὶ τῶν Ἰσμαηλιτῶν τὸν ἀπαίδευτον θυμὸν ὑπενεγκὼν, αὖθις κατὰ τὸν Ὄλυμπον γίνεται. ἐπεὶ δὲ τὸ τῆς πολιτείας αὐτοῦ καὶ ἀρετῆς ὕψος, τοῖς Βασιλεῦσι κατάδηλον γέγονε, πείθει αὐτὸν Βασίλειος ὁ Βασιλεὺς ἐν τῇ Μονῇ τοῦ Ἁγίου Φωκᾶ γενέσθαι. ἐν ᾗ πολλὰ κατὰ Θεὸν ἀγωνισάμενος, ἐν εἰρήνῃ τὸ πνεῦμα αὐτοῦ τῷ Θεῷ παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Δωροθέου Ἐπισκόπου Τύρου.

Δωρόθεος ὁ ἀοίδιμος, Ἐπίσκοπος γέγονε πόλεως Τύρου, πᾶσαν γραφικὴν ἐπιστάμενος ἱστορίαν. καὶ τὴν μὲν φυγὼν διὰ τὸν διωγμόν. μετὰ δὲ τὴν τελευτὴν Διοκλητιανοῦ, καὶ Λικινίου, καταλαβὼν πάλιν τὴν Τύρον, ἐποίμαινε τὴν Ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν, μέχρις Ἰουλιανοῦ τοῦ παραβάτου. καὶ ἐπεὶ οὐ φανερῶς, ἀλλὰ κρυπτῶς τὸ πρότερον διὰ τῶν ἀρχόντων αὐτοῦ ἐφόνευεν ἐν τῷ καιρῷ τῆς ἀσεβείας αὐτοῦ ὁ Ἰουλιανὸς τοὺς Χριστιανοὺς, ἀκούσας ὁ Ἅγιος Δωρόθεος, ἀνεχώρησεν ἐκ τῆς Τύρου, καὶ κατέλαβε τὴν χώραν τῆς Θράκης. ἀλλ' οὐδ' ἐκεῖ τοὺς εἰδωλολάτρας διέφυγε. κρατηθεὶς γὰρ παρὰ τῶν Ἰουλιανοῦ Ἀρχόντων, καὶ πολλὰς τιμωρίας ὑπομείνας, καὶ γέρων ὢν· ἑκατὸν γὰρ ἑπτὰ ἐτῶν ὑπῆρχεν. ἐν αὐταῖς ταῖς βασάνοις, διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, τὴν μακαρίαν ψυχὴν τῷ Θεῷ παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ δικαίου Ἀβραὰμ, καὶ τοῦ ἀνεψιοῦ αὐτοῦ Λώτ.

Στ. Τίς οἶκος ἐστὶν Ἀβραὰμ τεθνηκότος;
Οὐ κόλπος ἄλλος, οἶκος ὡς τῷ Λαζάρῳ.
Ὑπῆρξε Λὼτ Οὐρανὸς Σιγὼρ νέα.
Εἰς ὃν φθάσας πέφευγεν, ὡς πῦρ τὸν βίον.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις.

Ὠδὴ ζ'. Οἱ Παῖδες ἐν Βαβυλῶνι.

Ξύλῳ φωτοχυσίᾳ, πεπυρσευμένος Ἀπόστολε, τοὺς ἐν ζόφῳ δεινῷ, ἀγνωσίας κεκρατημένους ἐφώτισας· εὐλογητὸς εἶ κράζοντας, ὁ Θεός.

Λαμπάσι καὶ φρυκτωρίαις, λελαμπρυσμένον τοῦ Πνεύματος, τῶν ἐθνῶν ἡ πληθὺς, σπέρμα θεῖόν σε ὀνομάζει κραυγάζουσα· εὐλογητὸς εἶ Κύριε.

Φρονήσει κεκοσμημένος, Θεοδωρήτῳ κατέλυσας, τὴν τοῦ Κόσμου σοφίαν θεοφρόνως, κραυγάζων Ἰάκωβε· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν. Θεοτ.

Ἁγίων ἁγιωτέρα, Παρθενομῆτορ γεγέννηκας, συλλαβοῦσα Θεὸν, ὃν ὑμνοῦντες ἀπαύστως κραυγάζομεν· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Παῖδες Ἑβραίων.

Πάλαι καυχώμενον ἀμέτρως, τὸν ἀρχέκακον συλλήψεσθαι τὴν κτίσιν, ὡς στρουθίον οἰκτρὸν κατέρραξας δυνάμει, θωρακισθεὶς τοῦ Πνεύματος, καὶ Σταυροῦ τῇ πανοπλίᾳ.

Φέρων ἐπ' ὤμων τὸν σταυρόν σου, ἠκολούθησας Κυρίῳ ὁλοψύχως, καὶ τῆς δό-

Digitized by Google

δόξης αὐτοῦ τετύχηκας τῆς θείας, ὡς πληρωτὴς Ἀνδρόνικε, τῶν αὐτοῦ διαταγμάτων.

Λείκμυσα χάρις ἡ τῶν μύρων, τὴν πρὸς Κύριον σὴν Πάτερ παῤῥησίαν. τῶν ὑδάτων γὰρ, τὴν χύσιν ἐκμιμεῖται, εἰς σωτηρίαν πάντοτε, τῶν πιστῶν προχεομένη. Θεοτοκίον.

Ἵνα θεώσῃ μου τὴν φύσιν, ὁ παντέλειος ἀῤῥήτως νηπιάζει. καὶ ἐκ σοῦ τῆς Ἀγνῆς, προέρχεται ὁ λόγος, παραγαγὼν τὰ σύμπαντα, καὶ συνέχων καὶ κρατύνων.

Ὠδὴ η'. Νόμων Πατρῴων.

Ἱερομύστης, τὰ οὐράνια μεμυημένος μάκαρ ὄντως μυστήρια, διελήλυθας τὴν σύμπασαν, Οἰκουμένην κηρύττων μεγαλοφώνως, λόγον τὸν τῆς πίστεως Χριστοῦ. καὶ διδάσκων Ἀπόστολε, τὴν ἀπόῤῥητον χάριν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὄλβιος ἔφυς καὶ μακάριος, ἠξιωμένος πάσης μακαριότητος. ὡς συνόμιλος καὶ σύνοικος γεγονὼς τοῦ Δεσπότου, καὶ τὴν ἐσχάτην ὄντως εὐκληρίαν πλουτήσας, καὶ τῷ λόγῳ γηθόμενος ἀναμέλπων καὶ ψάλλων· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὑπὲρ τοῦ Κόσμου πρέσβυς ἄριστος, πρὸς τὸν Σωτῆρα στῆθι μάκαρ Ἰάκωβε. ἐξαιτούμενος τὴν ἄνωθεν, καὶ πλουσίαν εἰρήνην ταῖς Ἐκκλησίαις, καὶ τοῖς εὐφημοῦσί σε πιστῶς, τῶν πταισμάτων τὴν ἄφεσιν καὶ ψυχῶν σωτηρίαν, τὸν Κύριον ὑμνεῖτε βοῶσι, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Ἡ σωτηρίας πᾶσι πρόξενος, Θεογεννήτορ ὤφθης μόνη πανύμνητε, τὸν σωτήριον γεννήσασα, Θεοῦ Θεὸν Λόγον. δι' οὗ Κόσμος σέσωσται τῆς πάλαι κατάρας, καὶ τοῖς πίστει κραυγάζουσιν, εὐλογίαν πηγάζει· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Ταῖς τῶν δακρύων ἐπιῤῥοαῖς καταρδεύσας, τῆς ψυχῆς τὴν ἄρουραν ἐδρέψω, τὴν ἐκ τῶν θαυμάτων, ἀντίδοσιν πλουσίαν.

Τραυματισθεῖσαν μου τὴν ψυχὴν ἁμαρτίαις, προσβοῶ τῷ θείῳ σου φαρμάκῳ, ταύτην θεραπεύσαις, θεράπων τοῦ Κυρίου. Δόξα.

Τὴν ὑπεράρχιον οἱ πιστοὶ ἀνυμνοῦμεν, εὐσεβῶς Τριάδα παναγίαν, τὴν ἐκ τοῦ μὴ ὄντως, τὰ πάντα ἀγαγοῦσαν. Θεοτοκίον.

Ὁ Δανιὴλ σε προθεωρεῖ ὄρος Κόρη, ἀλαξεύτως ἐξ οὗ ἀπετμήθη, λίθος ὁ συντρίψας, βωμοὺς τοὺς τῶν εἰδώλων.

Ὁ Εἱρμός.

„Τὸν Βασιλέα τῶν Οὐρανῶν ὃν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγγέλων ὑμνοῦτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς „αἰῶνας.

Ὠδὴ θ'. Ἀπορεῖ πᾶσα γλῶσσα.

Ἔφανας Κόσμῳ, ὥσπερ ἀστραπὴ, διατρέχων τοὺς ἐν τῷ σκότει, πάλαι καὶ σκιᾷ τῆς ἀγνωσίας καθημένους, ἕλκων πρὸς τὸ φῶς τὸ ἄδυτον, τοῦ σαρκωθέντος μονογενοῦς Υἱοῦ, οὗ αὐτόπτης ἐγένου μάκαρ, καὶ δραστικὸς ὑπηρέτης, ὃν μεγαλύνομεν.

Ἠσαΐαν μάκαρ τὴν ἐξ Οὐρανοῦ φερομένην, πνοὴν ἐδέξω. γλῶσσάν τε πυρίπνοον πλουτήσας καταφλέγεις, δίκην ἀκανθῶν τὴν ἄθεον Κόσμου σοφίαν, φωτιστικαῖς αὐγαῖς τοῦ κηρύγματος Χριστοῦ, λάμπων καὶ τὴν ἀχλὺν, διαλύων θεομακάριστε.

Ὡραϊσμένος κάλλει ἀσυγκρίτῳ θεόφρων τῷ τοῦ Δεσπότου, καὶ πεποικιλμένος λαμπηδόνας ἐξαστράπτεις, καὶ περιχαρῶς Ἰάκωβε, περιπολεύεις περὶ τὸν θρόνον, ὄντως τοῦ κτίστου καὶ Θεοῦ, ἔνθα τῶν Ἀποστόλων, χορεῖαι μακαριώτατε. Θεοτοκίον.

Ὡς ἀπειράνδρως ἔσχες ἐν Γαστρί σου τὸν Λόγον, οὕτως ἀφθόρως τίκτεις, διαμένουσα Παρθένος Θεοτόκε, τὸν Ἐμμανουὴλ ὑπάρχοντα, τοῦτο κἀκεῖνο. καὶ γὰρ ὁμοῦ Θεὸς τε καὶ ἄνθρωπος ἐστί. τοῦτον διπλοῦν τῇ φύσει εἰδότες, σὲ μεγαλύνομεν.

Ἀλ-

Digitized by Google

Ἄλλος. Κυρίως Θεοτόκον.

Μετέσχες τῶν προσκαίρων, χαίρων πρὸς τὰ ἄνω, καὶ σὺν Πατράσιν Ἁγίοις σκηνώσας ἡμῶν, τῶν μεμνημένων σου Πάτερ, μέμνησο πάντοτε.

Ἐκβλύζεις τὴν τῶν μύρων, χάριν ἀκενώτως, καὶ τοῖς προστρέχουσι πᾶσι, παρέχεις πιστῶς, τῶν νοσημάτων τὴν λύσιν, Πάτερ Ἀνδρόνικε.

Προσδέχου μου τὸν ὕμνον, ὦ δυὰς Ὁσίων, καὶ ἀμοιβὴν μοι παράσχου, τὴν σὴν πρὸς Θεόν, ἱκετηρίαν πταισμάτων, ἐκλυτρουμένην με. Θεοτοκίον.

Ὑπέγραψε σὴν μήτραν, πάλαι τοὺς τρεῖς Παῖδας, μὴ καταφλέξασα κάμινος, κόρη Ἁγνή. καὶ γὰρ ἀφλέκτως ἐδέξω, πῦρ τῆς Θεότητος. Ὁ Εἱρμός.

„ Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν,
„ οἱ διὰ σοῦ σεσωσμένοι Παρθένε Ἁ-
„ γνή, σὺν ἀσωμάτοις χορείαις, σὲ Ἀ-
„ γαλλιῶντες.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Ὡς μύστης Ἀπόστολος, καὶ ὑπηρέτης ἄριστος, Χριστοῦ τοῦ μόνου Δεσπότου, Ἰάκωβε θεοκήρυξ. τοῦτον δυσώπει ἱκέτευε, τῷ Βασιλεῖ τὰ τρόπαια, καὶ ἱλασμὸν παράσχου με, ἁμαρτιῶν τοῖς τελοῦσι, τὴν πανσεβάσμιον σου μνήμην. Θτ.

Σὲ οἱ Προφῆται ἅπαντες, Παρθένε προηγόρευσαν, στάμνον καὶ ῥάβδον καὶ πλάκα, καὶ ἀλατόμητον ὄρος, καὶ κιβωτὸν καὶ τράπεζαν, λυχνίαν χρυσαυγίζουσαν. ἡμεῖς δὲ σὲ Θεοτόκον, ἀξίως ἀνευφημοῦμεν.

Εἰς τὴν Λειτουργίαν ἡ Ἀκολουθία πᾶσα τοῦ Ἀποστόλου. Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. Καὶ τὰ λοιπά.

---

## Τῷ αὐτῷ Μηνὶ Ι'.

Τῶν Ἁγίων Μαρτύρων Εὐλαμπίου, καὶ Εὐλαμπίας. καὶ ψάλλομεν ἐν Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Ἡλίου λαμπρότερον, λελαμπρυσμένη ἡ μνήμη σου, τοῖς πιστοῖς ἐξανέτειλε, τὴν Κτίσιν φωτίζουσα, θείαις φρυκτωρίαις, Εὐλάμπιε μάκαρ, καὶ παθημάτων τὴν ἀχλὺν, καὶ τῶν δαιμόνων νύκτα διώκουσα. διό σε μακαρίζομεν, καὶ ἐτησίως γεραίρομεν, ὡς φωστῆρα παγκόσμιον, πρεσβευτὴν ὡς θερμότατον.

Σιδήρῳ ξεόμενος, καὶ ταῖς λαμπάσι φλεγόμενος, καὶ εἱρκτῇ συγκλειόμενος· ξύλῳ αἰωρούμενος, καὶ θηρίοις βρῶμα, διδόμενος μάκαρ, ἀπαρασάλευτος τὸν νοῦν. διεφυλάχθης τῇ θείᾳ χάριτι, καὶ νίκης διαδήματι, κατεκοσμήθης Εὐλάμπιε. διὰ τοῦτο τὴν μνήμην σου, χαρμοσύνως γεραίρομεν.

Τὴν Εὔαν τὸν τρώσαντα, καὶ Παραδείσου ἐξώσαντα, πολυμήχανον ἔτρωσας, τρωθεῖσα τῷ ἔρωτι, τοῦ Παμβασιλέως, Χριστοῦ Εὐλαμπία, καὶ ὑπομείνασα στερρῶς, σώματος τρῶσιν καὶ πᾶσαν βάσανον. διὸ μεθέξει κρείττονι, θείας θεώσεως ἔτυχες, ὑπὲρ πάντων πρεσβεύουσα, τῶν πιστῶς εὐφημούντων σε.

Δόξα. Ἦχος δ'. Ἰωάννου Μοναχοῦ.

Ἡ φιλαδελφία, ἡ ὁμωνυμία συγκραθεῖσα, καὶ ἡ ἁγνεία, τῇ ἀπαθείᾳ συμμιχθεῖσα, ἀβλαβῶς διεφύλαξε, τῆς γνώμης τὸ εὔτονον. ὅπου γὰρ Θεὸς ὁ ποθούμενος, Κόσμος ὅλος καταπεφρόνηται. ὢ τοῦ θαύματος. ὁ ὄφις νενέκρωται, καὶ ὁ εἰς ὕψος ἀδικίαν λαλήσας, ὑποχθόνιος αὐταδέλφοις Μάρτυσι καταπέπτωκεν, Εὐλαμπίου τοῦ σοφοῦ, καὶ Εὐλαμπίας, τούτοις εὐστοχωτάτοις ᾄσμασι βοήσωμεν. οἱ καλῶς ἐν τῷ Χριστῷ τὸν δρόμον τελέσαντες, αἰτήσασθε τῷ Κόσμῳ τὴν εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν, τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκ. Ἔδωκας σημείωσιν.

Χαῖρε ἡλιόμορφε, Ἡλίου ἄδυτον ὄχημα. ἡ τὸν Ἥλιον λάμψασα, τὸν ἀπερινόητον. χαῖρε νὺξ ἀστραπτων, θείαις φρυκτωρίαις, ἡ λαμπηδὼν τῆς ἀστραπῆς, ἡ διαυγίζουσα γῆς τὰ πέρατα. ἡ ὄντως χρυσαυγίζουσα, ἡ παγκαλλὴς καὶ πανάμωμος, ἡ τὸ φῶς τὸ ἀνέσπερον, τοῖς πιστοῖς ἐξαστράψασα.

Σταυ-

Digitized by Google

Σταυροθεοτοκίον. Ὅμοιον.

Ῥήγνυται χειρόγραφον, τὸ ἀπ' αἰῶνος μυγείσης σου, τῆς πλευρᾶς πολυέλεε. Ἀδὰμ τοῦ Προπάτορος, καὶ ἡ ἀπωσμένη, φύσις τῶν ἀνθρώπων, ῥανίσιν Αἵματος τοῦ σοῦ, καθαγιάζεται ἀνακράζουσα· δόξα τῇ εὐσπλαγχνίᾳ σου· δόξα τῇ θείᾳ σταυρώσει σου. Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν σ. σ. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος δ'.

Τῷ τῆς Τριάδος φωτὶ, ἡ αὐτάδελφος ξυνωρὶς λαμπρυνθεῖσα, τῶν τυράννων τὴν ὠμότητα κατέβαλεν. ὅθεν καὶ τὴν φλόγα καταπατοῦντες, χορεύοντες ἔψαλλον· ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἅμα; καὶ πρὸς ἔνθεον δόξαν ἀπολέποντες, Οὐρανίου δόξης κατηξιώθησαν, Χριστὸν τὸν Θεὸν, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύοντες, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θε. Ἔδωκας σημείωσιν.

Δαιμόνων κλονούμενον, ταῖς προσβολαῖς καὶ εἰς βάραθρον, ἀπωλείας ὠθούμενον, οἰκτείρησον Δέσποινα, καὶ στερέωσόν με, ἀρετῶν ἐν πέτρᾳ, καὶ τὰς βουλὰς τῶν δυσμενῶν, διασκεδάσασα καταξίωσον, ποιεῖν με τὰ προστάγματα, τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ ἡμῶν, ὅπως τύχω ἀφέσεως, ἐν ἡμέρᾳ τῆς κρίσεως.

Σταυροθεοτοκίον. Ὅμοιον.

Μήτηρ ἀπειρόγαμος, Θεοῦ ἐδείχθης παναμώμε, τοῦ σταυρῷ ὁμιλήσαντος, καὶ πάθη μειώσαντος, τοῖς τιμίοις τούτου, πάθεσι καὶ πόνοις, οὓς περ ὑπέμεινεν ἑκὼν, διὰ τὸ σῶσαι βροτοὺς ἐν χάριτι. διὸ κἀμὲ δυσώπησον, σωθῆναι ταῖς παρακλήσεσι, Μητροπάρθενε Δέσποινα, τῶν Ἀγγέλων ὑπερτίμε.

Ἀπολυτίκιον. Ἦχος δ'.

Οἱ Μάρτυρές σου Κύριε.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχ. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τῶν Ἁγίων.

Οὗ ἡ ἀκροστιχίς.

Τὴν λαμπρὰν ὑμνῶ Μαρτύρων ξυνωρίδα.

Ὠδὴ α'. Ἦχος Πλ. β'. Ὡς ἐν ἠπείρῳ.

Ταῖς φανοτάταις ἀκτῖσι τῆς τριλαμποῦς, ἀθλοφόροι Μάρτυρες, ἐλλαμπόμενοι αὐγῆς, φωτισμὸν αἰτήσασθε ἡμῖν, τὴν πανέορτον ὑμῶν, μνήμην γεραίρουσιν.

Ἡλιακὰς ἀπαστράπτει μαρμαρυγὰς, ἡ σεπτὴ καὶ εὔσημος, τῶν Μαρτύρων Ἑορτή. καὶ τῆς γῆς τὰ πέρατα ἀεὶ, καταυγάζει μυστικῶς, θέρμει τοῦ Πνεύματος.

Νέῳ ἐν σώματι Μάρτυς τὸν παλαιὸν, τῆς κακίας ἄρχοντα, κατεπάλαισας στεῤῥῶς, ὑπομείνας βάσανα καὶ πῦρ, καὶ δεινῶν ἐπιφορὰς μάκαρ Εὐλάμπιε.

Θεοτοκίον.

Λελυτρωμένοι Παρθένε προγονικῆς, καταδίκης ἄχραντε, τῇ γεννήσει σου σαφῶς, ἐν φωναῖς ᾀσμάτων σε ἀεὶ, μακαρίζομεν πιστοὶ ὡς Θεομήτορα.

Ὠδὴ γ'. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Ἀγῶνας ἤνυσας στεῤῥῶς, ὑπομείνας βασάνους, καὶ πικρὰς τιμωρίας, τῶν μελλόντων ἀγαθῶν, μνησκόμενος προφανῶς, ταῖς ἐλπίσιν, ἔνδοξε Εὐλάμπιε.

Μαρτύρων εὔκλειαν φαιδρὰν, περικείμενον Μάρτυς, καθορῶσά σε ὅλην, ταῖς βασάνοις ἑαυτὴν, ἐκδέδωκεν ἡ σεμνὴ, Εὐλαμπία, ἀδελφὰ φρονοῦσά σοι.

Ποθήσας Μάρτυς τὸν Χριστὸν, τὰ ὁρώμενα πάντα, εἰς οὐδὲν ἐλογίσω, τῶν τυραννούντων ὁρμὰς, Εὐλάμπιε ἀθλητὰ, ὀλεθρίους πίστει τροπωσάμενος.

Θεοτοκίον.

Ῥυσθῆναι πάσης πονηρᾶς, ἁμαρτιῶν ἐφόδου, καὶ παθῶν ψυχοφθόρων, καὶ κινδύνων χαλεπῶν, τοὺς σὲ τιμῶντας ἀεὶ, Θεοτόκε πανάγνε ἱκέτευε. Ὁ Εἱρμός.

„Οὐκ ἔστιν Ἅγιος ὡς σὺ, Κύριε ὁ „Θεός μου, ὁ ὑψώσας τὸ κέρας, „τῶν πιστῶν σου ἀγαθὲ, καὶ στερεώσας ἡμᾶς, „ἐν τῇ πέτρᾳ, τῆς ὁμολογίας σου.

Κα. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ Λόγον.

Τῶν βασάνων τὰ μέρη τὰ χαλεπὰ, ἀθληταὶ παριδόντες καρτερικῶς, ὡς



Digitized by Google

Ἥλιος χάριτι, τοῦ Σωτῆρος ἐλάμψατε. ἀδελφικῇ στοργῇ δὲ, ἐνθέως συνδούμενοι. ἐφ' ὁμοίοις πόνοις, λαμπρῶς ἐδοξάσθητε. ὅθεν μετὰ τέλος, ἀτελεύτητον χάριν, ἐξ ὕψους ἐδέξασθε, θεραπεύειν νοσήματα, ἀθλοφόροι αὐτάδελφοι. πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν, νῦν ὡς ἀκυβέρνητον ποντουμένην τῷ κλύδωνι, ἁμαρτιῶν τε φόρτῳ, ὀφθεῖσαν ὑπέραντλον, καὶ ἐν πυθμένι ᾅδου, ἐλθεῖν κινδυνεύουσαν, φθάσον Θεοτόκε, πρεσβειῶν σου ἐλέει, γαλήνην παρέχουσα, σῷ λιμένι καθόρμισον, Παναγία Θεόνυμφε. σὺ γάρ μου λιμὴν τῆς ψυχῆς, ἀγωγίμων πταισμάτων λυτροῦσά με, καὶ ψυχήν μου πρὸς ὕψος ἀνάγουσα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἀμνὸν καὶ Ποιμένα καὶ Λυτρωτὴν, ἡ ἀμνὰς θεωροῦσα ἐν τῷ Σταυρῷ, ἠλάλαζε δακρύουσα, καὶ πικρῶς ἐκβοῶσα· ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν σταύρωσιν, ἣν περ ὑπομένεις, διὰ σπλάγχνα ἐλέους, μακρόθυμε Κύριε, τοῦ ἐλέους ἡ ἄβυσσος, καὶ πηγὴ ἀνεξάντλητος. σπλαγχνίσθητι καὶ δώρησαι, τῶν πταισμάτων ἄφεσιν τοῖς πίστει σου, ἀνυμνοῦσι τὰ θεῖα παθήματα.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Ἀγρίων χάσματα, θηρῶν ἐφίμωσας, ἐπικλήσει θείαις ἀγγελικῇ, δόξῃ καλλυνόμενος, καὶ μαρτυρίου ἱεραῖς, φωταυγίαις λαμπρυνόμενος.

Ναόν σε ἔμψυχον, Ναὸν πανάγιον, ἡ τοῦ Πνεύματος χάρις Μάρτυς σοφὲ, εὕρατο Εὐλάμπιε. ᾧ κραταιούμενος ναοὺς, τῶν εἰδώλων κατηδάφισας.

Ὑπῆρξας ἄσειστος, ἀκαταπτόητος, ἀπερίτρεπτος πάσαις ἐπιβουλαῖς, χαλεπῶν κολάσεων, κραταιουμένη ἐν Χριστῷ, Εὐλαμπία πανοίδιμε.

Μαρτύρων αἵμασι καλλωπιζόμενοι, καὶ ὁμόνοιαν πίστει ἀδελφικῇ, σῴζοντες μακάριοι, τῶν διωκτῶν τὰς ζοφερὰς, ἐπινοίας διεκρούσασθε. Θεοτοκίον.

Νοήσας πόῤῥωθεν, ἐμφαντικώτατα, Ἀββακοὺμ σε ἐκάλει ὄρος Ἁγνὴ, ἀρεταῖς κατάσκιον. ἐξ οὗ ἐπέφανεν ἡμῖν, ὁ φωτίζων τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Ὡς ὄρθρος ἔλαμψας εὐπρεπὴς, ὡς ἡμερινὸς ὄντως ἀστὴρ, ὡς φαεινότατος Ἥλιος, ἄθλων καὶ σημείων μαρμαρυγαῖς τῆς πίστεως, ἐνθέως καταυγάζων, Μάρτυς Εὐλάμπιε.

Μεγίστους πόνους ἐγκαρτερῶν, καὶ τὰς ἀνενδότους τῶν δαιμόνων ἐπιφορὰς λογιζόμενος, Μάρτυς ὡς ἡδίστους τρυφὰς Εὐλάμπιε, τὰς θείας ἀντιδόσεις, χαίρων κεκλήρωσαι.

Αἱμάτων ῥεῖθρα Μάρτυς σεμνὴ, χέουσα ἐκτήσω τῆς τρυφῆς, σὺ τὸν χειμάῤῥουν πανεύφημε. καὶ τὴν δι' αἰῶνος δόξαν ἀμάραντον, καὶ τὴν ἐν Παραδείσῳ, τερπνὴν ἀπόλαυσιν. Θεοτοκίον.

Ῥομφαῖαι πᾶσαι τοῦ δυσμενοῦς, ἄχραντε Πανάμωμε Ἁγνὴ, ὄντως εἰς τέλος ἐξέλιπον. σὺ γὰρ τὸν ἁπάντων Θεὸν ἐκύησας τὸν Σταυρῷ καθελόντα τούτου τὸ φρύαγμα.

Ὠδὴ ϛ'. Τοῦ βίου τὴν θάλασσαν.

Τεινόμενοι Μάρτυρες, καὶ στρεβλούμενοι δεινῶς, καὶ τοῖς θηρσὶ ῥιπτόμενοι, καὶ μεληδὸν κοπτόμενοι καὶ πυρὶ, ἐν ξύλῳ φλεγόμενοι, τὴν ἀμώμητον πίστιν οὐκ ἠρνήσασθε.

Ὑψούμενα κύματα, τῶν κολάσεων σφοδρῶς δικαστικαῖς προστάξεσι, τὸ σταθηρὸν τῆς γνώμης τῶν ἀθλητῶν, βυθίσαι οὐκ ἴσχυσε. τῇ γὰρ θείᾳ παλάμῃ ἐκρατύνοντο.

Ῥοαῖς ἀπεπνίξατε, Φαραὼ τὸν δυσμενῆ, τοῦ ἐκχυθέντος αἵματος. τὴν δὲ Χριστοῦ ἠρδεύσατε εὐσεβῶς, ἀήττητοι Μάρτυρες, Ἐκκλησίαν, τῇ πίστει ἀναθάλλουσαν.



Digitized by Google

Θεοτοκίον.

Ὡς ὄμβρος κεκένωται, ἐν τῇ μήτρᾳ σου Θεὸς, δι᾽ εὐσπλαγχνίαν ἄφατον. καὶ τὸν χειμάρρουν ἅπαντα τῆς τρυφῆς, ἐπότισε Δέσποινα, καὶ τὴν Κτίσιν φθαρεῖσαν ἐκαινούργησεν.

Ὁ Εἱρμός.

„Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην
„καθορῶν, τῶν πειρασμῶν τῷ κλύ-
„δωνι, τῷ ἀιδίῳ λιμένι σου προσδραμὼν,
„βοῶ σοι ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν
„μου πολυέλεε.

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος.

Τοὺς γενναίους Μάρτυρας, καὶ ἀδελφοὺς κατὰ σάρκα, τὸν σοφὸν Εὐλάμπιον, καὶ Εὐλαμπίαν τιμῶμεν. οὗτοι γὰρ τῶν τυραννούντων μηχανουργίας, ᾔσχυναν τῇ δυναστείᾳ τοῦ σταυρωθέντος. διὰ τοῦτο ἀνεδείχθησαν, Μαρτύρων δόξα, ὁμοῦ καὶ καύχημα.

Ὁ Οἶκος.

Τὴν δυάδα πιστοὶ τῶν Ἀθλοφόρων, σήμερον ἐν ᾠδαῖς, ἱεραῖς καὶ ὕμνοις εὐφημήσωμεν. ὅτι τῶν εἰδώλων καθεῖλον τὴν πλάνην, πολυθείας πῦρ κατασβέσαντες. καὶ δαίμονας ᾔσχυναν, τῶν δὲ Τυράννων θυμὸν οὐκ ἔπτηξαν, ξίφη τε καὶ πῦρ μὴ δειλιάσαντες, οὔτε θηρίων ὁρμὰς ἀγρίων, ἀγωνισάμενοι καλῶς, Εὐλάμπιος ὁ εὐκλεὴς σὺν τῇ σεπτῇ Εὐλαμπίᾳ, ἀδελφοὶ σύναθλοι δειχθέντες, Μαρτύρων δόξα ὁμοῦ καὶ καύχημα.

Τῷ αὐτῷ Μηνὶ Ι΄. Τῶν Ἁγίων Μαρτύρων, Εὐλαμπίου, καὶ Εὐλαμπίας.

Στίχ. Καὶ προφθάσασα τὴν τομὴν Εὐλαμπία,
Εὐλαμπίῳ τμηθέντι κοινωνεῖ στέφους.
Τμήθη τῇ δεκάτῃ Εὐλάμπιος, ἔνθαν ἀδελφός.

Οὗτοι οἱ Ἅγιοι Μάρτυρες ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ ἐν Νικομηδείᾳ τῇ πόλει, ἡγεμονεύοντος Μαξίμου. κατεκρύπτοντο δὲ πολλοὶ τῶν Χριστιανῶν ἐν τῷ ὄρει, οἵτινες ἀπέστειλαν τὸν Ἅγιον Εὐλάμπιον ἀγοράσαι ἄρτους ἐν τῇ πόλει. ὁ δὲ ἀπελθὼν, καὶ ἰδὼν γράμματα προτεθειμένα τῶν Βασιλικῶν διατάξεων, καὶ ταῦτα ἀναγινώσκων, ἐκρατήθη παρὰ τῶν εἰδωλολατρῶν. καὶ ἐρωτηθεὶς παρὰ τοῦ Βασιλέως, ὁμολόγησεν ἑαυτὸν Χριστιανόν. καὶ εἰσελθὼν ἐν τῷ ναῷ τῶν εἰδώλων ὡς θύσων, ἐπέταξε τῷ Ἄρει πεσεῖν, καὶ πεσὼν, συνετρίβη. τιμωρουμένου δὲ αὐτοῦ, Εὐλαμπία ἡ ἀδελφὴ αὐτοῦ εἰς τὸ μέσον ἐλθοῦσα, ἐδυσώπει τὸν ἅγιον Εὐλάμπιον, εὔξασθαι ὑπὲρ αὐτῆς, καὶ συμμαρτυρῆσαι αὐτῷ. ἐμβληθέντων δὲ εἰς λέβητα καχλάζοντα, καὶ μηδὲν ἀδικηθέντων, ἐπίστευσαν ἄνδρες διακόσιοι, καὶ σὺν αὐτοῖς ἀπεκεφαλίσθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων διακοσίων Μαρτύρων, τῶν συναναιρεθέντων τῷ Ἁγίῳ Εὐλαμπίῳ.

Στίχ. Ἀνδρῶν τετραπλῆν οἶδα πεντηκοντάδα,
Ξίφει τελειωθεῖσαν. ὢ θεῖον τέλος.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Βασιανοῦ.

Στ. Ὁ Βασιανὸς τὸν κάτω λιπὼν βίον,
Χαίρων πρὸς αὐτὴν τὴν ἄνω χωρεῖ βάσιν.

Οὗτος ὁ Ὅσιος Πατὴρ ἡμῶν Βασιανὸς, ὑπῆρχεν ἐξ ἀνατολῶν τῆς Σύρων χώρας. ἐπὶ δὲ τῆς Βασιλείας Μαρκιανοῦ τοῦ εὐσεβεστάτου, ἦλθεν ἐν Κωνσταντινουπόλει, καὶ τοσοῦτον διέλαμψεν ἀρεταῖς καὶ θαύμασιν, ὡς καὶ Ναὸν κτίσαι ἐπ᾽ ὀνόματι αὐτοῦ τὸν Βασιλέα, ὃς καὶ μέχρι τῆς σήμερον ἔστιν. ἐπληθύνθη δὲ ὁ ἀριθμὸς τῶν Μαθητῶν αὐτοῦ, ὡς εἰς τριακοσίους. ἐξ ὧν ἦν καὶ ἡ Ἁγία Ματρῶνα. οὕτω δὲ βιώσας, καὶ πολλοὺς τῷ Θεῷ προσαγαγὼν, καὶ νόσους θεραπεύσας, καὶ θαυμάτων ἀπείρων αὐτουργὸς γεγονὼς, ἐν βαθυτάτῳ γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοφίλου τοῦ Ὁμολογητοῦ.

Οὗτος ὁ μακάριος Πατὴρ ἡμῶν Θεόφιλος, πρὸ τριῶν σταδίων Τιβεριουπόλεως, γεννηθεὶς παρὰ εὐσεβῶν γονέων καὶ χριστιανῶν, τελετὴς ὢν, τῷ Ἁγίῳ Βα-


Digitized by Google

Βαπτίσματι ἀνεγεννήθη. λαβόντες αὐτὸν οἱ γονεῖς, ἀνέδραμον πρὸς τὸ Σελεύτιον ὄρος. καὶ εὑρόντες τὸν Ὅσιον Πατέρα ἡμῶν Στέφανον, καὶ τὴν ἐκείνου εὐλογίαν δεξάμενοι, οἴκαδε ἀνεχώρουν. ἔκτοτε οὖν σχολάζων ἦν ὁ Παῖς τοῖς ἱεροῖς γράμμασιν. εἰς τρισκαιδέκατον δὲ φθάσας χρόνον, πρὸς τὸν Ὁσιώτατον ἀνέδραμε Στέφανον· ὃν καὶ ἰδὼν, τίνος χάριν ὦ τέκνον ἔφη πρὸς ἡμᾶς ἐλήλυθας; ὁ δὲ Παῖς ἀπεκρίνατο, κέκληκάς με Πάτερ. καὶ ἀφεὶς τοὺς γονεῖς, ἦλθον πρὸς σέ. πότε τέκνον ὁ Ὅσιος ἔφη; καὶ τί σοι εἴρηκα; ἐν τῷ Ἀγριδίῳ περιπονοῦντι εἴρηκας· τέκνον Θεόφιλε, ἀπεμάκρυνας τὸν Κύριον λέγοντα, ἆρον τὸν σταυρόν σου, καὶ ἀκολούθει μοι. ἐπὶ τούτῳ πληγεὶς τὴν καρδίαν, ἠκολούθουν σοι μέχρι τοῦ πυλῶνος. καὶ εὑρὼν αὐτὸν κεκλεισμένον, ἐξῆλθες ἀπὸ τῶν ὀφθαλμῶν μου, καὶ εὑρέθην μόνος. καὶ δοκεῖ μοι Πάτερ Ἅγιε, ὡς τὸ προσόν σοι τῆς ὁμιλίας δίδωσί μοι ἐννοεῖν, οὐκ ἦς αὐτὸς σὺ ὁ καλέσας με; ἀλλὰ μὴ ἀποστρέψῃς τὸν δοῦλόν σου ζητοῦντα τὴν σωτηρίαν. ὁ δὲ Ὅσιος τῷ Θεῷ εὐχαριστήσας, προσελάβετο τὸν Παῖδα, ἀνάγων καὶ ἐκπαιδεύων τὴν τοῦ μονήρους βίου ἀκολουθίαν καὶ ἄσκησιν. τριῶν οὖν ἤδη ἐνιαυτῶν παρῳχηκότων, προσκαλεσάμενος ὁ Ὅσιος τὸν τῆς λαύρας Ἡγούμενον, παρέδωκε τὸν Παῖδα. ὃς λαβὼν τοῦτον, ἀπέκειρεν ἐν τῇ ὑπ' αὐτὸν λαύρᾳ. οἱ δὲ γονεῖς αὐτοῦ, οὐκ ἠμέλουν ἀνερευνῶντες, καὶ σπεύδοντες εἰς τὴν τοῦ κρυπτομένου ἀνεύρεσιν. ὀψὲ δέ ποτε μετὰ παραδρομὴν χρόνων τινῶν τὰ περὶ τοῦ Παιδὸς μαθόντες, προσῆλθον τῷ Ἡγουμένῳ, περιπαθῶς ἐξαιτούμενοι ἐμφανισθῆναι αὐτοῖς τὸν Υἱόν. ὁ δὲ, πρῶτον μὲν οὐ μικρῶς ἐπὶ τούτῳ δυσχεράνας, οὐδ' ὅλως κατένευεν. ὡς δὲ τὴν συνεχοῦσαν αὐτοὺς ἀθυμίαν ἑώρα, καὶ τὸ τῆς θλίψεως ὑπερβολικὸν καὶ ἀφόρητον, καὶ μὴ θέλων ὑπέδειξεν αὐτοῖς τὸν υἱόν. ὃν οἱ τεκόντες ὡς εἶδον οὕτως ἔχοντα, εἰς θρῆνον χαρᾷ σύμμικτον τραπέντες, ἐνηγκαλίζοντο, καὶ κατησπάζοντο. τί μὴ λέγοντες, καὶ τί μὴ πράττοντες τῶν ἱκανῶν; καὶ αὐτῶν σχεδὸν τῶν ἀψύχων καθάπτεσθαι. τέως ἐπί τισιν ἡμέραις συνηδόμενοι τῷ υἱῷ, καὶ τῆς φύσεως αὐτῷ χάριτος ἀκριβῶς αἰσθόμενοι, ὅρκοις ἐμπεδοῦν ἤρξαντο τὸν Ἡγούμενον, μεθ' ἑαυτῶν ἔχειν καὶ τὸν Παῖδα, οἴκαδε ὑποστρέφοντες. ἐφ' ᾧ ἔκπαλαι ποθοῦντας στῆσαι καὶ ἀνεγεῖραι Μοναστήριον ἐξ οἰκείων ἀναλωμάτων, νῦν καιροῦ καλοῦντος δέον ἀπαρτισθῆναι. ἀνανεύοντος οὖν πρὸς τοῦτο τοῦ Ἡγουμένου, καὶ τοῖς ἀδελφοῖς τὸ πᾶν προσαναθεμένου, νηστείᾳ τριημέρῳ καὶ παννύχῳ ἀγρυπνίᾳ ἐκ Θεοῦ τὴν περὶ τούτου λύσιν λήψεσθαι κοινῶς ἐψηφίσαντο. καὶ τούτου γενομένου, ὡς θαυμαστὰ τὰ ἔργα σου Κύριε, φωνὴ ἔναρθρος ἐν τῷ Ναῷ ἠκούσθη ἄνωθεν τὸν ζητούμενον ἀπολυθῆναι παρακελεύουσα. ὃν καὶ παραλαβόντες οἱ γονεῖς μετὰ καὶ Ἀδελφῶν τινῶν τῆς Μονῆς, ὑπέστρεψαν οἴκαδε χαίροντες, καὶ τῆς Μονῆς τάχει πολλῷ κατασκευασθείσης, ἦν ὁ Ἅγιος Θεόφιλος ἐν αὐτῇ, ἀσκητικῶς διάγων χρόνοις ἱκανοῖς. Ἐπεὶ δὲ ὁ κοινὸς πάντων ἐχθρὸς οὐδέποτε ἠρεμεῖ, τὸν δυσσώνυμον θῆρα ὑπελθὼν Λέοντα Βασιλέα τὸν Εἰκονομάχον, παραστῆναι ὃς ἀνέπεισε τὸν Ἅγιον. καὶ ὁμολογήσαντα τὴν τῶν Ἁγίων Εἰκόνων προσκύνησιν, βουνεύροις τύπτεσθαι προσέταξεν. εἶθ' οὕτω καὶ τὰς χεῖρας ὄπισθεν δεσμευθῆναι, καὶ τὴν ἐπὶ Νίκαιαν ἄγεσθαι τρίβον. τὸν δὲ στυλίτην Λογγῖνον, ὕπτιον ἐπὶ γῆς ἁπλωθῆναι, ἐπιθεῖναί τε τῇ τούτου κεφαλῇ τὰς εὑρεθείσας αὐτῷ ἱερὰς Εἰκόνας, καὶ καταφλεχθῆναι. ὁ δὲ Ἅγιος ἤδη τὴν Νίκαιαν καταλαβὼν, παρέστη τῷ δικαστηρίῳ. καὶ τότε μὲν τοῦ Θεοφίλου τὸ πεπαρρησιασμένον καὶ ἐλεγκτικὸν μὴ φέρων ὁ δυσσεβὴς, σταυροειδῶς ἐπὶ δυσὶ στύλοις διαταθῆναι τοῦτον ἐκέλευσε, καὶ βουνεύροις ξηροῖς τὰς τούτου σάρκας καταξαίνεσθαι ἔμπροσθέν τε καὶ ὄπισθεν. ὅτε δὲ κρουνηδὸν τὸ αἷμα κατερχόμενον εἶδε, καὶ τὴν γῆν φοι-

νισ-

Digitized by Google

μισουμένων, ἐγερθεὶς τοῦ θρόνου αὐτοῦ, δι' ἑαυτοῦ ἐπὶ πολλὰς τὰς ὥρας τὰς ὄψεις τοῦ Ἁγίου ἔτυπτε. μετὰ δὲ τὸ παύσασθαι τύπτειν αὐτὸν, σιδηροῖς ὑποδήμασι πεπυρακτωμένοις προσέταξεν ὑποδεθῆναι, καὶ τρέχειν ἔμπροσθεν αὐτοῦ. τότε ὁ ἄρχων ὑπατικὸς αἰδεσθεὶς τὴν τοῦ Ἁγίου ἀρετὴν, ἄραγε φησὶ Θεόφιλε, σὺ μόνος καὶ οἱ κατὰ σὲ μωραίνετε εἰς τὸ προσκυνεῖν τὰς εἰκόνας, ἢ ὁ Βασιλεὺς καὶ ἡμεῖς οἱ δοκοῦντες κρατεῖν; ὁ Ἅγιος εἶπεν· εἰ θέλεις, ἐκ τῶν γραφῶν γυμνάσωμεν τὸ ζητούμενον· οἶδα γὰρ, ὅτι ἀκριβῶς ἐπίστασαι τὰς γραφάς. καὶ ἐὰν εὐλόγως πείσῃς με, ἀποβαλοῦμαι προσκυνεῖν τὰς Εἰκόνας· εἰ δὲ πεισθῇς, προσκυνήσεις αὐτάς; ὁ Ἄρχων εἶπεν· ἀναμφιβόλως. τότε ὁ Ἅγιος περιχαρὴς γενόμενος, ἤρξατο διαλέγεσθαι περὶ τιμῆς καὶ σχέσεως τῶν Ἁγίων Εἰκόνων· καὶ πεισθεὶς ὁ Ἄρχων, φησί. τίμιε γέρων, ἐγὼ σπουδάσαι ἔχω, πεῖσαι τὸν Βασιλέα συνελθεῖν τῇ διαγνώσει ταύτῃ, εἰ ἄρα δυνηθῶ. σὺ δὲ τὸ ἀφέσιμον παρ' ἐμοῦ λαβὼν, ὑπόστρεφε εἰς τὸ κελλίον σου. ὁ δὲ Ἅγιος περίλυπος γενόμενος, ὡς μὴ πληρώσας τὸν τοῦ μαρτυρίου δρόμον, ὅμως ἔχων τὰ στίγματα, ἔχαιρε. καὶ ὑποστρέψας εἰς τὸ Μοναστήριον, χαρὰν οὐ μικρὰν καὶ ἀγαλλίασιν ἐνέβαλε τοῖς ἀδελφοῖς, καὶ φίλοις, καὶ συγγενέσι, καὶ πᾶσι τοῖς πλησιοχώροις. ὀλίγου δὲ χρόνου διελθόντος ἐκ τῆς ἀθλητικῆς αὐτοῦ ἐπανόδου πρὸς τὴν Μονὴν, ὁ ἀοίδιμος γνοὺς τὴν ἀπὸ τῶν γηΐνων πρὸς τὰ οὐράνια αὐτοῦ μετάβασιν, καὶ καλῶς τὰ περὶ τῆς Μονῆς διαθέμενος, καὶ πάντας κατηχήσας καὶ εὐλογήσας, πρὸς ὃν ἐπόθει Κύριον ἐξεδήμησεν· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Νεανίας τρεῖς ἐν χάριτι μιμούμενοι, τὸ πῦρ κατεπατήσατε, δροσιζόμενοι, τῷ ἀΰλῳ Πνεύματος πυρί· καὶ ψάλλοντες Μάρτυρες Χριστοῦ, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ζέουσα τῆς σαρκὸς, ἡ πρὸς τὸν κτίσαντα, ἀγάπη ἐκρατύνετο. οἱ γὰρ Ἅγιοι, ὁλοτρόπῳ νεύσει πρὸς Θεὸν, θεούμενοι ἔμελπον πιστῶς· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὑπεραίδων σου καρδίας τὰ κινήματα, ταῖς θείαις ἀναβάσεσιν, ἐν ἀσαλεύτῳ ἀθλοφόρε πέτρᾳ τῆς ζωῆς, ἀκλόνητος ἵστασο βοῶν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Νεανίας τρεῖς ἡ κάμινος οὐκ ἔφλεξε, γέννησιν προτυποῦσα τὴν σήν. τὸ γὰρ θεῖον πῦρ, σὲ μὴ φλέξαν ᾤκησεν ἐν σοὶ, καὶ πάντας ἐφώτισε βοᾶν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ὡραιότατος ὤφθης ψυχῇ καὶ σώματι, τῶν βασάνων νιφάσι καταχωννύμενος, μάρτυς ἀθλητὰ, οὐδαμῶς δὲ ἡττώμενος, μέλπων τῷ Δεσπότῃ, Χριστῷ εἰς τοὺς αἰῶνας.

Ῥητορεύοντες ἅμα λόγον τὸν ἔνθεον, ἐξεφαυλίσατε δόγμα τὸ ἄθεον· οἱ ἀδελφικὴν ἀγχιστείαν συνδούμενοι, Μάρτυρες τοῦ πάντων Θεοῦ καὶ Βασιλέως.

Ἱερεῖα καὶ θεῖα ὁλοκαυτώματα, ἐθελόθυτοι ἄρνες ἄμωμα σφάγια, κάρπωμα δεκτὸν, τῷ Θεῷ προσηνέχθητε, ἐν ἐπουρανίῳ τραπέζῃ ἀθλοφόροι.

Διαυγῆ σε ἀστέρα φωτοειδέστατον, ἰαμάτων ἀκτῖσι καταλαμπρύνοντα, πάντων τὰς ψυχὰς, ἀθλοφόρε Εὐλάμπιε, πίστει ἐγνωκότες, ὑμνοῦμεν εἰς αἰῶνας.

Θεοτοκίον.

Ἀπειρόγαμε Κόρη χαῖρε πανάμωμε, ὁ λιμὴν τῶν ἐν ζάλῃ χαῖρε Θεόνυμφε. τῶν ἁμαρτωλῶν χαῖρε τὸ ἱλαστήριον. χαῖρε ἡ τεκοῦσα, Θεὸν σεσαρκωμένον.

Ὁ Εἱρμός.

„Ἐκ φλογὸς τοῖς Ὁσίοις δρόσον ἐπήγασας, „καὶ Δικαίου θυσίαν ὕδατι „ἔφλεξας. ἅπαντα γὰρ δρᾷς, Χριστὲ μό„νῳ τῷ βούλεσθαι. σὲ ὑπερυψοῦμεν, εἰς „πάντας τοὺς αἰῶνας.



Digitized by Google

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν.

Ἰδεῖν τὴν δόξαν τοῦ Παντοκράτορος, ἐπιποθῶν καὶ κάλλος δὲ αὐτοῦ τὸ ἀμήχανον, ἀδοξίαν τοῦ βίου παρέδραμες, ἄτιμον ὑπομείνας, θάνατον ἔνδοξε, δόξαν προξενοῦντά σοι ἀεί, Μάρτυς Εὐλάμπιε.

Ὡς φῶς ὡς λύχνος ἀειλαμπέστατε, τοῖς ἐν νυκτὶ τοῦ βίου καθωράθης Εὐλάμπιε, ἀγνωσίας τὸ σκότος ἐδίωξας· ἔλυσας παθημάτων, τὴν ἀμαυρότητα, φέγγει ἰαμάτων, ἀθλητὰ θεομακάριστε.

Στολαῖς βαφείσαις ὑμῶν τῶν αἵματος, μαρτυρικοῦ, ὡραίους ἑαυτοὺς περιστείλαντες, στεφηφόροι Κυρίῳ παρέστασθε, μέλποντες σὺν Ἀγγέλοις· Ἅγιος, Ἅγιος, Ἅγιος Τριάς, ἡ παντουργὸς καὶ παντοδύναμος.

Ἡμῶν τῶν πίστει τὴν ἀεισέβαστον, καὶ ἱεράν, καὶ πλήρη φωτισμοῦ καὶ λαμπρότητος, ἀθλοφόροι Μάρτυρες τελούντων ὑμῶν, μνήμην καὶ προσκυνούντων, πίστει τὰ λείψανα μέμνησθε παντοίων, πειρασμῶν πάντας λυτρούμενοι.

Θεοτοκίον.

Φωτὸς δοχεῖον τοῦ ἀναλάμψαντος, θεοπρεπῶς ἐκ σοῦ τῆς καθαρᾶς Παναμώμητε, τῆς ψυχῆς μου τὰ ὄμματα φώτισον, σκότος τῆς ἀγνωσίας ἀποδιώκουσα, καὶ τῆς ἁμαρτίας τὴν ἀχλὺν ἐξαφανίζουσα.

Ὁ Εἱρμός.

„Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ „τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγματα. „διὰ σοῦ δὲ Πανάγνε ὡράθη βροτοῖς, Λό„γος σεσαρκωμένος, ὃν μεγαλύνοντες, σὺν „ταῖς οὐρανίαις στρατιαῖς, σὲ μακαρίζομεν.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Ἀξίως ἐποφείλομεν, ὑμνεῖν τοὺς Οὐρανόφρονας, Εὐλάμπιον Εὐλαμπίαν, τοὺς ἱεροὺς ἀθλοφόρους, ὡς αὐταδέλφους Μάρτυρας, καὶ τὴν αὐτῶν ὑπέρλαμπρον, μνήμην τελεῖν ἐν ᾄσμασιν· ὑπὲρ τοῦ Κόσμου γὰρ οὗτοι, ἐξιλεοῦνται τὸ Θεῖον.

Θεοτοκίον. Ὅμοιον.

Ῥανίσι τοῦ ἐλέους σου, κατάρδευσον Πανάμωμε, τὴν ἐκτακεῖσαν ψυχήν μου, τῆς ἁμαρτίας τῷ καύσωνι. καὶ σκοτισθεῖσαν πάθεσι, τὸν νοῦν μου φωταγώγησον, τοῦτον σαφῶς ἰθύνουσα, πρὸς ἄϋλον θεωρίαν, τοῦ σοῦ Υἱοῦ Θεοτόκε.

Εἰς τὸν σ. τῆς Ὀκτωήχου. Εἰς τὴν Λειτουργίαν, ὡς σύνηθες. Ζήτει εἰς Μάρτυρας.

Τῷ αὐτῷ Μηνὶ ΙΑ΄.

Τοῦ Ἁγίου Ἀποστόλου Φιλίππου, ἑνὸς τῶν Ἑπτὰ Διακόνων. καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοφάνους τοῦ Ὁμολογητοῦ, Μητροπολίτου Νικαίας, τοῦ ποιητοῦ καὶ γραπτοῦ.

Στιχηρὰ τοῦ Ἀποστόλου. Ἦχος α΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ Διακόνοις ἑπτὰ καταλεγόμενος, ὡς πλήρης σοφίας τε καὶ θείας χάριτος, διακονεῖν μάκαρ Φίλιππε, ταῖς τῶν Ἁγίων, ἅμα Στεφάνῳ χρείαις προκέχρισαι. ὅθεν ἀναιρούμενον, τοῦτον θεώμενος, ἐπὶ Σαμάρειαν ἔδραμες, προστάξει θείᾳ, Θεοῦ τὸν Λόγον κηρύττων ἔνδοξε, καὶ καταυγάζων τοὺς ὑπάρχοντας, ἐν τῷ σκότει τὸ πρὶν οὓς ἐτέλεσας, διὰ Πνεύματος θείου, τῆς ἡμέρας Υἱοὺς πάνσοφε.

Θεοσημείαις χερσί σου τελουμέναις, οἱ δῆμοι θεώμενοι τυφλῶν ἀνάβλεψιν, καὶ παρειμένων ἀνόρθωσιν, καὶ ἀκαθάρτων, τῶν περικατόχων πνευμάτων δίωξιν. ἐξίσταντο Φίλιππε, καὶ συνηλαύνοντο, πρὸς τὴν σωτήριον κάθαρσιν, ἐξ ἀπιστίας, πιστοὶ ἐξαίφνης ἀποδεικνύμενοι. ἅπερ ὁ θεῖος, ὡς ἀκήκοεν, ἀποστόλων χορὸς ἐπευφραίνετο, ὅτι καὶ Σαμαρείας, ἡ πληθὺς Θεῷ προσήνεκται.

Ἅρμα τοῦ Λόγου ὑπάρχων θεηγόρε, ἐφ' ἅρματος βλέψας τε προσεποχούμενον, καὶ τὰς ζητήσεις ποιούμενον, καὶ ἀπορούντα, φθάνεις Κανδάκην τὸν ἀξιάγαστον, καὶ τούτῳ τὴν δήλωσιν, καὶ τὴν σαφήνειαν, τῶν ποθουμένων Μάκαρ, καθυποδείξας, πείθεις τὴν θείαν αἰτῆσαι κάθαρσιν. ἧς μεταχόντα, θεῖον κήρυκα, παντουργός σε Θεὸς ἀπειργάσατο, πάσης Αἰθιοπίας, καὶ Μαρτύρων ἀκροθίνιον.

Ἑτε-

Digitized by Google

Ἕτερα γ'. τοῦ Ὁσίου. Ἦχος ὁ αὐτός.
Ὡς γενναῖον ἐν Μάρτυσιν.

Αὐτοκίνητον ὄργανον, ταῖς πνοαῖς ὑπηχούμενον, τοῦ Ἁγίου Πνεύματος ἐσχηματίσας, τῇ πυριφθόγγῳ γὰρ γλώττῃ σου, τὰ θεῖα ἐβρόντησας, καὶ κατέφλεξας ἐχθρῶν, δυσσεβούντων τὰ ζιζάνια, τῶν μὴ χρώμασιν, ὑλικοῖς προσκυνούντων τοῦ Κυρίου, καὶ Θεοῦ ἡμῶν τὸ εἶδος, καὶ τῆς Ἀχράντου Μητρὸς αὐτοῦ.

Ὡς φωστὴρ διαυγέστατος, τῷ πυρσῷ τῶν δογμάτων σου, καταλάμπεις ἅπασαν τὴν ὑφήλιον. Δαβιτικῶς τὴν κινύραν σου, κινῶν ἐμελῴδησας, τῶν ἁγίων τοῦ Χριστοῦ, ἀξιέπαινα ᾄσματα, καὶ ἐξέπεμψας, εἰς τὴν ἤπειρον πᾶσαν. διὰ τοῦτο, ἐδοξάσθης ἐπαξίως, ἱερομύστα Θεόφανες.

Ἱερέων ἐν τάγμασιν, Ἀσκητῶν ὁμηγύρεσι, καὶ χοροῖς Μαρτύρων σὺ καταλέλεξαι, ὑπὲρ Χριστοῦ μέχρις αἵματος, στερρῶς ἀνθιστάμενος, παρανόμου δικαστοῦ, διελέγχων ἀπόνοιαν, καὶ προστάγματι, ἀσεβοῦς Βασιλέως, τῷ μετώπῳ, ὡς ἐν τίτλῳ διεγράφης, σημειωθεὶς θείᾳ χάριτι.

Δόξα, καὶ νῦν. Θεοτοκίον Ὅμοιον.

Ἀπορῶ καὶ ἐξίσταμαι, τί ποιήσω ὁ ἄθλιος, ὅταν τέλος φθάσῃ τὸ τῆς ζωῆς μου λοιπόν. ποῦ μοι ὁ δρόμος ὁ ἄκαιρος; ποῦ τὰ ἀξιώματα; ποῦ ὁ πλοῦτος ποῦ τρυφή; ποῦ ἡ δόξα ἡ πρόσκαιρος; ποῦ τῆς φύσεως, τὸ καινότατον ἄνθος; ἀλλὰ δεῦρο, πρὸ τοῦ τέλους ὦ ψυχή μου, τῇ Θεοτόκῳ προσπέσωμεν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἀμνὸν καὶ Ποιμένα σε, ἐπὶ ξύλου ὡς ἔβλεψεν, ἡ ἀμνὰς ἡ τέξασα ἐπωδύρετο, καὶ μητρικῶς σοι ἐφθέγγετο. Υἱὲ ποθεινότατε, πῶς ἐν ξύλῳ τοῦ σταυροῦ, ἀνηρτήθης μακρόθυμε; πῶς τὰς χεῖράς σου, καὶ τοὺς πόδας σου Λόγε προσηλώθης, ὑπ᾿ ἀνόμων καὶ τὸ αἷμα, τὸ σὸν ἐξέχεας Δέσποτα.

Ἀπολυτίκιον. Ἦχος γ'. Ἀπόστολε ἅγιε.
Καὶ τοῦ Ὁσίου. Ἦχος πλ. δ'. Ὀρθοδοξίας ὁδηγέ.
Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. Κανὼν τῆς Ὀκτωήχου εἷς, καὶ τῶν Ἁγίων β'. Ὁ Κανὼν τοῦ Ἀποστόλου. Οὗ ἡ ἀκροστιχίς.

Τὸ τοῦ Φιλίππου θεῖον αἰνέσω κλέος. Ἰωσήφ. Ὠδὴ α'. Ἦχος πλ. δ'.
Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Ταῖς φανοτάταις λαμπάσι τῆς τοῦ Χριστοῦ, ἀστραφθεὶς Θεότητος, κατὰ μέθεξιν σοφέ, φῶς ὤφθης δεύτερον πιστοὺς, ἱερῶς φωταγωγῶν, ἔνδοξε Φίλιππε.

Ὁ ὑπερούσιος Λόγος οὐσιωθεὶς, ὅλον τὸ ἡμέτερον, ἱερόν σε Μαθητὴν, ἱερῶς προβάλλεται σοφὲ, ἀνιέρου σκοτασμοῦ, ἔθνη λυτρούμενον.

Τῇ τῶν χειρῶν ἐπιθέσει τῶν ἱερῶν, Μαθητῶν ἐκλέλεξαι, σὺν Στεφάνῳ καὶ λοιποῖς, ἱερὸς Διάκονος ὡς ὢν, πλήρης Πνεύματος Θεοῦ, πάνσοφε Φίλιππε.

Θεοτοκίον.

Ὁ ἐκ μὴ ὄντων τὰ πάντα δημιουργῶν, ὡς αἰτίαν ἔσχε σε, τῆς σαρκώσεως αὐτοῦ, Θεομῆτορ ἄχραντε διὸ, κατὰ χρέος οἱ πιστοὶ σὲ μακαρίζομεν.

Ἕτερος Κανὼν τοῦ Ὁσίου. Ἦχος, καὶ Εἱρμὸς ὁ αὐτός.

Τὸν τῆς ἐμῆς διανοίας ταῖς σαῖς λιταῖς, ζόφον ἐξαφάνισον, Ἱεράρχα τοῦ Χριστοῦ. ὅπως μέλψω ἔνδοξε τὴν σὴν, φωτοφόρον Ἑορτὴν, Πάτερ Θεόφανες.

Ταῖς θεϊκαῖς λαμπηδόσι τὴν σὴν ψυχὴν, αὐγασθεὶς Θεόφανες, τῶν παθῶν τὰς ἡδονὰς, ἐγκρατείας ἔφλεξας πυρὶ, μελῳδῶν εἰλικρινῶς· ᾄσωμεν ᾆσμα Χριστῷ.

Οἷά περ ἄνθραξ ἐν Κόσμῳ ἐκ τῆς Σιὼν, ἀνατείλας δέδειξαι, καὶ κατέφλεξας πυρὶ, ἐξαφθεὶς ἐν Πνεύματι Θεοῦ, τῶν αἱρέσεων σοφὲ, τὴν ὕλην ἅπασαν.

Θεοτοκίον.

Φαεινοτάταις ἀκτῖσι τοῦ σοῦ Υἱοῦ, Θεοτόκε φώτισον, τὴν ζοφώδη μου ψυχὴν. καὶ παθῶν τὸν τάραχον τῇ σῇ, μεσιτείᾳ πρὸς Θεὸν κόπασον Δέσποινα.

Ὠδὴ γ'. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Υἱοὺς ἐτέλεσας φωτὸς, τοὺς ἐν σκότει ἀγνοίας, ἐνυπάρχοντας μάκαρ, ἐν σημείοις φοβεροῖς. ὡς Οὐρανὸς ὑψηλὸς, τὴν τοῦ Λόγου, δόξαν διηγούμενος.


Digitized by Google

Φυλῆς Ἰούδα τὸν Χριστὸν, ἀνατείλαντα μάκαρ, ἱερῶς καταγγέλλων, τῷ τῆς χάριτος φωτὶ, ὑπέδειξας ὃν Μωσῆς, καὶ Προφῆται, πάλαι προκατήγγειλαν.

Τὸν ψυχόλεθρον φυγεῖν, καὶ σωτήριον χάριν, ὑποδέξασθαι πείθεις, μελιρρύτοις λαλιαῖς, τοὺς ἀπωσθέντας μακρὰν, ἀγνωσίᾳ, Φίλιππε θεόπνευστε.

Θεοτοκίον.

Λυχνία ὤφθης μυστικὴ, τὸ λαμπάδιον Κόρη, περιέχουσα ὄντως, τὸ φωτίσαν τοὺς νυκτὶ, τῆς ἀγνωσίας τὸ πρὶν, συσχεθέντας, ἄκρᾳ ἀγαθότητι.

Ὁ αὐτός.

Δογμάτων θείας ἀστραπὰς, ἐξαστράπτων παμμάκαρ, ἐφυγάδευσας πᾶσαν, τῆς αἱρέσεως ἀχλὺν, τῷ ζωοδότῃ Χριστῷ, ἀναμέλπων, Ἅγιος εἶ Κύριε.

Ὑπάρχων ἔμπλεως σοφὲ, θείου Πνεύματος ὤφθης, διατρέφων πλουσίως, εὐσεβείας γλυκασμῷ, τῷ λόγῳ τῷ ζωτικῷ, τὰς καρδίας, τῶν προσερχομένων σοι.

Ἐν τῷ ὄρος θείων ἀρετῶν, ἀνελθὼν Ἱεράρχα, καὶ εἰς γνόφον εἰσδύσας, συνανεκράθης Θεῷ, καὶ διανοίας πλαξὶν, ἐκομίσω, μόνον τὸν τῆς χάριτος.

Θεοτοκίον.

Ἰδοὺ ἡ κλῖμαξ Ἰακὼβ, ἣν ἑώρακε πάλαι, ἱδρυμένην ἐν ᾗ περ, ἐπεστήρικτο Θεὸς, ἡ φωτοφόρος Ἁγνὴ, Θεοτόκος, ὤφθη παρθενεύουσα.

Ὁ Εἱρμός.

„ Οὐκ ἔστιν Ἅγιος ὡς σὺ, Κύριε ὁ Θεὸς „ μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πι„ στῶν σου ἀγαθὲ, καὶ στερεώσας ἡμᾶς, ἐν τῇ „ πέτρᾳ τῆς ὁμολογίας σου.

Κοντάκιον τοῦ Ἀποστόλου. Ἦχος δ΄.

Ἐπεφάνης σήμερον.

Μιμητὴς γενόμενος, τοῦ Διδασκάλου, καὶ δι᾽ αὐτὸν Ἀπόστολε, ταῖς τῶν Ἁγίων τῶν αὐτοῦ, χρείαις πιστῶς διηκόνησας, ὅθεν σε πάντες, πιστοὶ μακαρίζομεν.

Ὁ Οἶκος.

Τοὺς σωτηρίους τοῦ Χριστοῦ, καὶ ζωοποιοὺς λόγους, καὶ τὰ θαυμαστὰ ἔργα, ἀκούων τε καὶ βλέπων, φῶς ἐφωτίσθης, δι᾽ αὐτῶν τὸ τῆς ἀληθείας· καὶ χαίρων αὐτῷ πεπιστευκὼς μακάριε, προθύμως, καὶ τοῖς ἄλλοις ἐκήρυξας, βοῶν· ἡ σωτηρία τῶν βροτῶν ἐπεφάνη, ὁ Ἥλιος ἀνέτειλε τῆς Δικαιοσύνης. διὸ πρὸς τὴν ἐπίγνωσιν αὐτοῦ σοφὲ καὶ θείαν πίστιν, πλείστοις ἐγένου λύχνος καὶ πυρσὸς, καὶ φέγγος τῶν ἐν σκότει. ὅθεν σε πάντες πιστοὶ μακαρίζομεν.

Κάθισμα. Ἦχος Πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

Ἐλατὴρ τῶν δαιμόνων ἀναδειχθεὶς, καὶ φωστὴρ τῶν ἐν σκότει ἀποφανεὶς, ἔδειξας τὸν Ἥλιον, ἐκ Παρθένου ἐκλάμψαντα. καὶ ναοὺς εἰδώλων, συντρίψας ἀνήγειρας, Ἐκκλησίας Μάκαρ, εἰς δόξαν Θεοῦ ἡμῶν. ὅθεν σε τιμῶμεν, καὶ τὴν θείαν σου μνήμην, πιστῶς ἑορτάζομεν, καὶ συμφώνως βοῶμέν σοι· ὦ Ἀπόστολε Φίλιππε, πρέσβευε Χριστῷ.

Δόξα. Ὅμοιον.

Τῷ τῆς χάριτος λόγῳ τὰς ἀκοὰς, τῶν πιστῶν ἐνηδύνεις ταῖς διδαχαῖς, ταῖς σαῖς παναοίδιμε, ἐτροπώσω τὸν τύραννον. καὶ καλῶς τὸν δρόμον, τελέσας τῆς πίστεως, ἐπὶ τέλει δόξης Μαρτύρων ἠξίωσαι. ὅθεν κατὰ χρέος, τὴν ἁγίαν σου μνήμην, τιμῶμεν ἀοίδιμε, τὸν Σωτῆρα δοξάζοντες, θεοφόρε Θεόφανες, πρέσβευε Χριστῷ τῷ Θεῷ.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν σοφίαν καὶ Λόγον ἐν σῇ γαστρὶ, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, τῷ Κόσμῳ ἐκύησας, τὸν τὸν Κόσμον κατέχοντα, καὶ ἐν ἀγκάλαις φέρεις, τὸν πάντα συνέχοντα, τὸν τροφοδότην πάντων, καὶ πλάστην τῆς Κτίσεως. ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, καὶ πίστει δοξάζω σε, τοῦ ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου, Δέσποινα Παρθένε Ἁγνὴ, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι. καὶ γὰρ δύνασαι, ὅσα θέλεις πανύμνητε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Παρθένος καὶ Μήτηρ τοῦ Ἰησοῦ, ἐπὶ ξύλου ὁρῶσα τὸν Ποιητὴν, ἔστενε δακρύου-

Digitized by Google

χρύσα, καὶ πικρῶς κατετρύχετο, τὴν ψυχὴν καὶ τὸ σῶμα, σπαράττουσα τύπτουσα, καὶ πρὸς αὐτὸν βοῶσα, πικρῶς καὶ κραυγάζουσα· Οἴ μοι ὦ Υἱέ μου, πῶς ἐνέγκω τὸ πάθος σου, τοὺς ἥλους καὶ τὴν λόγχην σου, ἡ ἀσπόρως σε λοχεύσασα; ἀλλὰ σπεῦσον ἐγερθῆναι, τοῦ ἰδεῖν σε Υἱὲ καὶ Θεὲ, καὶ τοῦ θρήνου παύσασθαι καὶ πόνου. καὶ οἱ ὑμνοῦντές σου τὰ πάθη, πταισμάτων λύσιν κομίσονται.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Ἰδὼν τελοῦντά σε, ὁ Σίμων θαύματα, καὶ σημεῖα μεγάλα ὑποκριθεὶς, Φίλιππε βαπτίζεται, μὴ τὴν κακίαν δὲ φυγὼν, ἀπωλείᾳ παραδέδοται.

Πολλὰς δυνάμεις σε, τελοῦντα βλέποντες, οἱ τὴν πόλιν οἰκοῦντες κήρυξ Χριστοῦ, Σαμαρείας Φίλιππε, τῆς ἐπιγνώσεως τὸ φῶς, γεγηθότες ὑποδέχονται.

Πορεύου ἔφη σοι, Κυρίου Ἄγγελος, τὰς πορείας ἰθύνων τοῦ Ἱεροῦ, Φίλιππε Αἰθίοπος, τοῦ ἐπιγνῶναι τὴν ὁδὸν, τῆς τοῦ Λόγου σωματώσεως.

Ὁ ἱερώτατος, Κανδάκης βλέψας σε, συνετίζοντα τοῦτον, σοῦ τῇ χειρὶ, Φίλιππε βαπτίζεται, καὶ πλήρης Πνεύματος ὀφθεὶς, κήρυξ θεῖος ἐχρημάτισεν.

Θεοτοκίον.

Υἱοὺς ἐτέλεσε, Θεοῦ πανάμωμε, τοὺς υἱοὺς τῶν ἀνθρώπων, ὁ σὸς Υἱὸς, ἐξ ἁγνῶν αἱμάτων σου, σωματωθεὶς καὶ γεννηθεὶς. διὰ τοῦτό σε δοξάζομεν.

Ὁ αὐτός.

Ἀσκήσει πάνσοφε, Πάτερ Θεόφανες, σε αὐτὸν ἐκκαθάρας, ὅλος φωτὸς ἔμπλεως γεγένησαι, ὅλος Θεοῦ χωρητικὸς, ὅλος Πνεύματος συμμέτοχος.

Λιμῷ τηκόμενος, δειναῖς βαλλόμενος, ἐξορίαις παμμάκαρ ἀθλητικῶς, πάσχων ἐκαρτέρησας, ἐκ διανοίας καθαρᾶς, ἐν Κυρίῳ ἀγαλλόμενος.

Ἀστράψας ἔνδοξε, τοῖς κατορθώμασι, τεθηγμένη ἐδείχθης οἷα Θεοῦ. μάχαιρα συγκόπτουσα, αἱρετικῶν τὰς μηχανὰς, θείῳ Πνεύματι ῥωννύμενος.

Θεοτοκίον.

Λυχνία πάμφωτος, ἡ θεία τράπεζα, τοῦ Θεοῦ τὸ χωρίον ἡ κιβωτὸς, ῥάβδος ἡ βλαστήσασα, ἄνθος ἐν Κόσμῳ τὸν Χριστὸν, σὺ ἐδείχθης Μητροπάρθενε.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Θυμὸν ἀνόμων μὴ πτοηθεὶς, μέσον ὡς ἀρνίον ἀληθῶς, Φίλιππε λύκων πεπόρευσαι. τούτους μεταπλάττων πρὸς τὴν εὐσέβειαν, τῆς χάριτος τῷ λόγῳ μακαριώτατε.

Ἐπὶ σφαγὴν ἤχθη ὡς ἀμνὸς, ὁ Ἐμμανουὴλ, καθὼς φησὶν, ὁ Ἡσαΐας ὁ ἔνθεος. ὅπερ ἐννοῆσαι μὴ σθένων Φίλιππε, ὁ Ἱερὸς Κανδάκης, πρὸς σοῦ διδάσκεται.

Ἱερολόγον σε Μαθητὴν, ἕνα Διακόνων τῶν Ἑπτὰ, ἐκλελεγμένον ἐπέγνωμεν, καὶ τῆς Ἐκκλησίας θεῖον θεμέλιον, καὶ πάντων τῶν ἐν σκότει, φωστῆρα Φίλιππε.

Θεοτοκίον.

Οἱ Θεοτόκον σε ἀληθῶς, καθομολογοῦντες πειρασμῶν, καὶ δυσχερῶν ἐξαιρούμεθα, σοῦ ταῖς πρὸς τὸν πάντων Θεὸν καὶ Κύριον, Παρθένε μεσιτείαις Θεοχαρίτωτε.

Ὁ αὐτός.

Ταῖς φωτοβόλοις σου ἀστραπαῖς, Πάτερ Ἱερώτατε ἀχλὺν, τὴν ζοφερὰν ἐξηφάνισας, τῶν αἱρετιζόντων θεογνωσίας φωτὶ, αὐγάζων διδαχαῖς σου Κόσμου τὰ πέρατα.

Τῶν δυσσεβῶν ὑπερασπισταὶ, σὲ τὸν ἀξιάγαστον ὄντα, δειναῖς αἰκίαις ἐτίτρωσκον. ὃν Ἀγγέλων τάξεις περιεπτύσσοντο, Χριστοῦ ὡς Ἱεράρχην καὶ θεῖον Μάρτυρα.

Ὑπῆρξας Πάτερ φωτοειδὴς, τῶν πεπλανημένων ὁδηγὸς, ἀδικουμένων κυβέρνησις. τῶν σαλευομένων Πάτερ Θεόφανες, ἑδραίωμα καὶ τεῖχος ἀκαταμάχητον.

Θεοτοκίον.

Ἡ καλλονὴ τοῦ Ἰακὼβ, ἣν Θεὸς ἠγάπησε σαφῶς, ἣν κατοικεῖν ἡρετίσα-

σα-

Digitized by Google

σατο, πιςῶν δὲ τὸ κλέος καὶ καταφύγιον, Παρθένε Θεοτόκε σὺ ἀναδέδειξαι.

Ὠδὴ ϛ΄. Τοῦ βίου τὴν θάλασσαν.

Νάμάτων τοῦ Πνεύματος, πληρωθεὶς ὡς ποταμὸς, θείας Ἐδὲμ πεπόρευσαι, προσεπικλύζων κύματι γαληνῷ, τῆς γῆς τὰ πληρώματα, καὶ ἀρδεύων καρδίας ἀξιάγαςε.

Ἀνοίξας τὸ ςόμα σου, ἐπληρώθης Μαθητὰ, πνευματικῆς συνέσεως, διανοίξας φάρυγγας πονηροῦ, τὴν ππῆξιν ἀνέσπασας, ἀναρίθμητα πλήθη καὶ διέσωσας.

Ἰσχὺς καταβέβληται, ἀοράτου δυσμενοῦς, καὶ παντελῶς ἠφάνιςαι, σοῦ ἐν ἰσχύϊ Πνεύματος τὸν Χριςὸν, κηρύττοντος Φίλιππε, ςαυρωθέντα καὶ ἔθνη προσκαλούμενον.

Θεοτοκίον.

Νομίμων τῆς φύσεως, δίχα τέτοκε Χριςὸν, τὸν πλαςουργὸν τῆς φύσεως, καὶ ὑπὲρ φύσιν ἔμεινεν ἀληθῶς, Παρθένος ἀμίαντος, ἡ Ἁγία σου Μήτηρ ὑπεράγαθε.

Ὁ αὐτός.

Ὑπάρχων ὡς Ἥλιος, θεαυγεῖς μαρμαρυγὰς, παμμάκαρ ἐξαπέςειλας, ἀνυμνῶν τῶν Μαρτύρων τοὺς αἰκισμοὺς, ςρεβλώσεις καὶ μάςιγας, καὶ τοὺς ξένους ἀγῶνας Ἱεράρχα Χριςοῦ.

Τὴν Πάναγνον Δέσποιναν, εὐφημῶν εἰλικρινῶς, τῇ γλώσσῃ σου Θεόφανες, ἐκελάδησας λόγους φωτοειδεῖς, πιςῶν τὰ συςήματα, καὶ σοφῶν τὰς καρδίας ἱλαρύνοντας.

Γραφεὶς σου τὴν πάνσεπτον, καὶ σεβάσμιον σοφὲ, ὄψιν τυράννων γράμμασιν, ἐξαλείφεις τὰ τούτων θεοςυγῆ, καὶ ἄθεα δόγματα, καταγγέλλων τιμᾶσθαι τὴν Εἰκόνα Χριςοῦ.

Θεοτοκίον.

Ὁ Πάντα βουλήματι, συστησάμενος Θεὸς καὶ περιέχων πάναγνε, περιγραφῇ τοῦ σώματος ἐν ταῖς σαῖς, ἀγκάλαις βαστάζεται, ὁ τῇ θείᾳ οὐσίᾳ ἀπερίγραπτος.

Ὁ Εἱρμός.

„ Τοῦ βίου τὴν θάλασσαν, ἰλυσμένην κα-
„ θορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ
„ εὐδίῳ λιμένι σου προσδραμὼν, βοῶ σοι ἀνά-
„ γαγε, ἐκ φθορᾶς τὴν ζωήν μου πολυέλεε.

Κοντάκ. Ἦχος α΄. Χορὸς Ἀγγελικός.

Ὡραῖος ὁ καρπὸς, τῶν χειλέων σου Πάτερ. ὁ βίος δὲ γλυκὺς, ὡς κηρίον καὶ μέλι, ἐδείχθη μακάριε, τῇ Χριςοῦ Ἐκκλησίᾳ. σὲ γὰρ ἔφριξαν, καὶ τῶν δαιμόνων τὰ πλήθη· σὲ ᾐδέσθησαν, αἱρετικῶν γλωσσαλγίαι, τὴν πίςιν τηρήσαντα.

Ὁ Οἶκος.

Ἀπὸ γῆς, καὶ δουλείας ἐλευθέρωσον τοῦ δεινοῦ πολεμήτορος, ταῖς σαῖς πρεσβείαις Θεόφανες, ὅπως ὑμνήσω τὸν ἰσάγγελον βίον σου, ὃν ἐν γῇ διετέλεσας, ἐγκρατείᾳ, ἁγνείᾳ, ἀσκήσει, δεήσει, καὶ ἀγρυπνίαις, καὶ θλίψεσιν. ἀλλ᾽ ἕως τέλους Μάκαρ, Βασιλέα ἀνομοῦντα οὐκ ἐπαύσω διελέγχων. ὅθεν σοι τὸ ςέφος διπλοῦν ὁ Δεσπότης ἐξ Οὐρανοῦ κατέπεμψε, καὶ χάριν ἀνέκλειπτον ἰᾶσθαι νοσήματα, Τὴν πίςιν τηρήσαντα.

Τῷ αὐτῷ Μηνὶ ΙΑ΄. Τοῦ Ἁγίου Ἀποςόλου Φιλίππου, ἑνὸς τῶν Ἑπτὰ Διακόνων.

Ϛί. Ὧν περ διηκόνησας ἐν γῇ πραγμάτων.
Ἐν οὐρανοῖς Φίλιππε μισθὸν λαμβάνεις.

Οὗτος ἐκ Καισαρείας τῆς κατὰ Παλαιςίνην ὁρμώμενος, καὶ γάμῳ προσομιλήσας, τέσσαρας θυγατέρας προφητευούσας ἐκέκτητο. τούτου ὁ Εὐαγγελιςὴς καὶ Θεῖος Λουκᾶς ταῖς Πράξεσιν ἀπεμνημόνευσεν. ὑπὸ δὲ τῶν Ἀποςόλων ἐν ταῖς χρείαις τῶν Ἁγίων Διάκονος καταςὰς ἅμα Στεφάνῳ καὶ τοῖς λοιποῖς· οὗτος τὴν Σαμάρειαν ἐμαθήτευσε. καὶ Σίμωνα τὸν μάγον ὑποκριθέντα ἐβάπτισεν. ὑπὸ Ἀγγέλου δὲ ἁρπαγεὶς, τὸν Αἰθίοπα καταλαβὼν εὐνοῦχον, κατηχήσας ἐβάπτισεν· εἶτα εἰς Ἄζωτον ὑπὸ Ἀγγέλου ἀπενεχθεὶς, ταύτην τῷ λόγῳ κατεφώτισε. καὶ μετὰ ταῦτα τὴν ἐν τῇ Ἀσίᾳ Τράλλιν κατέλαβεν, ἐν ᾗ θαύματα ἐργασάμενος, καὶ Ἐκκλησίαν δειμάμενος, πρὸς Κύριον ἐξεδήμησε.

Τῇ

Digitized by Google

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Ζηναΐδος, καὶ Φιλομίλλας τῶν αὐταδέλφων.

Στ. Εἰρηνικῶς ὕπνωσαν Εἰρήνης φίλαι,
Φιλομίλλα τε, καὶ Ζηναῒς αἱ δύω.
Ζηναῒς ἑνδεκάτῃ Φιλομίλλῃ σὺν ϑάψε κυδνῇ.

Αὗται ὑπῆρχον ἐκ Ταρσοῦ τῆς Κιλικίας, συγγενεῖς Παύλου τοῦ Ἀποστόλου. καὶ καταλιποῦσαι τὴν θρεψαμένην, καὶ τὴν ὕπαρξιν αὐτῶν ἀπαρνησάμεναι, τὴν ἰατρικὴν ἐν τῷ δοκεῖν μετερχόμεναι τέχνην, τῇ ἀληθείᾳ ἀποστολικὸν ἔργον ἐπλήρουν. ἤρχοντο οὖν ἐν Δημητριάδι τῇ πόλει. καὶ ἔν τινι σπηλαίῳ εἰσελθοῦσαι, τὸν βίον διῆγον. ἐκεῖσέ τε, ἡ μὲν Ζηναῒς, πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν θεραπεύουσα, πρὸς Κύριον ἐξεδήμησεν. ἡ δὲ Φιλομίλλα, μακροτάταις νηστείαις καὶ ἀγρυπνίαις ἑαυτὴν ἐκδοῦσα, θαυμάσια πλεῖστα ἀπετέλει. καὶ τῇ τῆς φύσεως ἀκολουθίᾳ δουλεύουσα, τῆς προσκαίρου ζωῆς ἀπανέστη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Θεοφάνους, ἀδελφοῦ τοῦ Ἁγίου Θεοδώρου τοῦ Γραπτοῦ.

Στ. Ὁ γραπτὸς ἐν γῇ τὴν θέαν Θεοφάνης.
Καὶ κλῆσιν ἐστὶν, ἐνθάνων Γραπτὸς Πόλῳ.

Οὗτοι γονέων ὑπάρχοντες εὐσεβῶν τῶν Παλαιστίνην οἰκούντων, καὶ τὴν φιλοξενίαν ἐπιμελουμένων, τῇ τῶν γονέων σπουδῇ, πᾶσαν φιλοσοφίαν ἐξεπαιδεύθησαν, τήν τε ἱερὰν καὶ τῶν Ἑλλήνων, καὶ τὸν μοναστὴν ὑπῆλθον βίον, εἶθ' οὕτω χειροτονοῦνται πρεσβύτεροι. Θεοφίλου δὲ τοῦ δυσσεβοῦς κατὰ τῶν Ἁγίων Εἰκόνων λυττήσαντος, καὶ κωλύοντος ταύτας προσκυνεῖν, ἀποστέλλονται οὗτοι οἱ πάνσοφοι παρὰ τοῦ τηνικαῦτα Πατριαρχοῦντος τῆς Ἁγίας Πόλεως, πρὸς τὸν μισόχριστον Βασιλέα μετὰ λιβέλλου, οἳ κατὰ πρόσωπον στάντες, καὶ θεομάχον αὐτὸν ἀπελέγξαντες, ἐγκλείονται ἀμφότεροι ἐν τῇ εἱρκτῇ ἐπὶ πολὺν χρόνον, εἶτα τὸν μακάριον Θεόδωρον ἐκ τοῦ δεσμωτηρίου ὁ ἀνόσιος ἐφ' ἑαυτὸν καλέσας, καὶ τύψας σφοδρῶς, καὶ ταῖς ὄψεσιν αὐτοῦ ἐγκολάψας στίχους ἰάμβους, πάλιν τῇ φρουρᾷ παραπέμπει. Θεοφάνην δὲ τὸν Ἅγιον, τὰ αὐτὰ τῷ ἀδελφῷ πεπονθότα, εἰς Θεσσαλονίκην ὑπερορίζει. ὃς μετὰ τὴν καταστροφὴν τοῦ δυσσεβοῦς Θεοφίλου, ἀνακληθεὶς ὑπὸ Μιχαὴλ καὶ Θεοδώρας τῶν εὐσεβῶν Βασιλέων, προβάλλεται Μητροπολίτης τῆς κατὰ Νίκαιαν Ἐκκλησίας παρὰ Μεθοδίου Πατριάρχου, τοῦ τὴν χριστιανομάχον αἵρεσιν καταλύσαντος. καὶ οὕτω θεοφιλῶς τὴν Ἐκκλησίαν, καὶ τὸ ποίμνιον κυβερνήσας, τῆς παρούσης ζωῆς ὑπεξίσταται.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Πατριαρχῶν Κωνσταντινουπόλεως, Νεκταρίου, Ἀρσακίου, καὶ Σισινίου.

Στ. Ὁ Νεκτάριος οὐ τὸ τοῦ μύθου Λόγε.
Ἀληθινὸν δὲ σῆς τρυφῆς νέκταρ πίνει.
Τὸν Χριστὸν ἐν γῇ Ἀρσάκιος δοξάσας,
Πρὸς αὐτὸν ἐλθὼν, ἀντεδοξάσθη πλέον.
Ἄσμενος ἦραν πνεῦμα τὸ Σισινίου,
Οὐ σιαινθὲν μηχαναῖς τῶν δαιμόνων.
Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις Χριστέ.

Ὠδὴ ζ'. Δροσοβόλον μέν.

Ἐπεβίβασαν ὡς ἵππον σε ταράσσοντα, ἐχθρῶν θαλάσσας Φίλιππε, ὁ ὑπέρθεος κεφαλὰς συνθλῶντα τῶν ἐχθρῶν. καὶ μέλποντα τούτῳ ἐμμελῶς, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Εὐαγγελίζων τὸ πρὸ πάντων ἀποκείμενον, αἰώνων σοὶ μυστήριον, μυστολέκτης τε, χρηματίσας Φίλιππε σοφὲ, ἐμύησας ἔθνη καὶ λαοὺς, καὶ μυστηρίων ἐναγῶν ἐναπεκάθηρας.

Ὑψώθης ἔνδοξος ἀνὴρ μέγιστε Φίλιππε, καὶ Τράλλης ἐγκαλλώπισμα. ἐν ᾗ τὸ σῶμα τὸ σεπτόν σου κείμενον τελεῖ, θαυμάτων παράδοξα σοφὲ, εἰς φωτισμὸν τῶν εὐσεβῶς μακαριζόντων σου.

Θεοτοκίον.

Κυοφόρον σε Παρθένον ὀνομάζομεν, Μαρία θεονύμφευτε, οἱ σῳζόμενοι διὰ σοῦ ἡμέρας καὶ νυκτὸς, ἐχθρῶν ἐπηρείας βλαβερᾶς, καὶ πειρασμῶν παντοδαπῶν, καὶ ψυχικῶν μολυσμῶν.

Digitized by Google

Ἄλλος.

Ἄλλος. Οἱ Παῖδες ἐν Βαβυλῶνι.

Ὀρθοτομήσας τὸν λόγον, μαστίγων πεῖραν ὑπέμεινας, ἐξορίας πικράς, καὶ κακώσεις Ἱεράρχα Θεόφανες, εὐλογητὸς εἶ ἔψαλλες, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Οἱ ποταμοί σου τῶν λόγων τῶν μελιρρύτων Θεόφανες, τῶν ἀνθρώπων ψυχάς, εὐφροσύνης ἐνθέου ἐπλήρωσαν, ὑμνολογούντων ᾄσμασι, τὸν Θεὸν τῶν Πατέρων ἡμῶν.

Τὸν δρόμον σου Ἱεράρχα, τετελεκὼς μεταβέβηκας, ἐν ὑψίστοις Χριστῷ, σὺν Ἀγγέλοις κραυγάζων Θεόφανες· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἐν σοὶ τὸ μέγα ἐπράχθη, Παρθενομῆτορ μυστήριον. ὁ Υἱὸς τοῦ Θεοῦ, ἐν γαστρί σου σκηνώσας ἐπέφανεν, ᾧ γεννηθέντες ψάλλομεν, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Λόγῳ θείῳ παμμάκαρ καθάπερ ἅλατι, κεχρημένος τῆς πλάνης ἐναπεκάθηρας, σῆψιν χαλεπήν, καρδίας ὑγιώσας, σέβειν καὶ δοξάζειν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἐστερεοῦντο βάσεις χωλῶν τῷ λόγῳ σου, καὶ βοῶντα μεγάλῃ, φωνῇ ἐξήρχετο, πνεύματα σοφέ, τῶν ἐχόντων ἀκάθαρτα, φέρειν τὴν δοθεῖσαν, μὴ σθένοντά σοι χάριν.

Οἱ Σαμάρειαν πάλαι οἰκοῦντες Φίλιππε, τὸ τῆς χάριτος φέγγος, ὑπὸ σοῦ δέχονται· βλέποντες πολλά, ἐκτελοῦντά σε θαύματα, Πνεύματος δυνάμει, πηγῆς τῶν χαρισμάτων. Θεοτοκίον.

Σαλευθεῖσαν κακίᾳ τοῦ πολεμήτορος, τὴν ψυχήν μου Παρθένε Ἁγνὴ στερέωσον, ἡ τὸν Θεϊκῇ ἐπιβλέψει σαλεύοντα, πάντα δεξαμένη, καὶ μὴ σαλευομένη.

Ἄλλος. Νόμων Πατρῴων.

Νόμων Πατρῴων παμμακάριστε, τῆς ἀληθείας φέρων ὡς ἐννομώτατος, βασιλεύοντος κατέπτυσας προσταγῆς ἀλογίστου, τοῦ ἀναιροῦντος Πάτερ τοῦ Κυρίου τὴν μορφήν, εὐσεβῶς κατασπάζεσθαι· ἣν λαβὼν ἐν τῷ Κόσμῳ, ἐπέφανεν ἐκ Κόρης Παρθένου. ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ μύστης ὁ θεῖος ἡ τοῦ Πνεύματος, τοῦ Παναγίου λύρα ἡ παναρμόνιος, ἀηδὼν ἡ καλλικέλαδος, τῶν πιστῶν ἡ ἀκρότης, ὀρθοδοξίας στῦλος καὶ ἑδραίωμα σοφέ. Ἐκκλησίας τὸ στήριγμα, μοναζόντων τὸ κλέος Θεόφανες, πατέρων ἡ δόξα, μέλπων ἀνεδείχθης, Χριστὸν εἰς τοὺς αἰῶνας.

Μυροθήκη ἡ τοῦ Πνεύματος, τοῦ Παναγίου Πάτερ σὺ ἀναδέδειξαι. προφορᾷ τῶν μυριπνόων σου, καὶ σοφῶν διδαγμάτων, ἐξαφανίζεις πλάνης δυσωδέστατον φθοράν. καὶ μυρίζεις τοῖς λόγοις σου τὴν σεπτὴν Ἐκκλησίαν, κραυγάζων ἀσιγήτως ἐν ὕμνοις· σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Θεοῦ τὸ ὄρος τὸ πιότατον, ὃ ὁ Προπάτωρ πάλαι Δαβὶδ προέγραψε, μελῳδῶν προφητικώτατα, σὺ ἐδείχθης Παρθένε, ἐξ οὗ ἐτμήθη, λίθος ὁ ἀκρόγωνος Χριστός, καὶ συνέτριψεν ἅπασαν, τὴν ἰσχὺν τῶν εἰδώλων· αὐτὸν ἀκαταπαύστως ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

„Νόμων Πατρῴων οἱ μακάριοι, ἐν
„Βαβυλῶνι Νέοι προκινδυνεύοντες,
„Βασιλεύοντος κατέπτυσαν, προ-
„σταγῆς ἀλογίστου. καὶ συνημμένοι, ᾧ οὐκ
„ἐχωνεύθησαν πυρί, τοῦ κρατοῦντος ἐπά-
„ξιον ἀνέμελπον τὸν ὕμνον. τὸν Κύριον
„ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάν-
„τας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν.

Ἰδὼν τὰ πάλαι σοι ἐλπιζόμενα, καὶ τοῦ Θεοῦ λαβὼν τὴν Βασιλείαν ἀσάλευτον. περὶ ἧς τοὺς ἀνθρώπους ἐδίδαξας, Φίλιππε θεηγόρε, τέρπου καὶ χόρευε, θείου ἀπολαύων φωτισμοῦ καὶ παρακλήσεως.

Ὡς φῶς ὡς ἄστρον ὡς μέγας Ἥλιος, φωτιστικαῖς ἀκτῖσιν Οἰκουμένην ἐπέδραμες, διαγγέλλων τὸ ἔνθεον κήρυγμα, Τράλλην δὲ τῆς Ἀσίας, Πόλιν ἐπέφθασας, ἧς ἐπισκοπεύσας, ἐν αὐτῇ Μάκαρ κεκοίμησαι.

Σταυρὸν καὶ θάνατον καὶ τὴν ἔγερσιν, τοῦ Λυτρωτοῦ τοῖς πέλας καὶ τοῖς πόῤῥω κα-

Digitized by Google

κατήγγειλας, Οὐρανὸς χρηματίσας καὶ ἀστέρας, θείαις φωτοχυσίαις ἀγλαϊζόμενος, Φίλιππε Ἀπόστολε Χριστοῦ, ἀξιοθαύμαστε.

Ἡ γῆ τὸ σῶμά σου τὸ πολύαθλον, μαρμαρυγὰς ἐκπέμπον, ἰαμάτων ἐκάλυψεν. Οὐρανὸς δὴ τὸ ἅγιον πνεῦμά σου, κατὰ τῶν Ἀποστόλων φέρει γηθόμενον. μεθ' ὧν ἡμῶν μέμνησο σοφέ, τῶν εὐφημούντων σε. Θεοτοκίον.

Φωνὴν προσάγει σοι χαριστήριον, πᾶσα πνοὴ βοῶσα, χαρμοσύνως καὶ λέγουσα· χαῖρε θρόνε ὑψίστου πυρίμορφε· χαῖρε Θεοῦ χωρίον εὐρυχωρότατον· χαῖρε Ἀποστόλων καὶ εὐπρεπές, Ἁγνὴ στεφάνωμα.

Ἄλλος. Ἀπορεῖ πᾶσα γλῶσσα.

Ὑπερμαχοῦντα ὑπὲρ τῆς Χριστοῦ, Ἐκκλησίας, ὁ βροτοκτόνος, βλέπειν οὐκ ἰσχύων σε, πειρασμοὺς σοι ἐπεκτείνει. ὅμως ἀκλινὴς μεμένηκας, ἀνδρειοφρόνως πρὸς Βασιλεῖς σκαιοὺς ἀνθιστάμενος πείθων, τούτους προσκυνεῖν τὴν Εἰκόνα Χριστοῦ Θεόφανες.

Τῶν σῶν ἀγώνων εἴληφας ἀξίως τὰ γέρα, καὶ στεφηφόρος, νῦν ἐν Οὐρανοῖς, μετ' Ἀγγέλων συνευφραίνῃ. ἔνθα Προφητῶν τὸ σύστημα, καὶ Ἀποστόλων, καὶ τῶν Μαρτύρων ὁμοῦ στρατόπεδα μάκαρ. ἔνθα ἑορταζόντων ἦχος, Πάτερ Θεόφανες.

Μὴ ἐπιλάθῃ ἐν ταῖς πρὸς Θεόν σου πρεσβείαις, τοὺς ἐκτελοῦντας, σου τὴν πανσεβάσμιον ἡμέραν Ἱεράρχα. πάσης ἀπειλῆς λυτρούμενος, ἀπαγωγῆς τε, δεινῆς τῶν ἁμαρτιῶν καὶ θλίψεων πολλῶν, σώζων καὶ περιέπων ἐκ βλάβης, Πάτερ Θεόφανες. Θεοτοκίον.

Ὑπερμαχοῦσα Ἄνακτι πιστῶς, ἐν πολέμοις κατὰ βαρβάρων, δίδου νικητήρια Παρθένε Θεοτόκε, σκέπουσα παντοίας βλάβης ἐχθρῶν εὐλογημένη, δεδοξασμένη Μήτηρ ἀπείρανδρε Κόρη, ἵνα τὸν σὸν Υἱὸν ἀνυμνοῦντες, σὲ μεγαλύνωμεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Τὸ θυτεμεῖς ποιούμενος, ὁ Κανδάκης Αἰθίοψ, τὰς τρίβους ἐπὶ ἅρματος, Ἠσαΐου τὴν βίβλον, ἀναγινώσκων ἠπόρει. ὃν ὁ Φίλιππος φθάσας, ὑπὸ τοῦ θείου Πνεύματος, τῶν ἀπόρων τὴν λύσιν μυσταγωγεῖ. καὶ βαπτίσας, κήρυκα ἀποστέλλει, τῆς Ἰησοῦ Θεότητος, πάσης Αἰθιοπίας.

Ἕτερον. Ὅμοιον.

Τῷ τοῦ Χριστοῦ νῦν βήματι, παρεστὼς Ἱεράρχα, μετὰ τῆς Θεομήτορος, καὶ Παναγνοῦ Παρθένου, ἐκδυσωπῶν μὴ ἐλλείπῃς, νίκην κατὰ βαρβάρων, τῷ Σταυροφόρῳ Ἄνακτι, καὶ εἰρήνην τῷ Κόσμῳ καὶ ψυχικήν, σωτηρίαν πάνσοφε τοῖς τελοῦσι, τὴν μνήμην σου Θεόφανες, ἀσκητῶν ὡραιότης.

Εἰς τὸν Ν. τῆς Ὀκτωήχου.

Εἰς τὴν Λειτουργίαν τὰ συνήθη Τυπικά, καὶ τὰ ἄλλα κατὰ τὴν τάξιν αὐτῶν.

# ΤΥΠΙΚΟΝ.

Περὶ τῆς Ζ΄. Συνόδου, τὸ πῶς, καὶ πότε ὀφείλει ψάλλεσθαι. Κεφ. γ΄.

Χρὴ εἰδέναι, ὅτι ἡ Ἀκολουθία τῆς Ἁγίας καὶ Οἰκουμενικῆς Ζ΄. Συνόδου, τῆς ἐν Νικαίᾳ συνελθούσης τὸ δεύτερον, μετὰ τὴν ια΄. τοῦ Ὀκτωβρίου Μηνὸς, τῇ ἐρχομένῃ Κυριακῇ, ψάλλεται. Εἰ δὲ τύχῃ ἡ ια΄. τοῦ αὐτοῦ Μηνὸς ἐν Κυριακῇ, ψάλλεται κατὰ ταύτην τὴν Κυριακὴν καὶ ἡ Ἀκολουθία τῆς Ζ΄. Συνόδου τῶν Ἁγίων Πατέρων. Ἡ δὲ τῶν Ἁγίων καταλιμπάνεται, καὶ ψάλλεται ὅτε θέλει ὁ Ἐκκλησιάρχης. Ὀψὲ Σαββάτῳ, ἐν τῷ μικρῷ Ἑσπερινῷ, στιχηρὰ Ἀναστάσιμα, καὶ τῆς Θεοτόκου, ὡς σύνηθες. Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ μετὰ τὴν συνήθη στιχολογίαν. Εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ Ἀναστάσιμα γ΄. Ἀνατολικὰ γ΄. καὶ τῶν Ἁγίων Πατέρων γ΄. προσόμοια, Ἦχος Πλ. β΄. πρὸς, Ἡ ἀπεγνωσμένη, δευτεροῦντες τὸ ἕν. Δόξα, τῶν Ἁγίων Πατέρων, ἦχος πλ. β΄. Τὰς μυστικὰς σήμερον τοῦ πνεύματος σάλπιγγας. Καὶ νῦν. Θεοτοκίον. τὸ α΄. τοῦ ἤχου. Τὰ Ἀναγνώσματα, οἱ

τῆς

Digitized by Google

τῆς α'. Συνόδε, ἀλλὰ τὰ ἐν τῇ Προφητείᾳ ἀνευρισκόμενα. Εἰς τὴν λιτὴν, τὸ στιχηρὸν τῆ Ἁγίε τῆς Μονῆς, καὶ δογματικὸν τῆς Θεοτόκε. Δόξα, τῶν Ἁγίων Πατέρων, ἦχος γ'. Ἀποστολικῶν παραδόσεων. Καὶ νῦν, τῆ α'. β'. εἰς τὸν αὐτὸν ἦχον, Εἰς τὸν στίχον, στιχηρὰ Ἀναστάσιμα τῆ ἤχε, καὶ τῆ α'. β'. Δόξα, τῶν Ἁγίων Πατέρων, ἦχος δ'. Τὴν ἐτήσιον μνήμην σήμερον. Καὶ νῦν. Θεοτοκίον, τῆ α'. β'. εἰς τὸν αὐτὸν ἦχον. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων. Θεοτόκε Παρθένε, Δίς. Καὶ τῶν Ἁγίων Πατέρων, Τροπάριον, ἦχος πλ. δ'. Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεός. Ἅπαξ. ἡ Ἀνάγνωσις εἰς τὰς Ἐπιστολάς. Εἰς τὸν Ὄρθρον. εἰς τὸ, Θεὸς Κύριος. Τροπάριον τὸ Ἀναστάσιμον, Δίς. Δόξα. τῶν Ἁγίων Πατέρων. Καὶ νῦν. Θε. τὸ α'. εἰς τὸν αὐτὸν ἦχον. Εἰς τὰ Καθίσματα τῆς στιχολογίας, Καθίσματα τὰ Ἀναστάσιμα, μετὰ τῶν Θεοτοκίων αὐτῶν. Ὁ Ἄμωμος. Ἡ Ὑπακοή. καὶ οἱ Ἀναβαθμοὶ τῆ ἤχε. Προκείμενον. Πᾶσα πνοή. Εὐαγγέλιον. Ἀνάστασιν Χριστῆ θεασάμενοι. Ὁ Πεντηκοστός, στιχηρὸν Ἀναστάσιμον. Οἱ Κανόνες. ὁ Ἀναστάσιμος, εἰς δ'. καὶ τῆς Θεοτόκε, εἰς δ'. καὶ τῶν Ἁγίων εἰς ς'. ἀπὸ γ'. Ὠδῆς, Κάθισμα τῶν Ἁγίων Πατέρων. Δόξα, καὶ νῦν, τὸ α'. εἰς τὸν αὐτὸν ἦχον. Ἀφ' ἕκτης, Κοντάκιον τῶν Ἁγίων Πατέρων. Τῶν Ἀποστόλων τὸ κήρυγμα, καὶ τῶν Πατέρων τὰ δόγματα. Ἐξαποστειλάριον Ἀναστάσιμον, Τῶν Ἁγίων Πατέρων, καὶ Θεοτοκίον. Εἰς τὰς Αἴνες. τὸ, Πᾶσα πνοή. στιχηρὰ Ἀναστάσιμα δ'. καὶ τῶν Ἁγίων Πατέρων, προσόμοια γ'. ἦχος πλ. β'. πρὸς, Ὅλην ἀποθέμενοι. Δευτερῶντες τὸ α'. μετὰ τῶν στίχων, Θεὸς Θεῶν Κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν, στίχος. Συναγάγετε αὐτῷ τὰς ὁσίες αὐτῆ. Δόξα, τῶν Ἁγίων. Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε. Δοξολογία μεγάλη. Τροπάριον τὸ Ἀναστάσιμον. ἡ Ἐκτενής, ἡ Κατήχησις, καὶ Ἀπόλυσις. Ἡ συνήθης λιτή. Δόξα, τὸ Ἑωθινὸν, καὶ ἡ α'. ὥρα ἐν τῷ Νάρθηκι. Ἐν ταῖς ὥραις. Τροπάριον τὸ Ἀναστάσιμον. καὶ τῶν Ἁγίων Πατέρων. Εἰς τὴν Λειτεργίαν Τυπικά. καὶ οἱ Μακαρισμοὶ τῆ ἤχε, εἰς ς'. καὶ ἡ ς'. ᾠδὴ τῶν Ἁγίων Πατέρων, εἰς δ'. Τροπάριον, τὸ Ἀναστάσιμον, καὶ τῶν Ἁγίων Πατέρων. Δόξα. Κοντάκιον, τῶν Ἁγίων. καὶ νῦν. Θεοτοκίον. Προκείμενον, πρὸς τὸν ἦχον. καὶ τῶν Ἁγίων Πατέρων. Ὁ Ἀπόστολος τῆς ἡμέρας, καὶ τῶν Ἁγίων. Πρὸς Τίτον Ἐπιστολῆς Παύλε. Τέκνον Τίτε, πιστὸς ὁ λόγος. Εὐαγγέλιον τῆς ἡμέρας, καὶ τῶν Ἁγίων Πατέρων. Ἐκ τῆ κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος. Ὑμεῖς ἐστὲ τὸ φῶς τῆ Κόσμε. Ζήτει τῇ ια'. τῆ αὐτῆ Μηνός. Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν Οὐρανῶν, καὶ, Εἰς μνημόσυνον αἰώνιον.

## ΚΥΡΙΑΚΗ.

Μετὰ τὴν ενδεκάτην τῆ παρόντος Μηνὸς, Μνήμην ἐπιτελῆμεν τῶν Ἁγίων Πατέρων, τῆς Ἑβδόμης καὶ Ἁγίας καὶ Οἰκεμενικῆς Συνόδου, τῶν ἐν Νικαίᾳ συνελθόντων τὸ δεύτερον, ἐπὶ καθαιρέσει καὶ ἀνατροπῇ τῶν ἀθέων δογμάτων τῶν μισοχρίστων καὶ Χριστιανοκατηγόρων Εἰκονομάχων, τοῦ τε Κοπρωνύμου, καὶ τῶν αὐτῷ συμφρονέντων ἀθλίων Ἐπισκόπων, καὶ ἱερέων Ἀρχιερέων, καὶ τῶν αὐτῶν ἀθέσμων, καὶ ἐξαγίστε Συνεδρίου. Ψάλλεται δὲ ἡ τοιαύτη Ἑορτὴ κατὰ τὴν ἐνδεκάτην, εἴπερ τύχῃ Κυριακῇ.

Ἑσπέρας. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι'. καὶ ψάλλομεν στ. Ἀναστάσιμα γ'. καὶ Ἀνατολικὸν α'. καὶ τῶν Ἁγίων Πατέρων στ. προσόμοια ς'. Ἦχος Πλ. β'.

Ἡ ἀπεγνωσμένη.

Τὰς σεπτὰς Συνόδες τὰς τῶν Πατέρων, κατὰ διαφόρους καιρὲς συστάσας, εἰς μίαν συνήθροισεν ἐν Κανόνι τῷδε, μάλα καλῶς ὁ Πατριάρχης, ὁ Γερμανὸς ὁ νέος, γράφων ὁμῦ τε καὶ κρατύνων, τὰ δόγματα



Digitized by Google

τα τὰ τούτων. ὃς καὶ πρέσβεις αὐτοὺς ἀκρύπτους, τῆς σωτηρίας τῷ Κυρίῳ προβάλλεται, καὶ τοῦ ποιμνίου συμποιμένας.

Τὸ τοῦ νόμου γράμμα παισὶν Ἑβραίων, ἔθετο τιμίαν τὴν Ἑβδομάδα, σκιᾷ προσανέχουσι, καὶ λατρεύουσι ταύτῃ. ἥν περ Πατέρες συνδραμόντες, ἐν Ἑπτάδι Συνόδῳ, μόνου Θεοῦ τοῦ ἐν ἑξάδι, ἡμερῶν σύμπαν τόδε, ἀπαρτίσαντος, καὶ τὴν ἑβδόμην εὐλογήσαντος, σεμνοτέραν εἰργάσασθε, ὅρον ἐκθέμενοι Πίστεως.

Τὴν Τριάδα πᾶσιν ἐκ τῶν πραγμάτων, τῆς κοσμογενείας οὖσαν αἰτίαν, τρανῶς παρεδώκατε τρισόλβιοι Πατέρες. τρεῖς γὰρ καὶ τέσσαρας Συνόδους, μυστικωτάτῳ λόγῳ θέντες, καὶ ἔκδικοι φανέντες, τοῦ ὀρθοδόξου λόγου, τὰ στοιχεῖα τὰ τέσσαρα ὄντα. καὶ τὴν Τριάδα ἐνεφήνατε, κτίσασαν ταῦτα, καὶ Κόσμον ποιήσασαν.

Ἤρεσε καὶ μίαν ζωὴν ἐμπνεῦσαι, τῷ κειμένῳ γόνῳ τῆς ὑπουργούσης, Προφήτου ἀνάκαμψις Ἐλισσαιὲ τῷ πάνυ. ὅμως ἀνέκαμψεν ἑπτάκις, καὶ συνέκυψε τούτῳ. οἷα Προφήτης προαγγέλλων, τὰς ὑμῶν συνελεύσεις. αἷς τὴν νέκρωσιν τοῦ Θεοῦ Λόγου ἐμψυχώσατε, θανατώσαντες Ἄρειον, καὶ τοὺς ἐκείνῳ συγκάμνοντας.

Τὸν διῃρημένον Χριστοῦ χιτῶνα, καὶ διερρηγμένον κυσὶν ὑλακταῖς, σοφῶς συνερράψατε σεβάσμιοι Πατέρες. βλέπειν τὴν γύμνωσιν τὴν τούτου, μηδαμῶς ἐνεγκόντες, ὥς περ ὁ Σήμ τε καὶ Ἰάφεθ, τὴν Πατρῴαν τῷ πάλαι, καταισχύναντες τὸν πατραλοίαν, καὶ τοὺς ἐκείνῳ συμφρονήσαντας Ἄρειον, τὸν τῆς μανίας ἐπώνυμον.

Τοὺς Μακεδονίους καὶ Νεστορίους, καὶ τοὺς Εὐτυχέας καὶ Διοσκόρους, Ἀπολλιναρίους τε, Σαβελλιοσεβήρους, λύκους βαρεῖς ἀποδειχθέντας, ἐν δέρμασι προβάτων, πόρρω τῆς Ποίμνης τοῦ Σωτῆρος, ὡς ἀληθεῖς Ποιμένες, ἀπηλάσατε γυμνοὺς κωδίων, τοὺς τρισαθλίους καταστήσαντες ἄριστα. ὅθεν ὑμᾶς μακαρίζομεν.

Δόξα. Ἦχος Πλ. β΄.

Τῆς μυστικῆς σήμερον τοῦ Πνεύματος σάλπιγγος, τοὺς θεοφόρους Πατέρας ἀνευφημήσωμεν· τοὺς μελῳδήσαντας ἐν μέσῳ τῆς Ἐκκλησίας, μέλος ἐναρμόνιον θεολογίας, Τριάδα μίαν ἀπαράλλακτον, οὐσίαν τε καὶ Θεότητα. τοὺς καθαιρέτας Ἀρείου, καὶ Ὀρθοδόξων προμάχους. τοὺς πρεσβεύοντας πάντοτε Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτ. τὸ α΄ τοῦ ἤχου.

Εἴσοδος. Φῶς ἱλαρόν. τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Κεφ. ιδ΄. 14. Ἀκούσας Ἄβραμ, ὅτι ᾐχμαλώτευται Λὼτ ὁ ἀδελφιδοῦς αὐτοῦ, ἠρίθμησε τοὺς ἰδίους οἰκογενεῖς αὐτοῦ, τριακοσίους δέκα καὶ ὀκτώ. καὶ κατεδίωξεν ὀπίσω αὐτῶν ἕως Δάν. καὶ ἐπέπεσεν ἐπ᾽ αὐτοὺς τὴν νύκτα, αὐτὸς καὶ οἱ Παῖδες αὐτοῦ μετ᾽ αὐτοῦ. καὶ ἐπάταξεν αὐτούς, καὶ ἐδίωξεν αὐτοὺς ἕως Χοβάλ, ἥ ἐστιν ἀριστερὰ Δαμασκοῦ. καὶ ἀπέστρεψε πᾶσαν τὴν ἵππον Σοδόμων. καὶ Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ ἀπέστρεψε, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ τὰς γυναῖκας καὶ τὸν λαόν. ἐξῆλθε δὲ Βασιλεὺς Σοδόμων εἰς συνάντησιν αὐτῷ, μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς τοῦ Χολοδογόμορ, καὶ τῶν Βασιλέων τῶν μετ᾽ αὐτοῦ, εἰς τὴν κοιλάδα τοῦ Σαβῆ. τοῦτο ἦν πεδίον Βασιλέως. καὶ Μελχισεδὲκ Βασιλεὺς Σαλὴμ ἐξήνεγκεν ἄρτον καὶ οἶνον. ἦν δὲ Ἱερεὺς τοῦ Θεοῦ τοῦ Ὑψίστου. καὶ εὐλόγησε τὸν Ἄβραμ, καὶ εἶπεν· εὐλογημένος Ἄβραμ τῷ Θεῷ τῷ Ὑψίστῳ, ὃς ἔκτισε τὸν Οὐρανὸν καὶ τὴν γῆν. καὶ εὐλογητὸς ὁ Θεὸς ὁ Ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι.

Δευτερονομίου τὸ Ἀνάγνωσμα.

Κεφ. α΄. 7. Εἶπε Μωσῆς πρὸς τοὺς Υἱοὺς Ἰσραήλ· ἴδετε, παρέδωκα ἐνώπιον ὑμῶν τὴν γῆν. εἰσελθόντες κληρονομήσατε τὴν γῆν, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν ἡμῶν, τῷ Ἀβραάμ, καὶ τῷ Ἰσαάκ, καὶ τῷ

Ἰα-

Digitized by Google

Ἰακὼβ, δοῦναι αὐτοῖς αὐτὴν, καὶ τῷ σπέρματι αὐτῶν μετ᾽ αὐτούς. καὶ εἶπον πρὸς ὑμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· οὐ δυνήσομαι μόνος φέρειν ὑμᾶς. Κύριος ὁ Θεὸς ἡμῶν ἐπλήθυνεν ὑμᾶς. καὶ ἰδοὺ ἐστὲ σήμερον ὡς τὰ ἄστρα τοῦ Οὐρανοῦ τῷ πλήθει. Κύριος ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, προσθείη ὑμῖν, ὡς ἐστὲ χιλιοπλασίως. καὶ εὐλογήσαι ὑμᾶς, καθότι ἐλάλησεν ὑμῖν. καὶ ἔλαβον ἐξ ὑμῶν ἄνδρας σοφοὺς καὶ ἐπιστήμονας καὶ συνετοὺς, καὶ κατέστησα αὐτοὺς ἡγεῖσθαι ἐφ᾽ ὑμῶν, χιλιάρχους καὶ ἑκατοντάρχους, καὶ πεντηκοντάρχους καὶ δεκάρχους, καὶ γραμματοεισαγωγεῖς τοῖς κριταῖς ὑμῶν, ἐν τῷ καιρῷ ἐκείνῳ, λέγων· διακούετε ἀνὰ μέσον τῶν ἀδελφῶν ὑμῶν. καὶ κρίνετε δικαίως, ἀνὰ μέσον ἀνδρὸς, καὶ ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἀνὰ μέσον τοῦ προσηλύτου αὐτοῦ. οὐκ ἐπιγνώσῃ πρόσωπον ἐν κρίσει, κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν κρινεῖς. οὐ μὴ ὑποστείλῃ πρόσωπον ἀνθρώπου. ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστιν.

Δευτερονομίου τὸ Ἀνάγνωσμα.

Κεφ. ι. 14. Εἶπε Μωσῆς πρὸς τοὺς Υἱοὺς Ἰσραήλ. ἰδοὺ Κυρίου τοῦ Θεοῦ σου ὁ Οὐρανὸς, καὶ ὁ Οὐρανὸς τοῦ Οὐρανοῦ. ἡ γῆ καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ. πλὴν τοὺς Πατέρας ὑμῶν προείλετο Κύριος ἀγαπᾷν αὐτούς. καὶ ἐξελέξατο τὸ σπέρμα αὐτῶν μετ᾽ αὐτοὺς, ὑμᾶς παρὰ πάντα τὰ ἔθνη κατὰ τὴν ἡμέραν ταύτην. καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, καὶ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε ἔτι. ὁ γὰρ Κύριος ὁ Θεὸς ἡμῶν, οὗτος Θεὸς τῶν Θεῶν, καὶ Κύριος τῶν Κυρίων. ὁ Θεὸς ὁ μέγας καὶ ἰσχυρὸς καὶ φοβερὸς, ὅστις οὐ θαυμάζει πρόσωπον, οὐδὲ μὴ λάβῃ δῶρον, ποιῶν κρίσιν προσηλύτῳ, καὶ ὀρφανῷ καὶ χήρᾳ, καὶ ἀγαπᾷ τὸν προσήλυτον, δοῦναι αὐτῷ ἄρτον καὶ ἱμάτιον. Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ. αὐτὸς καύχημά σου, καὶ οὗτος Θεός σου, ὅστις ἐποίησέ σοι τὰ μεγάλα καὶ τὰ ἔνδοξα ταῦτα, ἃ εἶδον οἱ ὀφθαλμοί σου.

Εἰς τὴν Λιτὴν, τὰ συνήθη.

Δόξα. Ἦχος γ΄.

Ἀποστολικῶν παραδόσεων, ἀκριβεῖς φύλακες γεγόνατε Ἅγιοι Πατέρες. τῆς γὰρ Ἁγίας Τριάδος τὸ Ὁμοούσιον, ὀρθοδόξως δογματίσαντες, Ἀρείου τὸ βλάσφημον συνοδικῶς κατεβάλετε. μεθ᾽ ὃν καὶ Μακεδόνιον, πνευματομάχον ἀπελέγξαντες, κατεκρίνατε Νεστόριον, Εὐτυχέα καὶ Διόσκορον, Σαβέλλιόν τε καὶ Σεβῆρον τὸν ἀκέφαλον. ὧν τῆς πλάνης, αἰτήσασθε ῥυσθέντας ἡμᾶς, ἀκηλίδωτον ἡμῶν τὸν βίον, ἐν τῇ πίστει φυλάττεσθαι δεόμεθα.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε ἡ προστασία πάντων τῶν δεομένων, εἰς σὲ θαρροῦμεν, εἰς σὲ καυχώμεθα. ἐν σοὶ πᾶσα ἡ ἐλπὶς ἡμῶν ἐστί. πρέσβευε τῷ ἐκ σοῦ τεχθέντι, ὑπὲρ ἀχρείων δούλων σου.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου.

Τὰ κατὰ ἀλφάβητον. Δόξα. Ἦχος δ΄.

Τὴν ἐτήσιον μνήμην σήμερον, τῶν θεοφόρων Πατέρων, τῶν ἐκ πάσης τῆς Οἰκουμένης συναθροισθέντων, ἐν τῇ λαμπρᾷ Πόλει Νικαέων, τῶν Ὀρθοδόξων τὰ συστήματα, εὐσεβοῦντες πιστῶς ἑορτάσωμεν. οὗτοι γὰρ τοῦ δεινοῦ Ἀρείου τὸ ἄθεον δόγμα, εὐσεβοφρόνως καθεῖλον, καὶ τῆς Καθολικῆς Ἐκκλησίας, συνοδικῶς τοῦτον ἐξωστράκισαν, καὶ τρανῶς τὸν Υἱὸν τοῦ Θεοῦ, ὁμοούσιον καὶ συναΐδιον, πρὸ τῶν αἰώνων ὄντα, τοῖς πᾶσιν ἐδίδαξαν ὁμολογεῖν, ἐν τῷ τῆς πίστεως Συμβόλῳ, ἀκριβῶς καὶ εὐσεβῶς τοῦτο ἐκθέμενοι, ὅθεν καὶ ἡμεῖς τοῖς θείοις αὐτῶν δόγμασιν ἑπόμενοι, βεβαίως πιστεύοντες λατρεύομεν, σὺν Πατρὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ Πανάγιον, ἐν μιᾷ Θεότητι, Τριάδα ὁμοούσιον.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Νεῦσον παρακλήσεσι, σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις. πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα. σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ

βε-

Digitized by Google

βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι. σπεῦσον εἰς ἱκεσίαν, τῶν σοὶ πιστῶς βοώντων· χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Τροπάριον. Ἦχος Πλ. δ'.

Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς τοὺς Πατέρας ἡμῶν θεμελιώσας, καὶ δι' αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν πάντας ἡμᾶς ὁδηγήσας, πολυεύσπλαγχνε δόξα σοι.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολ. οἱ Πατέρων, εἰς ϛ'. ὁ Κανὼν τῶν Ἁγίων. Πατέρων, εἰς ϛ'. ὁ Κανὼν τῶν Ἁγίων.

Οὗ ἡ ἀκροστιχίς.

Ὕμνω μακάρων συνδρομὴν τὴν Ἑβδόμην.

Ὠδὴ α'. Ἦχος Πλ. δ'. Ἁρματηλάτην.

Ὑμνολογῆσαι τὴν Ἑβδόμην ἄθροισιν, ἐφιεμένῳ μοι νῦν, τὴν τῶν ἑπτὰ δίδου, χαρισμάτων Σύνοδον, τοῦ Παρακλήτου Πνεύματος, τὴν σοφίσασαν ταύτην, γλωσσοπυρσεύτως καὶ βλάσφημον, πᾶσαν γλωσσαλγίαν σιγήσασαν.

Μείζων ἀρχῆθεν ἀριθμῶν ὁ Ἕβδομος, δημιουργίας καὶ γὰρ, τῆς τοῦ Θεοῦ πάσης, πρωτοτύπως γέγονεν, ἡ παντελὴς κατάπαυσις, εἰς ἑβδόμην ἡμέραν, καὶ νῦν πασῶν τῶν αἱρέσεων, λῆξιν εἰς ἰσάριθμον Σύνοδος.

Νενικηκὼς τὸν θεομάχον Ἄρειον, καὶ τῇ Νικαίᾳ τὸ πρὶν, ποιμαντικῇ ῥάβδῳ, ὀρθοδόξοις ἴθυνε, τὴν Ἐκκλησίαν δόγμασιν, ὁ χορὸς τῶν Πατέρων, καὶ νῦν ἐν ταύτῃ κατήσχυνε, τοὺς Εἰκονομάχους ὁ σύμμαχος.

Θεοτοκίον.

Ὡς οἱ Πατέρες εὐσεβῶς ἐδίδαξαν, ὁμολογοῦμεν πιστῶς, Παρθενικὴν μητέρα, ἀνωδίνως τέξασαν, μετὰ σαρκὸς τὸν ἄσαρκον, προσκυνοῦμέν τε τοῦτο, στηλογραφοῦντες τὴν μόρφωσιν, καὶ τιμητικῶς ἀσπαζόμεθα.

Ὠδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Μὴ σαλευθῆναι τοῦ Χριστοῦ, τὴν ἀρραγῆ Ἐκκλησίαν, ὑπ' αὐτοῦ μυσταγωγούμενοι Θεῖοι, Ποιμενάρχαι τοὺς αὐτὴν, παρασαλεῦσαι θέλοντας, ὡς Ἀντιχρίστου μοίρας, τῶν ἀσεβῶν παρεσάλευσαν.

Ἀνακαθαίρει θολεροὺς, καὶ βορβορώδεις χειμάρρους, ἐκ πηγῶν τοῦ σωτηρίου ἀντλήσας, καὶ διψῶντα τὸν λαὸν, τὸν τοῦ Χριστοῦ κορέννυσι, τῶν διδαχῶν τοῖς ῥείθροις, ὁ τῶν Πατέρων κατάλογος.

Κατὰ τῶν ὄντως μισητῶν, καὶ Χριστιανοκατηγόρων, συνδρομὴ τῶν φιλοχρίστων ἑβδόμη, ἐν τῇ Πόλει τῇ λαμπρᾷ, τῶν Νικαέων γέγονεν, ἧς Βασιλεῖς Εἰρήνη, καὶ Κωνσταντῖνος συνήγοροι.

Θεοτοκίον.

Ἅπας ἀπέστω δυσσεβὴς, ὁ τὴν εἰκόνα μὴ σέβων, τὴν σεπτὴν τῆς Θεοτόκου καὶ ταύτην, μὴ κηρύττων τὸν Χριστὸν, θεανδρικῶς κυήσασαν, καὶ τῷ πυρὶ πεμπέσθω, κατακαιόμενος ἄκαυστα.

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Φωστῆρες ὑπέρλαμπροι, τῆς ἀληθείας σαφῶς, τῷ Κόσμῳ ἐδείχθητε, μακαριώτατοι, Πατέρες θεόφθογγοι· τήξαντες τὰς αἱρέσεις, τῶν βλασφήμων γλωσσαλγῶν. σβέσαντες τὰς φλογώδεις, τῶν δυσφήμων συγχύσεις. διὸ ὡς Ἱεράρχαι Χριστοῦ, πρεσβεύσατε σωθῆναι ἡμᾶς.

Δόξα. τὸ αὐτό. καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

Ταχὺ ἡμᾶς πρόφθασον, Παρθενομήτωρ Ἁγνή. ἐχθρῶν ἡμᾶς λύτρωσαι, τῶν βλασφημούντων εἰς σὲ, καὶ μὴ προσκυνούντων σε. θραῦσον τὰς γλωσσαλγίας, τῶν αἱρέσεων πάσας. λῦσον τῇ σῇ ἰσχύϊ, ξυμμορίας τὰς τούτων. γνώτωσαν ὅτι μόνη Θεομήτωρ ὑπάρχεις. πρεσβείαις σου ὀρθοδόξων, τὸ σύστημα σῴζουσα.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Ῥῆμα Θεοῦ, ἔχοντες βέλος καὶ μάχαιραν, πάντων ἄρδην, τούτους κατασφάττουσι, τοὺς δυσμενεῖς, τύπῳ σταυρικῷ, τοὺς μὴ σεβομένους, ἐπίσης τὰ ἐκτυπώματα, Χριστοῦ τῆς Θεοτόκου, τῶν Ἁγίων τε πάντων, οἱ Πατέρες οἱ θεοειδέστατοι.


Digitized by Google

Ὥσπερ ἑπτὰ, σάλπιγγες Ἱεριχούντια, εἰς Ἑβδόμην, τείχη κατηδάφισαν. περιδρομὴν οὕτως αἱ ἑπτὰ, Σύνοδοι παντὶ στίφος, κατὰ Θεοῦ ἐπαιρόμενον, κατήγαγον εἰς χάος, συνδρομὴν εἰς ἑβδόμην, τῶν ἐνήχων σαλπίγγων τοῦ Πνεύματος.

Νεανικὴν, ἔνστασιν ἐπιδεικνύμενος, καὶ τῷ θείῳ, ζήλῳ πυρπολούμενος, ὁ Πατρικὸς δῆμος Ἠλιοῦ, οἷα τῆς αἰσχύνης, τοὺς ἱερεῖς ἐθανάτωσε. διὸ σὺν παῤῥησίᾳ, τοῦ Χριστοῦ τὴν Εἰκόνα, σχετικῶς προσκυνεῖν ἐδογμάτισε.

Θεοτοκίον.

Σὺ μου ἐλπὶς, Παρθένε σύ μου καὶ ὕμνησις. σὺ λιμήν μου, σύ μου καὶ κυβέρνησις, ἡ τὸν Θεὸν, Λόγον τοῦ Πατρὸς, σεσωματωμένον, ἀσυνδυάστως κυήσασα. διό σου ἀδιστάκτως προσκυνῶ τὴν Εἰκόνα, τῇ ἰσχύϊ σου ἐνδυναμούμενος.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Ὑψηλῇ διανοίᾳ, συνδιασκεψάμενοι ἀνεθεμάτισαν, τοὺς εἰκονομάχους, ὡς ἀλλόκοτα τύπων φρονήσαντας, οἱ σεπτοὶ Πατέρες, καὶ τὴν τιμὴν Χριστοῦ τῷ τύπῳ, ὡς εἰκὸς ἀπονέμειν ἐθέσπισαν.

Νῦν καιρὸς εὐφροσύνης, ἄρτι σωτηρίας ἡμέρα ἐπέφανεν. εὐφρανθῶμεν τοίνυν, καὶ Χριστῷ εὐφροσύνως βοήσωμεν. τὴν εἰρήνην δίδου, τὴν σὴν ἡμῖν λιταῖς Πατέρων, τῆς Ἑβδόμης Συνόδου φιλάνθρωπε.

Θεοτοκίον.

Διὰ σπλάγχνα ἐλέους, ἀπὸ τῆς Παρθένου, ὁ Υἱὸς γεγέννηται, τοῦ Θεοῦ ἀτρέπτως, τὸ ἀλλότριον φέρων ὡς ἴδιον. καὶ μορφῇ τῇ τούτου, περιγραπτὸς ὁρᾶται θέλων, κατ' οὐσίαν ὁ ὢν ἀπερίγραπτος.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ῥανάτωσαν γλυκασμὸν, τὰ ὄρη καὶ ἀγαλλίασιν, αἱρετικῶν ἡ πληθὺς, ἀπεσκορακίσθη γὰρ, πικρὸν ἡ προχέουσα, ἰὸν τῶν Εἰκόνων, τῶν Ἁγίων τὴν ἀθέτησιν.

Ὁ Οὐρανὸς καὶ ἡ γῆ, συμφώνως ἑορταζέτωσαν, τῆς θυγατρὸς τοῦ Θεοῦ, τὴν μεγαλειότητα. καὶ γὰρ μεγαλύνεται, ἀποβαλλομένη, τοὺς αὐτὴν κατασμικρύνοντας.

Θεοτοκίον.

Μητρὸς Υἱὸς ὁ Πατρὸς, ἀπάτωρ ὁ πρὶν ἀμήτωρ δὲ, θεοπρεπῶς γεννηθεὶς, καὶ ἀναγεννήσας με. διὸ τὴν γεννήσασαν, σὺν τῷ γεννηθέντι, εἰκονίζων κατασπάζομαι.

Κοντάκιον. Ἦχος β'.

Χειρόγραφον Εἰκόνα.

Ὁ ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς ἀῤῥήτως, ἐκ γυναικὸς ἐτέχθη διπλοῦς τῇ φύσει· ὃν εἰδότες, οὐκ ἀρνούμεθα τῆς μορφῆς τὸ ἐκτύπωμα. αὐτὸ δὲ εὐσεβῶς ἀνιστοροῦντες, σεβόμεθα πιστῶς, καὶ διὰ τοῦτο τὴν ἀληθινὴν Πίστιν κρατοῦσα ἡ Ἐκκλησία, ἀσπάζεται τὴν Εἰκόνα τῆς Χριστοῦ ἐνανθρωπήσεως.

Ὁ Οἶκος.

Θέλων ὁ πανοικτίρμων Θεὸς ἡμᾶς διεγείρειν ἀεὶ, πρὸς μνήμην τελείαν τῆς αὐτοῦ ἐνανθρωπήσεως, τὴν ὑπόθεσιν ταύτην παρέδωκε τοῖς ἀνθρώποις, διὰ τῆς θαυματουργίας τῶν Εἰκόνων, τὴν σεβάσμιον ἀνατυποῦσθαι μορφήν. ὅπως ταύτην ἐπ' ὄψεσιν ὁρῶντες, πιστώσωμεν, ἅπερ λόγῳ ἀκηκόαμεν. γνωρίζοντες σαφῶς τὴν πρᾶξιν καὶ τὸ ὄνομα, τὸ σχῆμα καὶ τοὺς ἄθλους τῶν Ἁγίων ἀνδρῶν. καὶ Χριστὸν τὸν στεφοδότην, στεφάνους παρεχόμενον τοῖς Ἁγίοις ἀθληταῖς τε καὶ μάρτυσι, δι' ὧν ἄρτι τρανώτερον τὴν ἀληθινὴν Πίστιν κρατοῦσα ἡ Ἐκκλησία, ἀσπάζεται τὴν Εἰκόνα τῆς Χριστοῦ ἐνανθρωπήσεως.

## ΚΥΡΙΑΚΗ.

Μετὰ τὴν ἑνδεκάτην τοῦ παρόντος Μηνὸς, Μνήμην ἐπιτελοῦμεν τῶν Ἁγίων καὶ μακαρίων Πατέρων, τῶν ἐν Νικαίᾳ συνελθόντων τὸ δεύτερον, ἐπὶ τῶν εὐσεβῶν καὶ φιλοχρίστων Βασιλέων, Κωνσταντίνου, καὶ Εἰρήνης, κατὰ τῶν δυσσεβῶς καὶ ἀμαθῶς, καὶ ἀπερισκέπτως, τὴν Ἐκκλησίαν τοῦ Θεοῦ εἰδωλολατρεῖν εἰπόντων,

καὶ

Digitized by Google

καὶ τὰς σεπτὰς καὶ Ἁγίας Εἰκόνας καταβαλόντων.

Στίχ. Ὑπέρμαχοι σοὶ, τοῖς λόγων ὅπλοις Λόγε,
Ἐχθροὺς τροποῦνται τῶν σεβαστῶν Εἰκόνων.

Ἡ Ἁγία αὕτη καὶ Οἰκουμενικὴ Ἑβδόμη Σύνοδος γέγονεν ἐν Νικαίᾳ τὸ δεύτερον, ἐπὶ Κωνσταντίνου Βασιλέως, καὶ Εἰρήνης τῆς Μητρὸς αὐτοῦ, καὶ ἐπὶ Ἀδριανοῦ Πάπα Ῥώμης, καὶ Ταρασίου Κωνσταντινουπόλεως. Πολιτιανοῦ Ἀλεξανδρείας. Ἀντιοχείας Θεοδωρήτου. καὶ Ἠλία Ἱεροσολύμων. Ὑπῆρχον δὲ οἱ συνελθόντες Ἅγιοι Πατέρες, τριακόσιοι ἑξήκοντα πέντε. καὶ συνῆλθον κατὰ τῶν Εἰκονομάχων, καὶ ἀνεθεμάτισαν ἐγγράφως πᾶσαν αἵρεσιν, καὶ τοὺς τῶν αἱρέσεων ἐξάρχους, εἶτα καὶ τοὺς Εἰκονομάχους ἅπαντας. ἐγγράφως ἐκθέμενοι καὶ τυπώσαντες. ὅτι ὁ τὰς Ἁγίας Εἰκόνας μὴ προσκυνῶν, ἀλλότριός ἐστι τῆς τῶν Ὀρθοδόξων Πίστεως. καὶ ὅτι ἡ τῆς Εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. καὶ ὅτι, ὁ προσκυνῶν καὶ τιμῶν τὴν Εἰκόνα, προσκυνεῖ ἐν αὐτῇ τοῦ ἐγγραφομένου τὴν ὑπόστασιν. καὶ οὕτω διαταξάμενοι, καὶ τὴν ὀρθόδοξον Πίστιν κρατύναντες, ἕκαστος εἰς τὴν ἑαυτοῦ Ἐπισκοπὴν ἀπελύθη. Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Ἡττῶνται τοῖς δόγμασιν, αἱρεσιάρχαι τῶν θεηγόρων ἀνδρῶν, τῶν τὸ σέβας τῶν τύπων, τοῖς ἀρχετύποις μεθαρμοζόντων ὀρθῶς, καθάπερ ἔφη ὁ μέγας Βασίλειος. εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ναοὶ καλλωπίζονται, φαιδραῖς Εἰκόσι κατακοσμούμενοι νῦν. διὰ τοῦτο ὁ Κόσμος, ἐν Ἐκκλησίαις τῷ ὑπὲρ πάντας βροτοὺς, ὡραίῳ κάλλει συμψάλλει τῷ ψάλλοντι. εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τὸ φῶς ἀνατέταλκε, μακρὰν τὸ σκότος, οἱ δυσσεβεῖς ἐκποδών. διὰ τοῦτο τὰ πάντα, φωτὸς πλησθέντα, τὸν φωτοδότην Χριστὸν, μετ' εὐθυμίας ὑμνοῦσι καὶ λέγουσιν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Ἡ Πανάγνος Δέσποινα, ἡ μόνη πάντων τῆς σωτηρίας ἐλπὶς, ἡ φρικτῶς τετοκυῖα, τὸν Βασιλέα τῶν Βασιλέων Χριστὸν, ἐν ταῖς ὠλέναις αὐτὸν βρέφος φέρουσα, συμπροσκυνεῖται γραπτῶς, ὡς οἱ Πατέρες φασίν.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Νομοθετεῖ μὲν ἄριστα, τῶν Πατέρων ὁ σύλλογος, τοῖς θεοσεβέσι σχετικὴν προσκύνησιν, καὶ τὴν ἀνάστήλωσιν, τῆς ἱερᾶς Εἰκόνος Χριστοῦ. οἱ φιλευσεβεῖς δὲ, τὴν ἐτήσιον μνήμην, ὡς Παῖδες ἐκτελοῦμεν, εὐπαθεῖς τὴν ἐκείνων, καὶ πόθῳ τὴν Εἰκόνα, Χριστοῦ καταφιλοῦμεν.

Ἑπταπλασίως ἔκαμπτον, ταπεινοὺς ὑψηλόφρονες, καὶ τῶν φιλαρέτων τὰς ὁρμὰς ἀνέκοπτον, δι' ὧν ἐνδιέβαλλον, εἰς τὰς ἐνθέους πράξεις αὐτῶν. ἀλλ' οἱ τῆς Ἑβδόμης, συνελθόντες Συνόδου, Πατέρες ἐν Νικαίᾳ, τὴν ὀφρὺν τὴν ἐκείνων, αὐτίκα κατασπῶσιν, ἑπταπλασιοτέρως.

Βέλη νηπίων γίνονται, ψαλμικῶς γηραιόφροσι, τῶν νηπιοφρόνων αἱ πληγαὶ καὶ μάστιγες. τῇ θείᾳ δυνάμει δὲ, ἐξαλείφουσι γλῶσσαι πολλαὶ, τῶν τὰς βλασφημίας, εἰς τὸ ὕψος λαλούντων. καὶ πᾶς τις τὸν Πατέρα, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, Θεὸν ἕνα γινώσκει, πανταίτιον καὶ μόνον.

Θεοτοκίον.

Δημιουργεῖται νήπιος, ἑκοντὶ διὰ ἔλεος, ὁ δημιουργὸς ἐκ τῶν ἁγνῶν αἱμάτων σου. τηρῶν μετὰ τόκον σε, κεκαθαρμένην ὅλην Ἁγνήν. καὶ τὴν ῥυπωθεῖσαν, ἐκκαθαίρων εἰκόνα. διό περ ἐν Εἰκόσι, συμμορφοῦταί σοι φύσει, βροτὸς γεγονημένος, Θεὸς ὑπάρχων φύσει.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ὁ Μέγας τῇ ἰσχύϊ καὶ τῇ βουλῇ, ὁ τὸ πᾶν συγκρατῶν ἀκατάληπτε, μόνε Θεὲ, κράτιστε παντάρχα Παμβασιλεῦ, τὴν Ἐκκλησίαν κράτυνον, τῇ ὀρθοδοξίᾳ σου



Digitized by Google

σωτηρῶν, Πατέρων παμμενδόξων, παραδειγματισάντων, κακοδοξίαν παρακλήσεσι.

Μεγάλων ἠξιώθητε τῶν τιμῶν, ἐπὶ γῆς ὀυρανόφρονες Ἅγιοι, ὅτι Χριστοῦ, τύπον ἐτιμήσατε σχετικῶς. καὶ νῦν σκιὰν ἐκθέμενοι, καὶ τὸ περικάλυμμα τῆς σαρκὸς, αὐτὸν αὐτοπροσώπως, εἰς πρόσωπον ὁρᾶτε, καὶ τῶν μειζόνων ἀξιούμενοι.

Νῦν ἵνα παιδευθῶμεν πανστρατιᾶς, βαρβαρώδους ἱππείας ἠρέθισας, ῥῦσαι αὐτὸς, θραῦσον καὶ τὸ θράσος τὸ καθ᾽ ἡμῶν, τῷ Βασιλεῖ συμμάχησον, τῷ τεθαῤῥηκότι σοι παντουργὲ, ταῖς ἀπαῤῥησιάστοις, πρεσβείαις τῶν Πατέρων, ὧν ἐκτελοῦμεν τὸ μνημόσυνον. Θεοτοκίον.

Νοῆσαι τὸ μυστήριον οὐδαμῶς, τῆς φρικτῆς σου λοχείας δεδύνηται, βρότειος νοῦς, ἀλλ᾽ οὐδ᾽ ὑψηλόνους ἀγγελικός. ὅτι Θεὸν ἐγέννησας, σὺ σεσαρκωμένον ὑπερφυῶς. διό σε Θεοτόκον, εἰδότες σὺν ἐκείνῳ, καθιστορῦντες μεγαλύνομεν.

Ἐξαποστειλ. Ἐν Πνεύματι τῷ ἱερῷ.

Πατέρες Οὐρανόφρονες, οἱ Συνόδῳ Ἑβδόμῃ, συναθροισθέντες δέησιν, ἐκτενῆ τῇ Τριάδι, προσάξατε τοῦ ῥυσθῆναι, ἐκ πάσης αἱρέσεως, καὶ κρίσεως αἰωνίου, Βασιλείας τε τυχεῖν, Οὐρανῶν τοὺς νῦν ὑμῶν, σύναξιν θείαν ὑμνοῦντας.

Θεοτοκίον. Ὅμοιον.

Πρεσβείαις ὑπεράγαθε, Κύριε τῆς Μητρός σου, καὶ τῶν ἐν Ἑπτὰ Συνόδοις, ἀθροισθέντων Πατέρων, τὴν Ἐκκλησίαν στήριξον, καὶ τὴν Πίστιν κράτυνον. καὶ οὐρανῶν Βασιλείας, δεῖξον πάντας κοινωνοὺς, ὅταν ἔλθῃς ἐπὶ γῆς, τοῦ κρῖναι πᾶσαν τὴν Κτίσιν.

Εἰς τοὺς Αἴνους, ἵστ. Ἀναστάσιμα δ΄. καὶ ἀνατολικὸν ά. καὶ τῶν Ἁγίων, προσόμοια γ΄. Ἦχος Πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ὅλην συγκροτήσαντες, τὴν τῆς ψυχῆς ἐπιστήμην, καὶ τῷ Θείῳ Πνεύματι, συνδιασκεψάμενοι τὸ Οὐράνιον, καὶ σεπτὸν Σύμβολον, οἱ σεπτοὶ Πατέρες, θεογράφως διεχάραξαν. ἐν ᾧ σαφέστατα, τῷ γεγεννηκότι συνάναρχον, τὸν Λόγον ἐκδιδάσκουσι, καὶ παναληθῶς ὁμοούσιον, ταῖς τῶν Ἀποστόλων, ἑπόμενοι προδήλως διδαχαῖς, οἱ εὐκλεεῖς καὶ πανόλβιοι, ὄντως καὶ θεόφρονες.

Στίχ. Εὐλογητὸς εἶ Κύριε ὁ Θεός.

Ὅλην εἰσδεξάμενοι, τὴν νοητὴν λαμπηδόνα, τοῦ Ἁγίου Πνεύματος, τὸ ὑπερφυέστατον χρησμολόγημα, ὃ βραχεῖ ῥήματι, καὶ πολλῇ συνέσει, θεοπνεύστως ἀπεφθέγξαντο, οἱ Χριστοκήρυκες, Εὐαγγελικῶν προϊστάμενοι, δογμάτων οἱ μακάριοι, καὶ τῶν ἀσεβῶν παραδόσεων, ἄνωθεν λαβόντες, τὴν τούτων ἀποκάλυψιν σαφῶς, καὶ φωτισθέντες ἐξέθεντο, Πίστιν θεοδίδακτον.

Στίχ. Συναγάγετε αὐτῷ τοὺς Ὁσίους αὐτοῦ.

Ὅλην συλλεξάμενοι, ποιμαντικὴν ἐμπειρίαν, καὶ θυμὸν κινήσαντες, νῦν τὸν δικαιότατον ἐνδικώτατα, τοὺς βαρεῖς ἤλασαν, καὶ λυμώδεις λύκους, τῇ σφενδόνῃ τῇ τοῦ Πνεύματος, ἐκσφενδονήσαντες, τοῦ τῆς Ἐκκλησίας πληρώματος, πεσόντας ὡς πρὸς θάνατον, καὶ ὡς ἀνιάτως νοσήσαντας, οἱ θεῖοι Ποιμένες, ὡς δοῦλοι γνησιώτατοι Χριστοῦ, καὶ τοῦ ἐνθέου κηρύγματος, μύσται Ἱερώτατοι. Δόξα. Ἦχος πλ. δ΄.

Τῶν Ἁγίων Πατέρων ὁ χορὸς, ἐκ τῶν τῆς Οἰκουμένης περάτων συνδραμὼν, Πατρὸς καὶ Υἱοῦ, καὶ Πνεύματος Ἁγίου, μίαν οὐσίαν ἐδογμάτισε καὶ φύσιν, καὶ τὸ μυστήριον τῆς Θεολογίας, τρανῶς παρέδωκε τῇ Ἐκκλησίᾳ. οὓς εὐφημοῦντες ἐν πίστει, μακαρίσωμεν λέγοντες· ὢ θεία παρεμβολὴ, θεηγόροι ὁπλῖται, παρατάξεως Κυρίου. Ἀστέρες πολύφωτοι, τοῦ νοητοῦ στερεώματος. τῆς μυστικῆς Σιὼν, οἱ ἀκαθαίρετοι πύργοι. τὰ μυρίπνοα ἄνθη τοῦ Παραδείσου. τὰ πάγχρυσα στόματα τοῦ Λόγου. Νικαίας τὸ καύχημα, Οἰκουμένης ἀγλάϊσμα, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὑπερδεδοξασμένη ὑπάρχεις.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικά. Οἱ μακαρισμοὶ τοῦ ἤχου, καὶ ἀπὸ τοῦ Κανόνος, ᾠδὴ γ΄. καὶ ϛ΄. Κοινωνικὸν, τὸ εἰς ἀρχιερεῖς, καὶ

Digitized by Google

καὶ τὰ ἑξῆς. Καὶ εἰ βούλει, Ζήτει τὴν Ἀκολουθίαν πᾶσαν τῇ Κυριακῇ τῶν Ἁγίων τιή. Θεοφόρων Πατέρων τῶν ἐν Νικαίᾳ τὸ ά.

---

Τῷ αὐτῷ Μηνὶ ΙΒ'.

Τῶν Ἁγίων Μαρτύρων, Πρόβου, Τάραχου, καὶ Ἀνδρονίκου. Στιχ. προσόμοια. Ἦχος ά.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Οἱ Ἅγιοι Μάρτυρες οἱ τρεῖς, ἐν ἑνὶ φρονήματι, τῇ Τρισαγίῳ Θεότητι, ἀεὶ λατρεύοντες, ἀπειλὰς τυράννων, καὶ πληγὰς βασάνων τε, ὑπέμειναν τῇ πίστει ῥωννύμενοι, Πρόβος, καὶ Τάραχος, καὶ ὁ συνάθλος Ἀνδρόνικος, καὶ τῆς νίκης, στεφάνους ἐδέξαντο.

Χριστὸν ἐνδυσάμενοι Σταυρὸν, ὥσπερ ὅπλον φέροντες, ἐν ταῖς χερσὶν ὑμῶν Ἅγιοι, στεῤῥῶς καθείλετε, τῶν ἐχθρῶν τὰ θράση, καὶ τῆς νίκης ἔνδοξοι, βραβεῖα ἐκ Θεοῦ ἐκομίσασθε, αὐτῷ πρεσβεύοντες, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Τῷ πόθῳ φλεγόμενοι Χριστοῦ, ἀθλοφόροι ἔνδοξοι, ἀκαταγώνιστοι ὤφθητε, οὐ ξίφος, οὐ κάμινος, οὐ θυμὸς τυράννων, οὐ ποιναὶ κολάσεων, οὐ θάνατος ὑμᾶς ἐξεφόβησεν. ἀλλ' ἐκτελέσαντες, τὸν ἀγῶνα τῆς ἀθλήσεως, ἐπαξίως στεφάνους ἐδέξασθε.

Δόξα. Ἦχος δ'. Ἀνατολίου.

Στρατευθέντες τῷ Χριστῷ, τὰ ἐπὶ γῆς τερπνὰ κατελίπατε. καὶ τὸν Σταυρὸν ἐπ' ὤμων ἄραντες, διὰ βασάνων πολυπλόκων, αὐτῷ ἠκολουθήσατε. καὶ ἐναντίον Βασιλέων καὶ Τυράννων πολλῶν, μὴ ἀρνησάμενοι αὐτόν. Ἄγγελοι τὰ βραβεῖα τῆς νίκης, τὰς κεφαλὰς ὑμῶν κατέστεψαν, παῤῥησιασμένοι τῇ ψυχῇ, καὶ φαιδρῶς εἰς τὸν νυμφῶνα, τὸν μέγαν συνεληλύθατε. Πρόβε, τὸ κλέος τῶν Μαρτύρων, Τάραχε, τῶν δαιμόνων ὀλοθρευτά, καὶ Ἀνδρόνικε, νίκη τῶν πιστῶν, παῤῥησίαν ἔχοντες, τῷ Σωτῆρι τῶν ὅλων πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτ. Ἔδωκας σημείωσιν.

Δαιμόνων κλονούμενον, ταῖς προσβολαῖς καὶ εἰς βάραθρον, ἀπωλείας ὠθούμενον, οἰκτείρησον Δέσποινα, καὶ στερέωσόν με, ἀρετῶν ἐν πέτρᾳ, καὶ τὰς βουλὰς τῶν δυσμενῶν, διασκεδάσασα καταξίωσον, ποιεῖν με τὰ προστάγματα, τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ ἡμῶν, ὅπως τύχω ἀφέσεως, ἐν ἡμέρᾳ τῆς κρίσεως.

Σταυροθεοτοκίον. Ὅμοιον.

Νεκρούμενον βλέπουσα, Χριστὸν ἡ πάναγνος Δέσποινα, καὶ νεκροῦντα τὸν δόλιον, ἠλάλαζε κράζουσα, πικρῶς τῶν ἐκ σπλάγχνων, αὐτῆς προελθόντι, καὶ τὸ μακρόθυμον αὐτοῦ, ἀποθαυμάζουσα κατεπλήττετο. τέκνον μου ποθεινότατον, μὴ ἐπιλάθῃ τῆς δούλης σου, μὴ βραδύνῃς φιλάνθρωπε, τὸ ἐμὸν καταθύμιον.

Εἰς τὸν Στ. στιχ. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος ά. Ἀνδρέου Ἱεροσολυμίτου.

Τὸ τρισέλεκτον ἄθροισμα, οἱ ἰσάριθμοι τῆς Ἁγίας Τριάδος, ὥσπερ ἀστέρες φαεινοὶ, ἐκ τῆς Ἑώας φανέντες, τὴν κτίσιν συγκαλοῦσι, πρὸς ἱερὰν πανήγυριν, Πρόβος καὶ Τάραχος σὺν Ἀνδρονίκῳ τῷ σοφῷ. τὰς γὰρ σάρκας αὐτῶν, θηρίοις παραδώκαν. καὶ τῷ αἵματι τὴν γῆν πορφυρώσαντες, στεφηφόροι ἐν Οὐρανοῖς, μετ' Ἀγγέλων χορεύουσιν. αἰτούμενοι ὑπὲρ ἡμῶν τὸν φιλάνθρωπον Θεὸν, πλημμελημάτων ἄφεσιν δωρηθῆναι, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτ. Τῶν Οὐρανίων.

Μεταβολὴν μοι τοῦ βίου, Παρθένε δώρησαι, ἀπὸ τῶν ἐμπαθῶν μου, μεταφέρουσα τρόπων, πρὸς θείας ἀπαθείας, μεῦσιν ὁμοῦ, καὶ οἰκείωσιν ἄῤῥητον. πένθος χαρμόσυνον βρύειν μου τὴν ψυχὴν, ἀενάως μοι παρέχουσα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Υψωθέντα ὡς εἶδεν, ἐπὶ Σταυροῦ τὸν ἀμνὸν, ἡ ἄμωμος Παρθένος, θρηνῳδοῦσα ἐβόα· γλυκύτατόν μου τέκνον, τί τὸ καινὸν, καὶ παράδοξον θέαμα; πῶς ὁ κατέχων τὰ πάντα ἐν τῇ χειρὶ, ἐπὶ ξύλου προσηλώθης σαρκί;



Digitized by Google

Ἀπολυτίκιον. Ἦχος Πλ. ά.
Τῶν ἁγίων Μαρτύρων τὰ κατορθώματα.
Εἰς τὸν Ὄρθρον, ἡ συνήθης Στιχολ. Κανόνες τῆς Ὀκτωήχου. καὶ τῶν Ἁγίων. Οὗ ἡ ἀκροστιχίς.
Μέλψοιμι τῶν σῶν Μαρτύρων Σῶτερ κλέος.
Ἰωσήφ. Ὠδὴ ά. Ἦχος Πλ. δ΄.
Ἁρματηλάτην Φαραώ.

Μαρτυρικαῖς ἠγλαϊσμένοι χάρισι, τῷ σεφοδότῃ Χριστῷ, ἐν Οὐρανοῖς πόθῳ, Μάρτυρες παρίστασθε, φωτὶ καταυγαζόμενοι, Τρισηλίου λαμπάδος, καὶ πάντας καταφωτίζετε, πίστει τοὺς ὑμᾶς μακαρίζοντας.

Ἐν διωγμῷ τῆς ἀσεβείας ὤφθητε, πᾶσαν διώκοντες, τὴν δυσσεβῆ πλάνην, Μάρτυρες ἀήττητοι, γενναίοις ἀγωνίσμασιν, ὡς καλοὶ στρατιῶται, ὡς Ἐκκλησίας ἐρείσματα, καὶ τῆς ἀληθείας κραταίωμα.

Λελογισμένῃ διανοίᾳ πάνσοφοι, ἀποκρυσάμενοι, τὴν πονηρὰν ζάλην, καὶ τὴν ἀγριαίνουσαν, τῆς ἀσεβείας θάλασσαν, ταῖς τοῦ Πνεύματος αὔραις, πρὸς τοὺς λιμένας ἐφθάσατε, τοὺς ἐπουρανίους γηθόμενοι.

Ψυχαῖς Μαρτύρων τὰ ὑμῶν συγχαίρουσι, Μάρτυρες πνεύματα, ἐν Οὐρανοῖς ὄντως, Πρόβε καὶ Ἀνδρόνικε, καὶ Τάραχε μακάριε. ἀνδρικῶς γὰρ τοὺς πόνους, τῆς μαρτυρίας ἤνύσατε, νίκαις θεϊκαῖς κλεϊζόμενοι. Θεοτοκίον.

Ὁ τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, Λόγος συνάναρχος, Παρθενικὴν Μήτραν, βουληθεὶς κατῴκησε, καὶ σὰρξ ἀτρέπτως γέγονε, καὶ παθῶν ἑκουσίως, Μαρτύρων θεῖα στρατεύματα, πίστει ἐναθλεῖν παρεσκεύασεν.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἰσχυρῶς τῷ διώκτῃ, ἀντιταχθεὶς Τάραχε, καὶ τὴν συντριβὴν τοῦ προσώπου φέρων στερρότατα, μύλας συνέθλασας, τῶν νοουμένων λεόντων, ἀριστεὺς γενόμενος, σθένει τοῦ Πνεύματος.

Μεγαλόφρονι γνώμῃ, τοὺς αἰκισμοὺς ἤνεγκας, μέχρι γαστρὸς Μάρτυς Πρόβε διατεμνόμενος, καὶ συμφλεγόμενος, τοῖς ὀβελίσκοις τὰ στέρνα, καὶ τὸ θεολόγον σου στόμα τυπτόμενος.

Ἱερεῖον καθάπερ ἀμαρτηθεὶς ἔφερες, πόνους δριμυτάτων μαστίγων, Μάρτυς Ἀνδρόνικε, πυρὸς καταφλεξιν, καὶ ἐκριζώσεις ὀδόντων, καὶ τῆς θεολόγου σου γλώσσης ἀφαίρεσιν.

Περιφεγγεῖς ὡς ἀστέρες, ταῖς νοηταῖς λάμψεσιν, ἅπασαν ἐν δόξῃ τὴν Κτίσιν καταφωτίζετε, σκότος διώκοντες, τῆς πολυθέου ἀπάτης, ἀθλοφόροι Μάρτυρες θεοειδέστατοι. Θεοτοκίον.

Ὡς καλὴν ὡς ὡραίαν, ὡς ἐκλεκτὴν ἄχραντε, Λόγος ὁ τὸ πᾶν συστήσας σε ἐκλεξάμενος, σοῦ τὴν ἀμόλυντον, καὶ θεοδόχον γαστέρα, βουληθεὶς κατῴκησεν ὁ ὑπερούσιος. Ὁ Εἱρμός.

„ Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ
„ τῆς Ἐκκλησίας δομήτωρ, σύ με στε-
„ ρέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν
„ ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μό-
„ νε φιλάνθρωπε.

Καθ. Ἦχος Πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.

Τῆς Ἁγίας Τριάδος τὴν κραταιάν, ὁπλισάμενοι πίστιν νεανικῶς, Ἀνδρόνικος Πρόβος τε, καὶ ὁ πάνσοφος Τάραχος, πολυθέου πλάνης, τὸ κράτος διέλυσαν. καὶ λαοὺς πρὸς θείαν, ἀγάπην συνέδησαν. ὅθεν τὰ τῆς νίκης, κομισάμενοι γέρα, χοροῖς συνευφραίνονται, ἀσωμάτων Δυνάμεων, οἷς ἐν πίστει βοήσωμεν· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων.

Δόξα. Τὸ αὐτό. καὶ νῦν. Θεοτ. Ὅμοιον.

Ταῖς ἀθυμίαις βαρείᾳ περιπεσών, καὶ δεινῶς ἐν τοῖς πόνοις κατακαμφθείς, οὐ φέρω τὸν καύσωνα, τῆς ἐμῆς ῥαθυμίας. ἀλλ' ὁ εἰδὼς ἑκάστου, Σωτὴρ τὴν ἀσθένειαν, καὶ ὡς Πατὴρ παιδεύων, τοὺς γνώμῃ σοι πταίσαντας, σύ με ἐξαμάρτησον. δυνατὸς γὰρ ὑπάρχεις, ἰᾶσθαι τὰ νοσήματα, τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν. ἵνα

δοξά-

Digitized by Google

δοξάζω πάντοτε, τὰ μεγάλα σου ἔργα Σωτὴρ, φοβερά τε θαυμάσια. λύτρωσαι γὰρ ἐξ ἀνάγκης, τοὺς πιστῶς σε δοξάζοντας.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν τῷ ξύλῳ ὁρῶσα τῷ σταυρικῷ, ἡ πανάμωμος Μήτηρ τὸν Λυτρωτὴν, ἐθρήνει δακρύουσα, καὶ πικρῶς ἀπεφθέγγετο. καὶ συνοχῇ καρδίας, τὰς κόμας ἐσπάραττε. καὶ πρὸς αὐτὸν ἐβόα· Υἱέ μου καὶ Κύριε, πῶς σεπτὸν ὁμώτατος, Ἑβραίων δῆμος, ἀδίκως προσπήγνυσι, τῷ σταυρῷ ἀναμάρτητε; πῶς καὶ θέλων ὑφίστασαι, τοῦ προσώπου ῥαπίσματα, ὄξος καὶ τὴν τρῶσιν πλευρᾶς; χολήν τε οἴ μοι, καὶ ἥλους μακρόθυμε; ἀλλὰ δόξα Σῶτερ, τοῖς θείοις σου παθήμασι.

Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.

Ἐπ᾽ ἔργων Χριστοῦ, φέρειν ζυγὸν ἐπαυχένιον· τὸν αὐχένα, φέρεις συντριβόμενος, τὸν δὲ Σταυρὸν ῥάβδον κραταιᾶς, Τάραχε παμμάκαρ, δυνάμεως ἐπαγόμενος. τῶν ῥάβδων τὰς ῥιφάδας, ὑποφέρεις κραυγάζων. τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ὡς δυνατὸς, θείῳ γενόμενος Πνεύματι, τῶν κνημῶν σου, φέρεις τὴν ἐπώδυνον, καρτερικῶς, Πρόβε συντριβήν. καὶ τὴν τῶν ὀμμάτων, ἀφαίρεσιν φωτιζόμενος, τῇ γνώσει τῆς Τριάδος, τελειώτερον δρόμον. καὶ τοῖς ἄνω χοροῖς συναπτόμενος.

Νεανικῶς, Μάρτυς Ἀνδρόνικε ἵστασο, πρὸ βημάτων, ἀνταγωνιζόμενος, τῷ δυσμενεῖ, λίαν καρτερῶς. ὅθεν κατατέμνων, τὰς κνήμας σου ἀτομώτερον, εἰργάζετό σε χαράν, τὴν αὐτοῦ συμπατοῦντα, καὶ πορείαν τὴν ἄνω στελλόμενον.

Θεοτοκίον.

Μόνη Θεὸν, φέρεις ἐν μήτρᾳ σαρκούμενον, τὸν τὸ εἶναι, πᾶσι παρεχόμενον, ὃν ἐν σταδίῳ οἱ ἀκλινεῖς, καθομολογοῦντες, ἐνήθλησαν θεῖοι Μάρτυρες. Παρθένε Θεοτόκε, τῶν Ἀγγέλων τὸ θαῦμα, καὶ δαιμόνων τὸ τραῦμα πανύμνητε.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ἀκλινεῖς ὁδοιπόροι, τρίβου τῆς στενῆς καὶ τραχείας γεγόνατε. πειρασμῶν ῥιφάδας, ὡς ἀφροὺς θαλαττίους ὠθούμενοι. ἀρραγεῖς ὡς πύργοι, ὡς ἐπὶ πέτραν τὴν καρδίαν, Ἀθλοφόροι ἑδράσαντες Πίστεως.

Ῥητορεύων τὰ θεῖα, καὶ θεολογῶν τὰ σωτήρια δόγματα, τῶν χειλέων φέρεις, τὰ ἀπαράγματα γνώμης στερρότητι, ἀποφράττων στόμα, κατὰ Θεοῦ Τάραχε μάκαρ, βλασφημίαν λαλοῦν τοῦ ποιήσαντος.

Μεγαλοφρόνως τεταμένος, καὶ ταῖς ἐκ μαστίγων πληγαῖς συνεχόμενος, τῆς ψυχῆς ἐδήλου, τὸ γενναῖον ὁ Πρόβος ἀνάστημα. στεφηφόρος ὅθεν, ἀναδειχθεὶς σὺν τοῖς συνάθλοις, Βασιλεῖ τῶν αἰώνων παρίσταται.

Θεοτοκίον.

Ὑπερτέρα τῶν ἄνω, πέφυκας Δυνάμεων, Λόγον κυήσασα, τοῦ Πατρὸς Παρθένε, τὸν συνάναρχον καὶ συναΐδιον. οὗ ταῖς φρυκτωρίαις, οἱ Ἀθληταὶ καταυγασθέντες, ἀθείας τὴν νύκτα παρέδραμον.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Ῥομφαία τοῦ δυνατοῦ, γενόμενοι διὰ Πίστεως, καρδίας τῶν ἀσεβῶν, ἀνδρείως ἐτρώσατε· ἀνταγωνισάμενοι, κατ᾽ αὐτῶν γενναίως, Ἀθλοφόροι μεγαλώνυμοι.

Ὡς πάλαι τὸν Δανιὴλ, ἐν λάκκῳ θῆρες ᾐδέσθησαν, οὕτω καὶ νῦν τοὺς στερροὺς, ὁπλίτας τῆς χάριτος, ἐν σταδίῳ ἔπτηξαν, καταλλαβηθέντες, τὰ σεπτὰ τούτων παθήματα.

Νυγεῖσαν σου τὴν Πλευρὰν, ἐξεικονίζων ὁ Τάραχος, εἰσδέχεται ταῖς πλευραῖς, κεντήματα Δέσποτα, καὶ ὄξος ποτίζεται, καὶ πυρὶ τὴν χαράν, ὠμοτάτως καταφλέγεται.

Θεοτοκίον.

Συνέλαβες ἐν Γαστρὶ, τὸν προαιώνιον ἄχραντε, καὶ τέτοκας ἐν σαρκὶ, τὸν φύσει ἀπρόσιτον, καὶ γάλα ἐπότισας, τὸν τροφέα πάντων, Θεομῆτορ ἀπειρόγαμε.


Digitized by Google

Ὁ Εἱρμός.

„Ἱλάσθητί μοι Σωτὴρ, πολλαὶ γὰρ αἱ „ἀνομίαι μου, καὶ ἐκ βυθοῦ τῶν κα„κῶν, ἀνάγαγε δέομαι, πρὸς σὲ γὰρ „ἐβόησα· καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς „σωτηρίας μου.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τριάδος ἡμῖν, τὴν δόξαν ἐμφανίσαντες, γενναῖοι Χριστοῦ, ὁπλῖται θεῖοι Μάρτυρες, σὺν Ταράχῳ Πρόβος τε, καὶ Ἀνδρόνικος, ἤλεγξαν ἅπασαν τῶν τυράννων ἀθεότητα, τῇ πίστει γενναίως ἐναθλήσαντες.

Ὁ Οἶκος.

Τοῦ Ἰησοῦ τὰ πάθη γενναίως μιμησάμενοι, ἅμα σὺν Ταράχῳ τῷ σοφῷ, ὁ Πρόβος καὶ Ἀνδρόνικος, χαίροντες ἤχθησαν ἐν σταδίῳ, παρανόμων ἐλέγχοντες ἀθεΐαν. ὅθεν ἡμεῖς οἱ ἐκ πόθου τιμῶντες τὴν μνήμην αὐτῶν, ἐν ὕμνοις ἀνευφημοῦμεν, καὶ πιστῶς τοὺς ἀγῶνας κηρύττομεν. ἐθαυμάστωσε γὰρ ὁ Κύριος, ὡς φωστῆρας ἐν Κόσμῳ ἀναθλήσαντας. Τῇ πίστει γενναίως ἐναθλήσαντας.

Τῷ αὐτῷ Μηνὶ ΙΒ'. Τῶν Ἁγίων Μαρτύρων Πρόβου, Ταράχου, καὶ Ἀνδρονίκου.

Στίχ. Ξίφει Τάραχος, καὶ Ἀνδρόνικος, καὶ Πρόβος.
Ἤραντο νίκην, γῆς προβάντες ταράχου.
Τμήθη δωδεκάτῃ Πρόβος, Ἀνδρόνικος, Τάραχός τε.

Οὗτοι ὑπῆρχον ἐν ὑπατείᾳ Διοκλητιανοῦ, καὶ Φλαβιανοῦ Ἡγεμόνος. καὶ ὁ μὲν Τάραχος, προβεβηκὼς τὴν ἡλικίαν, Ῥωμαῖος τὸ γένος, Στρατιώτης τὴν τύχην. ὁ δὲ Πρόβος, ἐκ Σίδης τῆς Παμφιλίας. ὁ δὲ Ἀνδρόνικος, Πόλεως Ἐφεσίων τῆς Ἰωνίας. καὶ ὁ μὲν Τάραχος θλᾶται λίθοις τὰς σιαγόνας, καὶ τὸν αὐχένα. τὰς χεῖρας πυρὶ καταφλέγεται. καὶ ἀναρτᾶται ἐπὶ ξύλου. καὶ καπνῷ πνιγηρῷ ὑποβάλλεται. ὄξος ἐπὶ τῶν ῥινῶν δέχεται, καὶ ὀβελίσκοις πεπυρακτωμένοις τοὺς μαστοὺς ὑποκαίεται. ξυρῷ τὰ ὦτα ἐκτέμνεται. τὸ δέρμα τῆς κεφαλῆς ἀποσύρεται. θηρίοις ἐκδίδοται, καὶ τελευταῖον μαχαίρᾳ κατακοπεὶς μεληδὸν, τὴν ψυχὴν τῷ Θεῷ παρατίθησιν. ὁ δὲ γενναῖος Πρόβος, νεύροις ὠμοῖς τύπτεται. σιδήροις πεπυρακτωμένοις τοὺς πόδας κατακαίεται. ξύλῳ ἀναρτᾶται. τὸν νῶτον, καὶ τὰς πλευρὰς πυρωθεῖσιν ὀβελίσκοις κατακαίεται. καὶ ἑτέραις σούβλαις τὰς κνήμας διατέμνεται. καὶ τελευταῖον μαχαίραις καὶ αὐτὸς κατακοπεὶς, τὸ μακάριον τέλος ἀπηνέγκατο. Ἀνδρόνικος δὲ ὁ θεῖος, ξύλῳ ἀναρτᾶται. καὶ σιδήροις ὀξέσι τὰς κνήμας χαράσσεται. καὶ τὰς πλευρὰς κατακεντᾶται, ἅλατι τὰς ὠτειλὰς ἀνατρίβεται. τὴν γλῶσσαν καὶ τὰ χείλη ἐκτέμνεται. καὶ σχεδὸν ὅλον τὸ σῶμα κατακοπεὶς μαχαίραις, καὶ αὐτὸς τὸ Πνεῦμα εἰς χεῖρας Θεοῦ παρατίθησιν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Δομνίνης, καὶ Καλλινίκου.

Στ. Μέλη Δομνῖνα καίπερ ἐξαρθρουμένη,
Οὐκ ἦν ἀληθῆ, πίστιν ἐξαρνουμένη.

Αὕτη ἠγωνίσατο ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως. καὶ παραστᾶσα Λυσίᾳ τῷ ἡγεμόνι, ἐν τῇ Ἀναζαρβαίων Πόλει, τύπτεται ἐν πρώτοις νεύροις ὠμοῖς, καὶ σιδήροις πυρωθεῖσι τοὺς πόδας καταφλέγεται, εἶθ' οὕτω θλᾶται ῥάβδοις, καὶ ἐξαρθροῦται τὰς ἁρμονίας. καὶ τῇ εἱρκτῇ ἀπορριφεῖσα, τὴν ψυχὴν τῷ Θεῷ παρατίθησιν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Ἀναστασίας τῆς Παρθένου.

Ἡ Ἁγία αὕτη ὑπῆρχεν ἐπὶ τῆς Βασιλείας Δεκίου, καὶ Οὐαλεριανοῦ, ἐκ Πόλεως Ῥώμης. ἦν δὲ μονάζουσα μετὰ καὶ ἑτέρων Παρθένων ἐν Μοναστηρίῳ τινί. διαβληθεῖσα οὖν τῷ Ἡγεμόνι, καὶ παραστᾶσα ἔμπροσθεν αὐτοῦ, μετὰ κλοιοῦ σιδηροῦ, τύπτεται εἰς τὸ πρόσωπον, καὶ γυμνοῦται, καὶ ὑπὸ πυρὸς κατακαίεται, ἐπιρραινομένων ἐπάνω αὐτῆς πίσσης, καὶ ἐλαίου, καὶ τιάφης. εἶτα κρεμᾶται ἐπὶ ξύλου, καὶ τοὺς μαστοὺς τέμνεται. καὶ τοὺς ὄνυχας ἀνασπᾶται. καὶ μετὰ ταῦτα, τὰς χεῖρας κόπτεται, εἶτα τοὺς πόδας. τοὺς

ὀδόν-

Digitized by Google

οδούντις ἐκρίζοῦται. καὶ τελευταῖον, τὸ διὰ ξίφους τέλος δέχεται.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

Ὠτίων ἀφαίρεσιν, ὑπέστης χαίρων Τάραχε ἔνδοξε, ὡς ὑπήκοος δοῦλος, τοῦ κλίναντος σοι οὐς ἀμμεσέτατον, καὶ τὰς εὐχάς σου πληρώσαντος κράζοντος· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Μαινόμενοι Μάρτυρες, καὶ ταῖς βασάνοις καταικιζόμενοι, σταθηρᾷ διανοίᾳ, τοῖς παρανόμοις ἀντεκατέστητε, καὶ νικηφόροι γενόμενοι ψάλλετε· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Βαπτίσματι Ἅγιοι, σεπτῷ τῶν αἱμάτων, πλανῆς τοὺς ἄνθρακας, κατασβέσαντες δρόσον, ἡμῖν ἐνθένδε βλύζετε χάριτος, καὶ ἰαμάτων προχέετε νάματα, τοῖς εὐφημοῦσιν ὑμῶν, τὴν μνήμην πάντοτε.

Θεοτοκίον.

Κάθηται ἐν μήτρᾳ σου, πατρῴων κόλπων μὴ ἀφιστάμενος, ὁ πληρέστατος Λόγος, καὶ σὰρξ ὁρᾶται, καὶ βρέφος τίκτεται· ᾧ μελῳδοῦμεν Παρθένε γηθόμενοι, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Λελαμπρυσμένοι στίγμασι, καὶ ὡραῖοι ἐν κάλλεσι, τῆς καλλοποιοῦ μακάριοι ἀθλήσεως, Κυρίῳ παρέστατε, στεφανηφόροι πάντοτε, αἴγλης τῆς ἐκεῖθεν πεμπομένης πλουσίως, πληρούμενοι καὶ πόθῳ, μελῳδοῦντες ἀπαύστως, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἐν ἑαυτῷ μαινόμενος, ὁ παράνομος τύραννος, ὡς νενικημένος ταῖς ὑμῶν ἐνστάσεσι, τομὰς ἀποφαίνεται, θανατωθῆναι ξίφει ὑμᾶς, τῷ δημιουργῷ καὶ Λυτρωτῇ μελῳδοῦντας, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε.

Οἱ τῆς Τριάδος πρόμαχοι, οἱ καλλίνικοι Μάρτυρες, οἱ τῆς ἀληθείας τὸν χρυμὸν σκεδάσαντες, τῇ θέρμῃ τῆς Πίστεως, τὰ τῶν πιστῶν προπύργια, ἄνθη τὰ τερπνά, τοῦ νοητοῦ Παραδείσου, λιμένες τῶν ἐν ζάλῃ, οἱ ἀκλόνητοι στῦλοι, Ἀνδρόνικος καὶ Πρόβος, καὶ Τάραχος τιμάσθω.

Θεοτοκίον.

Σὺν Ἀσωμάτων τάξεσι, σὺν Μαρτύρων στρατεύμασι, σὺν τοῖς Ἀποστόλοις, καὶ Προφήταις ἅπαντες, τὴν πάντων δεσπόζουσαν, τῶν ποιημάτων Δέσποιναν, ὡς τῶν Χερουβὶμ ἁγιωτέραν καὶ μόνην, Θεοῦ Ἁγνὴν Μητέρα, εὐσεβῶς ἀνυμνοῦμεν. Χριστὸν ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

„Ἑπταπλασίως κάμινον, τῶν Χαλδαίων ὁ τύραννος, τοῖς θεοσεβέσιν „ἐμμανῶς ἐξέκαυσε, δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδών, τῷ „δημιουργῷ καὶ Λυτρωτῇ ἀνεβόα· οἱ Παῖ„δες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς „ὑπερυψοῦτε.

Ὠδὴ θ΄. Ἔφριξε πᾶσα ἀκοή.

Ἴσχυσαν σώμασι φθαρτοῖς, ἀφθαρσίαν τοῖς ἀγῶσι προσκτήσασθαι, οἱ γενναιότατοι, καὶ τοῖς Ἀγγέλοις ἐξομοιωθῆναι. τὴν Βασιλείαν τοῦ Θεοῦ, λαβόντες ἀσάλευτον, Πρόβος καὶ Τάραχος, καὶ Ἀνδρόνικος Χριστοῦ οἱ θεράποντες.

Ὤφθητε ἄνθρακες πυρί, τῷ ἀΰλῳ μυστικῶς ἀναπτόμενοι, καὶ κατεφλέξατε, ὑλώδη πλάνην Μεγαλομάρτυρες, καὶ ἀναλάμψαντες ὡς φῶς, τὴν Κτίσιν αὐγάζετε, καὶ περισώζετε, ἐκ κινδύνων καὶ παθῶν τὰς ψυχὰς ἡμῶν.

Σήμερον ἄγει Ἑορτὴν, ἐτησίαν καὶ λαμπρὰν καὶ χαρμόσυνον, ἡ Ἐκκλησία Χριστοῦ, τὴν θείαν ταύτην ἡμῶν πανήγυριν. καὶ συναγάλλονται ἡμῖν, Προφῆται Ἀπόστολοι, καὶ πάντες Μάρτυρες, ἀθλοφόροι νικηταὶ μεγαλώνυμοι.

Ἤρθητε πρὸς φωτοειδῆ, Παραδείσου ἀθλοφόροι σκηνώματα. περιβαλλόμενοι λαμπράν, ἐσθῆτα ἣν ἐξυφάνατε, πολυειδέσιν αἰκισμοῖς, καὶ δρόμῳ παρέστατε, τοῦ Παντοκράτορος, ὑπὲρ πάντων ἐκτενῶς ἱκετεύοντες.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Φεῖσαί μου Σῶτερ ὁ τεχθεὶς, καὶ φυλάξας τὴν τεκοῦσάν σε ἄφθορον, μετὰ τὴν κύησιν, ὅταν καθίσῃς κρῖναι τὰ ἔργα μου, τὰς ἀνομίας παρορῶν, καὶ τὰς ἁμαρτίας μου, ὡς ἀναμάρτητος, ἐλεήμων ὡς Θεὸς, καὶ φιλάνθρωπος.

Ὁ Εἱρμός.

„Ἔφριξε πᾶσα ἀκοὴ, τὴν ἀπόῤῥητον Θεοῦ συγκατάβασιν, ὅπως ὁ „ὕψιστος ἑκὼν, κατῆλθε μέχρι καὶ „σώματος, παρθενικῆς ἀπὸ γαστρὸς, γε„νόμενος ἄνθρωπος. διὸ τὴν ἄχραντον, „Θεοτόκον οἱ πιστοὶ μεγαλύνομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Πολυειδεῖς οἱ Μάρτυρες, αἰκισμοὺς ἐνεγκόντες, πολλῶν ἐπάθλων ἔτυχον, καὶ βραβείων τῆς νίκης, παρὰ Χριστοῦ τοῦ Σωτῆρος, Τάραχος ὁ θεόφρων, καὶ Πρόβος καὶ Ἀνδρόνικος, οἱ στεῤῥοὶ ἀθλοφόροι. ὧν τὴν σεπτὴν, ἐκτελοῦντες μνήμην τούτους τιμῶμεν, ὑπὲρ ἡμῶν πρεσβεύοντας, τοῦ ῥυσθῆναι πταισμάτων.

Θεοτοκίον.

Ἁμαρτιῶν πελάγει με, καὶ παθῶν ἐν τῇ ζάλῃ, διηνεκῶς ποντούμενον, πρόφθασον Θεοτόκε, τῇ παναλκεῖ σου δυνάμει, καὶ διάσωσον τάχος. καὶ πρὸς λιμένα ἴθυνον, μετανοίας με ὅπως δοξολογῶ. σὸν Υἱὸν ὃν ἔτεκες ἀποῤῥήτως, καὶ σὲ τὴν Θεομήτορα, εὐλαβῶς μεγαλύνω.

Εἰς τὸν π. π. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος δ'.

Ἐμπιστευθέντες τῷ Χριστῷ, τὰ ἐπὶ γῆς τερπνὰ κατελίπατε. καὶ τὸν σταυρὸν ἐπ' ὤμων ἄραντες, διὰ βασάνων πολυπλόκων, αὐτῷ ἠκολουθήσατε. καὶ ἐναντίον Βασιλέων καὶ τυράννων πολλῶν, μὴ ἀρνησάμενοι αὐτὸν. Ἄγγελοι τὰ βραβεῖα τῆς νίκης, τὰς κεφαλὰς ὑμῶν κατέστεψαν, πεπαῤῥησιασμένοι τῇ ψυχῇ, καὶ φαιδρῶς εἰς τὸν νυμφῶνα, τὸν μέγαν εἰσεληλύθατε. Πρόβε, τὸ κλέος τῶν Μαρτύρων. Τάραχε, τῶν δαιμόνων ὀλοθρευτά. καὶ Ἀνδρόνικε, νίκη τῶν πιστῶν. παῤῥησίαν ἔχοντες, τῷ Σωτῆρι τῶν ὅλων πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θτ. Ἔδωκας σημείωσιν.

Τὸ χαῦνον, καὶ ἔκλυτον, Παρθενομῆτορ μετάβαλε, τῆς ψυχῆς μου πανάμωμε, εἰς ῥῶσιν καὶ δύναμιν, τῷ φόβῳ καὶ πόθῳ, ποιεῖν τε καὶ πράττειν, τὰ δικαιώματα Χριστοῦ, ὅπως ἐκφύγω τὸ πῦρ τὸ ἄσβεστον, καὶ κλῆρον τὸν οὐράνιον, καὶ τὴν ζωὴν τὴν ἀπέραντον, διὰ σοῦ ἀπολήψωμαι, εὐφραινόμενος πάντοτε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸ ἤγγυται χειρόγραφον, τὸ ἀπ' αἰῶνος μυνείσης σου, τῆς πλευρᾶς πολυέλεε, Ἀδὰμ τοῦ προπάτορος, καὶ ἡ ἀπωσμένη, φύσις καὶ ἀνθρώπων, ῥαντισμῷ Αἵματος τοῦ σοῦ, καθαγιάζεται ἀνακράζουσα· δόξα τῇ εὐσπλαγχνίᾳ σου, δόξα τῇ θείᾳ σταυρώσει σου, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὴν Λειτουργίαν. Ζήτει εἰς Μάρτυρας.

---

## Τῷ αὐτῷ Μηνὶ ΙΓ'.

Τῶν Ἁγίων Μαρτύρων, Κάρπου, καὶ Παπύλου. π̄. Ἦχος α'.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Κάρπους προσενήνοχας Θεῷ τῇ διδασκαλίᾳ σου, τοὺς σεσωσμένους ἀοίδιμε. σαυτὸν δὲ κάρπωμα, ἱερὸν προσῆξας, μαρτυρίου αἵματι, παμμάκαρ φοινιχθεὶς ἱερώτατε. διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Τὸν νοῦν ἐπερείσαντες Χριστῷ, ἀκλινεῖς ἐδείχθητε, ταῖς προσβολαῖς τῶν κολάσεων, οἰκείοις αἵμασι, πλάνης τοὺς προμάχους, ἄρδην κατακρύψαντες, καὶ ἔνδον Παραδείσου σκηνώσαντες, οἱ ἱερώτατοι ἱερεῖα ὡς ἀμώμητα, ὡς τῆς θείας ἀμπέλου βλαστήματα.

Πυρὸς δυνατώτερον τὸν νοῦν, ἐξαφθέντες μάρτυρες, ἐν τῇ ἀγάπῃ τοῦ κτίσαντος, Κάρπε καὶ Πάπυλε, νοητοὶ φωστῆρες,

Digitized by Google

ρες, τὸ πῦρ ἀπεσβέσατε, εἰδώλων δυσφημίας ἐν χάριτι, δρόσῳ τῆς πίστεως, καὶ αἱμάτων ταῖς προχύσεσι, τὸν χειμάῤῥουν, τρυφῆς ἐκληρώσασθε.

Δόξα. Ἦχος Πλ. β΄.

Ὡς ἄξιος ἐν θεόπταις, τοὺς Οὐρανοὺς σὺ εἶδες Ὅσιε ἀνεῳγμένους. καὶ τὸν Κύριον ἐν θρόνῳ καθήμενον. καὶ Χερουβὶμ καὶ Σεραφὶμ περικύκλῳ αὐτοῦ· καὶ παρὰ σοῦ πάλιν ἡμεῖς φωτισθέντες, τὸ ἱερόν σου ποίμνιον Κάρπε βοᾷ σοι· αἴτησαι εἰρήνην τῷ Κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θτ. Τριήμερος ἀνέστης.

Τὴν πᾶσάν μου ἐλπίδα εἰς σέ, Παρθένε ἀνατίθημι, μὴ παρίδῃς, ἀλλὰ σπεῦσον ἀγαθή, ῥυσθῆναί με ἐν τάχει, παθῶν τῶν ἐνοχλούντων, καὶ καθ᾿ ἑκάστην πολεμούντων με.

Σταυροθεοτοκίον. Ὅμοιον.

Παρίστατο τῷ ξύλῳ ποτέ, καιρῷ τῷ τῆς σταυρώσεως, ἡ Παρθένος, σὺν παρθένῳ Μαθητῇ, καὶ κλαίουσα ἐβόα· οἴμοι πῶς πάσχεις πάντων, Χριστὲ ὑπάρχων ἡ ἀπάθεια.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. οἱ Κανόνες τῆς Ὀκτωήχου. καὶ τῶν Ἁγίων. Οὗ ἡ ἀκροστιχίς. Κάρπον τὸν αἶνον, σὺν Παπύλῳ προσφέρω.

Θεοφάνους. Ὠδὴ α΄. Ἦχος Πλ. β΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Καταυγασθῆναι τῇ αἴγλῃ τῆς σῆς Χριστέ, ἀνάρχου Θεότητος, τὴν ζοφώδη μου ψυχήν, καὶ δοθῆναι λόγον μοι αἰτῶ, τοῦ ἀξίως τοὺς σοφοὺς ὑμνῆσαι Μάρτυρας.

Ἀπαρνησάμενοι πᾶσαν τὴν γεηρὰν, ἀθληταὶ ἀπόλαυσιν, ἐπτερώσατε ὑμῶν, τὴν νῦν πρὸς Οὐράνιον ὁδόν, δι᾿ ἀσκήσεως τὸ πρίν, καὶ νῦν δὲ αἵματος.

Ῥᾳδίως ἤχθητε πάντα πρὸς πειρασμόν, ὑποστῆναι πάνσοφοι, δυναστείᾳ Θεϊκῇ, δι᾿ ἧς καὶ τὴν ἅπασαν ἰσχύν, τῶν ἐχθρῶν καταβαλόντες, κλέος ἤρασθε. Θεοτ.

Παλαιωθέντα τὸ πρίν με τῇ συμβουλῇ, τοῦ δολίου ὄφεως, ὁλωλότα ὁ Θεός, καθορᾷν μὴ φέρων με ἐν σοί, κατῴκησας τῇ σεμνῇ, ἐκαινοποίησεν.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος.

Ὡς τὸ τοῦ κτίστου ἀληθῶς, κατ᾿ εἰκόνα τηροῦντες, οὐκ ἐκάμψατε γόνυ, ἀντιθέοις τῶν ἐθνῶν, σεβάσμασιν. ἀλλ᾿ ὤχῃ, ἀντιτύπῳ, ταῦτα κατεστρέψατε.

Τῇ δυσσεβεῖ τοῦ δικαστοῦ, οἱ γενναῖοι προστάξει, αἰσθητῶς γυμνωθέντες, ἐνεδύσαντο Χριστόν. δι᾿ ὃν καὶ ὥσπερ κριοί, πεδηθέντες, ἤγοντο ἀλύσεσι.

Ὁρῶν τὸ ἄτρεπτον ὑμῶν, πρὸς αὐτὸν τῆς ἐλπίδος, ὁ τῶν ὅλων Δεσπότης ἐν νυκτὶ ἀγγελικαῖς, ἐπιστασίαις θαῤῥεῖν, ἐν βασάνοις, ἔνδοξοι προτρέπεται.

Θεοτοκίον.

Νοσοῦσαν Δέσποινα δεινῶς, τὴν ψυχήν μου τῷ πλήθει, τῶν πολλῶν μου πταισμάτων, θεραπεύσας τῇ θερμῇ, πρεσβείᾳ σου πρὸς Θεόν, καὶ τὰ πάθη ἴασαι τοῦ σώματος.

Ὁ Εἱρμός.

„ Οὐκ ἔστιν Ἅγιον ὡς σύ, Κύριε ὁ Θεός „ μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν „ σου ἀγαθέ. καὶ στερεώσας ἡμᾶς, ἐν τῇ „ πέτρᾳ, τῆς ὁμολογίας σου.

Κάθ. Ἦχος γ΄. Θείας πίστεως.

Ὅπλοις πίστεως καθωπλισμένοι, διελύσατε τὰς παρατάξεις, τῶν ἀθέων, ἀθλοφόροι πανεύφημοι. καὶ ἀφθαρσίας τὸ στέφος ἐδέξασθε, Μαρτυρικὸν διανύσαντες δίαυλον, Κάρπε Πάπυλε, Χριστὸν τὸν Θεὸν αἰτήσασθε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θτ. Ὅμοιον.

Θεία γέγονας σκηνὴ τοῦ Λόγου, μόνη πάναγνε Παρθενομῆτορ. τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα. τὸν ὑπὲρ πάντας ἐμὲ δὲ γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον πρεσβείαις σου, τοῖς ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἀμίαντος ἀμνὰς τοῦ Λόγου, ἡ ἀκήρατος Παρθενομῆτορ, ἐν τῷ Σταυρῷ θεα-

Digitized by Google

θεασαμένη κρεμάμενον, τὸν ἐξ αὐτῆς ἀμωδιώως βλαςήσαντα, μητροπρεπῶς θρηνῳδοῦσα ἐκραύγαζεν. οἴ μοι τέκνον μου πῶς πάσχεις, θέλων ῥύσασθαι, παθῶν τῆς ἀτιμίας τὸν ἄνθρωπον.

Ὠδὴ δ΄. Χριςός μου δύναμις.

Λειῖλω ἔνδοξοι, Θεῷ προσήξατε, ἀθλοφόροι θυσίαν τὸν εὐκλεῆ, πίςει Ἀγαθόδωρον, ἀποκρυσάμενοι ἐχθροῦ, τὴν ἀπάτλω ἀγαπήσει Χριςοῦ.

Ἰῷ τοῦ ὄφεως, μανεὶς ὁ τύραννος, δεσμωθῆναί σε φήσας καὶ τὰς πλευρὰς Κάρπε καταξέεσθαι. αὖθις δὲ φλέγεσθαι πυρί, τὸ στέῤῥόν σου οὐ διέλυσε.

Νυμφῶνα Πάπυλε, ἐπιποθήσας ἰδεῖν, τοῦ Δεσπότου πρὸς ὕψος ἀναρτηθεὶς, ξέεσθαι οὐ δέδοικας, οὔτε πυρὸς ἀπειλοῦντος, ὑπεχώρησας θεσπέσιε.

Θεοτοκίον.

Ὁρῶν ἐκ σπλάγχνων σου, Θεὸν ἐρχόμενον, ὁ Ἀδὰμ ὡς ἐν ζόφῳ τῷ τῶν παθῶν, Δέσποινα ἐβόα σοι· σῇ μεσιτείᾳ τῶν δεινῶν, τοῦ θανάτου με ἐξάρπασον.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου.

Νηπίων ὥσπερ τῶν ἀσεβῶν, βέλη τὰς τῶν λίθων βολίδας, δέσμιος ὢν σὺ λελόγισαι, Πάπυλε τρισμάκαρ, ἐνδεδυμένος ςολὴν, τῆς πίςεως τὴν ὄντως ἀκαταμάχητον.

Νεκρὸς γεγένηται ὁ ἐχθρὸς, ἐν τῇ καρτερίᾳ σου μάκαρ, καὶ ςαθηρᾷ γενναιότητι. κράτος γὰρ θεόθεν περιεβάλλου σαφῶς, δι᾽ οὗ διττοὺς πολέμους Κάρπε ἐνίκησας.

Στόματα θηρῶν ὡς Δανιὴλ, Μάρτυρες ἐφράξατε ὅπλοις, ἐνθέοις Κάρπε καὶ Πάπυλε. τούτους δὲ κηρύττειν, Θεοῦ ὑπάρχειν ὑμᾶς, γενναίους ἀθλοφόρους, πίςει ἐδείξατε.

Θεοτοκίον.

Υἱὸν Θεοῦ τὸν Ἐμμανουὴλ, τίκτειν Ἡσαΐας σε μόνλω, προανεφώνει ἀμόλωντε, τὸν δι᾽ εὐσπλαγχνίαν καταξιώσαντα, ἡμῖν ὁμοιωθῆναι, καὶ ἀπαλλάξαι φθορᾶς.

Ὠδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Νευρούμενοι πνεύματι, καὶ τὴν δρόσον παρ᾽ αὐτοῦ, δεχόμενοι ἀήττητοι. ἐμβληθέντες ἀσβέςῳ ἐκκαυςικῇ, οὐδ᾽ ὅλως ἐφλέχθητε, ἀλλὰ ταύτλω ὡς λίθους ἀπειργάσασθε.

Νάμασι κατήρδευσας, διδαγμάτων τὰς ψυχὰς, τῶν ἀσεβῶν ἀοίδιμε. καὶ διὰ τοῦτο ἄφθονον ὁ Χριςὸς, πηγλώ σε ἀνέδειξε, τῶν θαυμάτων ἐν Κόσμῳ παναοίδιμε.

Προθύμως ἀνέκραζον, ὡς ἐκ ςόματος ἑνὸς, οἱ ἀθλοφόροι Κύριε. οὐ λιμὸς οὐδὲ θλίψις οὐ διωγμὸς, τῆς σῆς ἡμᾶς Δέσποτα, δυνηθῇ ἐκχωρίσαι ἀγαπήσεως.

Θεοτοκίον.

Ἀδὰμ τὸν Προπάτορα, γυναικεία συμβουλὴ, πάλαι μὲν ἐθανάτωσε. νῦν δὲ Θεὸς ἐν μήτρᾳ σου χωρηθεὶς, ἐζώωσε Δέσποινα, καὶ Υἱὸν φωτὸς αὖθις ἀπειργάσατο.

Ὁ Εἱρμός.

„ Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένλω
„ καθορῶν, τῶν πειρασμῶν τῷ κλύ-
„ δωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμὼν,
„ βοῶ σοι ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν
„ μου πολυέλεε.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς.

Ὡς θησαυρὸν πολυτελῆ ὁ Δεσπότης, καὶ κρίνλω βρύουσαν κρουνοὺς ἰαμάτων, τοῖς ἐπὶ γῆς παρέχετο τὰ λείψανα ὑμῶν. νόσους μὲν καθαίροντα, παθημάτων ποικίλων. χάριν δὲ βραβεύοντα, ταῖς ψυχαῖς ἀενάως. διὸ συμφώνως Κάρπε τὴν ὑμῶν, Πάπυλε πόθῳ, τελοῦμεν πανήγυριν.

Ὁ Οἶκος.

Ἡ προαιώνιος Θεοῦ Σοφία τε καὶ Λόγος, νοὸς μου τὴν ὁμίχλλω ἀπέλασον. καὶ δίδου λόγον σοφίας ὡς Θεὸς, τοὺς μιμησαμένους διὰ πόθον ὁλικῶς τὰ θεῖά σου παθήματα, ἀνυμνῆσαι προθύμως, ὡς ὑπὸ σοῦ Δέσποτα τῶν ὅλων ἐπαξίως τῶν ἀγώνων τὰς ἀμοιβὰς ἀποληψομένους. ἐνταῦθα γὰρ πιςῶν οἱ δῆμοι κυκλοῦντες τῶν λειψάνων τὴν σορὸν, τὴν δεξίαν δρέπονται

Digitized by Google

ται ἀεὶ, συμφώνως ἐπιτελοῦντες, Πάπυλε Κάρπε, ὑμῶν τὴν πανήγυριν.

Τῷ αὐτῷ Μηνὶ ΙΓ΄. Τῶν Ἁγίων Μαρτύρων, Κάρπου, Παπύλου, Ἀγαθοδώρου, καὶ Ἀγαθονίκης.

Στ. Κάρπῳ Παπύλῳ τοῖς Θεοῦ καρποῖς δύω,
Πᾶς πυλεὼν τμηθεῖσιν ἠνοίγη Πόλου.
Ἀγαθόδωρον δωρεῶν πλῆθος μένει,
Πρὸς πλῆθος ἀθλήσαντα δεινῶν μαστίγων.
Οὐκ ἐμποδὼν σοι Μάρτυς Ἀγαθονίκη,
Τὸ θῆλυ πρὸς τὸ θεῖον ἐκ ξίφους τέλος.
Κάρπον σὺν Παπύλῳ δεκάτῃ τρίτῃ ἔκταμε χαλκός.

Οὗτοι οἱ ἅγιοι τοῦ Χριστοῦ Μάρτυρες ὑπῆρχον ἐπὶ Δεκίου Βασιλέως, καὶ Οὐαλλεριανοῦ Ἀνθυπάτου Ἀσίας, ἰατροὶ τὴν τέχνην. ὧν ὁ μὲν Ἅγιος Κάρπος, Ἐπίσκοπος ἦν Θυατείρων. ὁ δὲ Πάπυλος Διάκονος, ὑπ' αὐτοῦ τοῦ Κάρπου χειροτονηθείς. κρατηθέντες οὖν παρὰ τοῦ Ἄρχοντος, καὶ ἐρωτηθέντες, ὡμολόγησαν ἐνώπιον πάντων τὸ ὄνομα τοῦ Δεσπότου Χριστοῦ· καὶ ἀναγκασθέντες θῦσαι τοῖς εἰδώλοις, καὶ μὴ πεισθέντες, προσεδέθησαν ἵπποις, καὶ περιεπάτουν ἔμπροσθεν τοῦ ἅρματος, συρόμενοι πρὸς τὰς Σάρδεις, κἀκεῖ κρεμασθέντες ἐπὶ ξύλου, ξέονται. καὶ ὁ ἅγιος Ἀγαθόδωρος δοῦλος ὢν τῶν ἁγίων, καὶ ἀκολουθῶν αὐτοῖς, Θείου Ἀγγέλου ἐπιχύσαντος, καὶ αὐτὸς τὸν Χριστὸν ὡμολόγησε. καὶ κρεμασθεὶς, ῥάβδοις τύπτεται σφοδρῶς. καὶ οὕτω τυπτόμενος, τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο. ὁ δὲ Ἅγιος Κάρπος κρεμάμενος ὑπεμειδίασε. καὶ ἐρωτηθεὶς παρὰ τοῦ Ἄρχοντος, τίνος χάριν ὦ Κάρπε ἐμειδίασας; εἶπεν· ὅτι εἶδον τὴν δόξαν τοῦ Κυρίου μου, καὶ ἐχάρην. ὁ δὲ Πάπυλος δεσμεῖται πάλοις τέσσαρσι, καὶ εἰς ὕψος αἴρεται, καὶ λίθοις βάλλεται, ἀβλαβὴς διαμείνας. μετὰ ταῦτα ἀχθέντες οἱ Ἅγιοι ἅμα, ὕπτιοι ἐπὶ τριβόλοις σύρονται, τυπτόμενοι ἄνωθεν, καὶ θηρείοις βορὰ ῥιπτόμενοι. καὶ λέων τότε ἀνθρωπίνῃ φωνῇ φθεγγόμενος, καὶ ὠρυόμενος, διεκώλυε τοὺς διώκοντας [illegible] τοιαύτης ὠμότητος. οἱ δὲ βύσαντες τὰ ὦτα, καὶ κρηπῖσιν αὐτοὺς σιδηραῖς καθηλώσαντες, ἐν τῇ καμίνῳ ἐναπέρριψαν. ἔνθα καὶ ἡ τοῦ Ἁγίου Παπύλου ἀδελφὴ Ἀγαθονίκη δεξαμένη, συνεισῆλθεν αὐτοῖς. ἐπεὶ δὲ τὸ πῦρ, καταῤῥαγέντος ὑετοῦ, ἐσβέσθη, καὶ οἱ Ἅγιοι ἄφλεκτοι καὶ ἀβλαβεῖς διέμειναν, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Φλωρεντίου.

Στ. Ὢ θράσος οἷον Μάρτυρος Φλωρεντίου.
Πρὸς τὴν φλόγα τρέχοντος, ὥσπερ πρὸς δρόσον.

Ὁ Ἅγιος Μάρτυς Φλωρέντιος ὑπῆρχεν ἐκ πόλεως Θεσσαλονίκης. Χριστιανὸς δὲ ὤν, καὶ ζηλωτὴς τοῦ καλοῦ, ὕβριζε καὶ διέβαλλεν ἐπὶ πάντων τοὺς Θεοὺς τῶν Ἑλλήνων. ἐπεστήριζε δὲ τοὺς Χριστιανοὺς τῇ πρὸς Χριστὸν πίστει καὶ παντοίως ὡδήγει πρὸς τὴν τῶν Θείων αὐτοῦ ἐντολῶν ἐργασίαν. οὕτω δὲ ποιῶν, ἐκρατήθη παρὰ τοῦ τῆς χώρας Ἡγεμόνος, καὶ ἐρωτηθεὶς, τὸν μὲν Χριστὸν παῤῥησίᾳ ὡμολόγησεν ἐνώπιον πάντων, ὄντα Θεὸν προαιώνιον καὶ Ποιητὴν τοῦ παντός. τοὺς δὲ τῶν Ἑλλήνων Θεοὺς, ξύλα, λίθους, χρυσὸν, ἄργυρον, χαλκὸν, σίδηρον, εἴδωλα ἄψυχα καὶ ἀναίσθητα. καὶ ταῦτα εἰπὼν, τύπτεται σφοδρῶς. εἶτα κρεμᾶται ἐπὶ ξύλου, καὶ ξέεται. καὶ πυρᾶς ἀναφθείσης μεγάλης, ἐμβάλλεται ἐν αὐτῇ, χαίρων καὶ προσευχόμενος ἐν αὐτῇ, καὶ εὐχαριστῶν τῷ Θεῷ, ἐτελειώθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Διοσκόρου.

Στ. Τμηθεὶς ὁ Διόσκορος αἰχμῇ Δία,
Τὸν μὴ λαβόντα ψυχαπωλείας κόρον.

Οὗτος ἤθλησεν ἐπὶ τῆς Βασιλείας Διοκλητιανοῦ. γένος μὲν ἕλκων τῶν Σκηνοπολιτῶν, καὶ τῆς δοκούσης κατὰ τὰς πόλεις τῶν βουλευτῶν ἀξίας ἐπειλημμένος. οὗτος ἡγησάμενος τὰ τοῦ βίου πάντα ὡς σκύβαλα, ἵνα Χριστὸν κερδήσῃ μόνον, παῤῥησιάζεται. καὶ παραστὰς Λουκιανῷ τῷ Ἄρχοντι,

καὶ

Digitized by Google

καὶ τοῦτον καταβροντήσας, μᾶλλον δὲ καταγελάσας, καὶ εἰς οὐδὲν θέμενον τὰς αὐτοῦ ἀπειλάς τε καὶ θωπείας, ἐπειδὴ καὶ πῦρ αὐτῷ προσῆγε καὶ στρεβλωτήρια, καὶ τὰ λοιπὰ τῶν βασάνων εἴδη περιενόει, καὶ πάντα ὑπῆρχον εἰς οὐδὲν καὶ ἀνενέργητα, ξίφει τὴν κεφαλὴν αὐτοῦ ἐκτέμνει.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νικήτα Πατρικίου τοῦ Ὁμολογητοῦ.

Στίχ. Θλίψεις ὑποστὰς Εἰκόνων Θείων χάριν.

Χαίρει χαρὰν Νικήτας, οἵαν οἱ Νόες.

Οὗτος γεννᾶται ἐν τῇ Παμφλαγόνων χώρᾳ, παρὰ εὐσεβῶν καὶ φιλοθέων γονέων. φασὶ δὲ αὐτὸν ἀπόγονον εἶναι Θεοδώρας τῆς Βασιλίσσης. ἐκδοθεὶς δὲ καὶ παιδευθεὶς, ἐν τῇ Βασιλευούσῃ εἰσῆλθε, δεκαεπτὰ χρόνων ὑπάρχων. Εἰρήνης δὲ τότε τὰ σκῆπτρα τῆς Βασιλείας κρατούσης, καὶ τὸν Παῖδα ἀναμαθούσης εὔψυχον εἶναι, ὡς παρὰ τῶν γονέων εὐνουχισθέντα, ἀνελάβετο. καὶ δι᾽ ὀλίγου πρῶτος ἐν τοῖς οἰκείοις πάντων γίνεται. καὶ φθάσας τὸ τῶν Πατρικίων ἀξίωμα, στρατηγὸς Σικελίας προβάλλεται. ἔκτοτε οὖν καλῶς καὶ θεαρέστως βιώσας, καὶ βουλόμενος ἀποκαρῆναι, οὐ συνεχωρεῖτο παρὰ τῶν κρατούντων, τοῦ τε Νικηφόρου, καὶ τοῦ Υἱοῦ αὐτοῦ Σταυρακίου. ὕστερον δὲ κρατήσαντος τοῦ Βασιλέως Μιχαὴλ, μόλις οὗτος παρακληθεὶς, κατένευσε, Μοναχὸν μὲν γενέσθαι, τῆς Πόλεως δὲ μὴ ἐξελθεῖν. ἀλλ᾽ εἰς τὴν λεγομένην χρυσῆν πόρταν δοὺς αὐτῷ Μονὴν, τὴν λεγομένην Χρυσονίκην, προσμένειν ἐκέλευσε. πεντήκοντα δὲ χρόνων ὢν, καθ᾽ ὃν καιρὸν ἀποκαρεὶς, ἀνάδοχος ὁ Βασιλεὺς τούτου γέγονεν. ἐν ταύτῃ τῇ Μονῇ διῆγεν ἄχρι τῆς Βασιλείας Λέοντος τοῦ Εἰκονομάχου. ὡς δὲ ἑώρα τὰ κατὰ τῶν ἁγίων Εἰκόνων γινόμενα, ἐξελθὼν τῆς Πόλεως, εἰς προάστειον ἀπῆλθεν, ὃ αὐτὸς ἐν τῇ Μονῇ ἐδωρήσατο, καὶ συγκατέμιξεν ἑαυτὸν τοῖς ἐσχάτοις Ἀδελφοῖς, συνεσθίων καὶ συγκοπιῶν αὐτοῖς. ἐπεὶ δέ τινες διαβολεῖ τῷ Θεομάχῳ χαριζόμενοι προσήγγειλαν, Εἰκόνα κεκτῆσθαι τοῦτον τοῦ Σωτῆρος, ἣν ἐκ πίστεως ἀπὸ Ῥώμης ἔλαβεν, ἀπεστάλη τῶν τῆς τάξεως αὐτοῦ τις, λόγοις οὐκ ἀνειμένοις, ἀλλὰ καὶ ἀπειλαῖς ἐκφοβῶν, καὶ ἀπαιτῶν δοθῆναι οἱ τὴν σεβασμίαν Εἰκόνα. ὡς δ᾽ οὐκ εἶχε τοῦτον καταπεῖθῃ, ὀψέποτε ἀποκρινόμενον ὡς οὐκ ἐμὴ αὕτη ἡ σεβασμία Εἰκὼν, ἀλλὰ τοῦ Θεοῦ, καὶ τοῖς ἱεροῖς τῆς Ἐκκλησίας ἀφιερωθεῖσα κειμηλίοις, ἁρπάσας ἕτερον ἀδελφὸν, ἐπὶ τὸ δειχθῆναι αὐτῷ τὸ ζητούμενον, εἰσῆλθεν ἐν τῇ Ἐκκλησίᾳ. καὶ λαβὼν τὴν σεβασμίαν Εἰκόνα ὡς μῦσός τι, ἔρριψεν ἀτίμως ἐν τῷ βεριδαρίῳ αὐτοῦ. ὁ δὲ Ἅγιος τοῦτο ἰδὼν, ἐκ βάθους ἐστέναξεν, ἀρχὴν πειρασμῶν τοῦτο λογισάμενος. ἐπεὶ δὲ ἀποχωρεῖν ἔμελλεν ὁ ἀποσταλεὶς, ἐξησφαλίσατο, μηδόλως τὸν Ἅγιον ἐξέρχεσθαι τῶν ἐκεῖσε. Θεοφίλου δὲ ἑτέρου μετὰ ταῦτα τὴν Βασιλείαν κατασχόντος, θεομάχου, καὶ τούτου τὸ κατὰ τῶν ἁγίων Εἰκόνων οὐκ ἀμελῶς μετερχομένου, ἀπεστάλη καὶ πρὸς τὸν ὅσιον Θεοδόσιός τις οὕτως εἰρηκὼς ἐνώπιον τῶν παρευρεθέντων· ὁ Βασιλεὺς κελεύει σοι δι᾽ ἐμοῦ, ἢ τῷ Πατριάρχῃ Ἀντωνίῳ κοινωνῆσαι, καὶ ταῖς Εἰκόσι μὴ προσκυνεῖν, ἢ τῇ αὐτῇ ὥρᾳ ἐξορισθῆναι τῶν ὧδε. καὶ ὁ Ἅγιος, τὴν τοῦ Χριστοῦ καὶ Θεοῦ μου Εἰκόνα οὐ παύσομαι ἀεὶ προσκυνεῖν, κἂν ὑμεῖς ἀπαρέσκησθε. τὸν δὲ Ἀντώνιον, εἴπερ ἐν τῷ καθεστηκότι εἰμὶ, οὐκ ὀνομάσω Πατριάρχην, ἀλλὰ μοιχόν. λοιπὸν, ἐξόριζε, σφάττε, ποίει ὃ βούλει. καὶ εὐθέως ἐξώρισεν αὐτὸν ἐκεῖθεν. ὁ δὲ Ἅγιος τῷ Θεῷ εὐχαριστήσας, λαβὼν μεθ᾽ ἑαυτοῦ τρεῖς ἀδελφοὺς, εἰς ἕτερον προῆλθε προάστειον ἀλλαχοῦ που κείμενον. καὶ διαβιβάσας ἐκεῖσε τὴν Ἁγίαν Τεσσαρακοστὴν ἄχρι τῆς Πεντηκοστῆς, καταλαμβάνει τὸ Παντείχιον. ἐπεὶ δὲ δόγμα ἐξετέθη, μὴ ὑποδέχεσθαι τοὺς φεύγοντας Χριστιανοὺς, στενοχωρηθεὶς ὁ Ἅγιος, πρὸς Ἐρίβολον ὑπέστρεψεν. ὡς δὲ καὶ ἐκεῖσε διὰ τὴν τῶν Ἀγαρηνῶν ἔφοδον ἐδυσχέραινον, ἦλθε πρὸς αὐτόν τις Νικόλαος, προσγενὴς, ὢν



Digitized by Google

αὐτῷ, λέγων, οὐ μικρὰν ἀρεῖν ἀνάπαυσιν, εἴπερ ἀφικέσθαι βουληθῇ πρὸς τὸ παρ' αὐτῷ ὂν προάστειον Ζουλοπᾶς οὕτω καλούμενον, ἐκεῖσε παρεγένετο. ἀλλὰ μετὰ χρόνον τινὰ μήνυμα γέγονεν αὐτῷ, ἢ κοινωνῆσαι, ἢ μετανάστην γενέσθαι. μεταβὰς οὖν ἐκεῖθεν, ἀφίκετο πρὸς Κατισιαν. καὶ τόπιον μικρὸν ἀρῶν, ἐξωνήσατο τοῦτο, καὶ εἰς ὄνομα τῶν Ἀσωμάτων δειμάμενος Ναὸν, χρόνους ἱκανοὺς μετὰ τῶν συνόντων αὐτῷ Ἀδελφῶν καλῶς καὶ θεαρέστως διαβιβάσας ἐν αὐτῷ, τελευταῖον εἰς τὸ παρὰ τὴν θάλασσαν ἀφίκετο Μοναστήριον. ἐν ᾧ καὶ τοὺς Μοναχοὺς κατηχήσας, καὶ ἐπευξάμενος, τὴν ἑαυτοῦ πρὸς Κύριον ἐκδημίαν προγνοὺς, ἐξεδήμησε. πολλὰ καὶ ζῶν καὶ μετὰ θάνατον θαύματα πεποιηκὼς, περὶ τὰ ἑβδομήκοντα πέντε ἔτη γεγονώς.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Βενιαμὶν τοῦ Διακόνου.

Ἐν ταῖς ἡμέραις τοῦ Υἱοῦ Γορωράνη Βασιλέως Περσῶν, ὁ Βενιαμὶν Διάκονος ὢν τῆς Ἐκκλησίας τοῦ Θεοῦ, καὶ πολλοὺς Πέρσας καὶ Ἕλληνας μεταβαλὼν πρὸς θεογνωσίαν, ὡς κακοποιὸς διεβλήθη. διὸ καὶ τυφθεὶς ἐμβάλλεται τῇ εἱρκτῇ. δύω δὲ ἐνιαυτῶν παραδραμόντων αὐτῷ ἐν τῇ φυλακῇ, Πρέσβυς Ῥωμαίων ἀφικόμενος πρὸς τὸν Βασιλέα Περσῶν, μαθὼν περὶ τούτου, τὸν Βασιλέα ᾐτήσατο, ἀφεθῆναι τὸν Βενιαμίν. ὁ δὲ Βασιλεὺς, εἰ ἀπόσχεσθαι ἔφησε τοῦ διδάσκειν τοὺς μάγους τὸν Χριστιανισμόν. καὶ ὁ Πρέσβυς, φυλάττειν ἐξόπαντος τὰ προστεταγμένα ὦ Βασιλεῦ, ὡς ἀναγκαῖον, ἀπεκρίνατο. ὁ δὲ Βενιαμὶν, ὡς τῶν τοῦ Πρέσβεως ἠκροάσατο παραινέσεων, ἀδύνατον ἔφησε, μὴ μεταδοῦναί με τοῦ φωτὸς οὗ μετέλαβον. ὅσης γὰρ ἄξιον τιμωρίας τοῦ κατακρύψαντος τὸ τάλαντον, ἡ τῶν Ἱερῶν Εὐαγγελίων διδασκαλία σαφῶς ἡμῖν παριστᾷ. ἀλλὰ τούτων μὲν οὐδὲν τηνικαῦτα. γνοὺς δὲ ὁ Βασιλεὺς, ἐκέλευσεν αὐτὸν τῶν δεσμῶν ἀφεθῆναι. ἐκεῖνος δὲ πάλιν τὰ συνήθη δρῶν διετέλει. οἷς χαλεπήνας ὁ Βασιλεὺς, εἴκοσι καλάμους ὀξύνας, τοῖς τῶν χειρῶν καὶ τῶν ποδῶν ἐνέπηξεν ὄνυξιν. ἐπεὶ δὲ ἑώρα, ὡς παίγνιον τὴν τιμωρίαν ἡγούμενον, ἕτερον κάλαμον ὀξύνας, ἐνέβαλε τῷ παιδογόνῳ τούτου μορίῳ, καὶ τοῦτο συνεχῶς εἰσάγων τε καὶ ἐξάγων, ἀφορήτους ἀλγηδόνας τῷ Ἁγίῳ εἰργάζετο. μετὰ δὲ τὴν τιμωρίαν ταύτην ὁ θηριώδης καὶ ἀπάνθρωπος ἐκεῖνος, ῥάβδον παχεῖαν ὄζους ἔχουσαν πανταχόθεν, εἰσωθῆναι διὰ τῆς ἕδρας τούτου ἐκέλευσε. καὶ οὕτω τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο ὁ γενναῖος ἀγωνιστής.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἀντιγόνου, διὰ πυρὸς τελειωθέντος.

Στίχ. Τεθνήξομαί σοι τῆς ἐκεῖθεν Χριστέ μου,
Τὴν ὧδε καῦσιν Ἀντίγονος προκρίνων.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Δροσοβόλον μέν.

Ποδῶν Μάρτυρες καθήλωσιν ὑπέστητε, κρηπίδων πανσεβάσμιοι, πορευόμενοι, ἐν ὁδῷ καὶ ᾄδοντες Θεῷ, συντρίψαντες κέντρα ὥσπερ χοῦν, τῆς ἀσεβείας δυσσεβῆ, πίστιν ἱδρύσατε.

Ὑπὲρ Ἥλιον ἀθλοῦντες ἀνελάμψατε, Μάρτυρες ἀξιάγαστοι. καὶ τῆς πλάνης τε, τῶν εἰδώλων ἅπασαν ἀχλὺν, σαφῶς ἐδιώξατε πιστοῖς, θεογνωσίας φωτισμὸν ἀεὶ δωρούμενοι.

Λαβροτάτην φλόγα μέλλουσαν ἀνάπτεσθαι, ἐν ταύτῃ τε βληθῆναι ὑμᾶς, ἡ πανόλβιος καθορῶσα ἔκραζε Χριστῷ· χορὸν μὴ στερήσῃς με τοῦ σοῦ, Ἀγαθονίκη ἀθλητῶν, ὁ τῶν Πατέρων Θεός.

Θεοτοκίον.

Ὡς ἀκένωτον πηγὴν σε πάντων Δέσποινα, κατέχομεν οἱ δοῦλοί σου. καὶ βοήθειαν, καὶ στεῤῥὸν ὀχύρωμα Ἁγνὴ, καὶ τεῖχος καὶ σκέπην ἀγαθήν. μὴ στερηθείημεν ἀεὶ σῆς ἀντιλήψεως.

Ὠδὴ η'. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Πυρὶ παραδοθέντας Κάρπον καὶ Πάπυλον, καθορῶσα ἡ μάρτυς Ἀγαθονίκη θερμῶς, πόθῳ πρὸς αὐτοὺς, συνελθοῦσα χορεύουσα, οἳ καὶ τὴν Τριάδα, τυποῦντες ἐφρουροῦντο.

Ῥίψαν

Digitized by Google

Τρόπαιον τὴν τοῦ Δεσπότου ἀναλαβόντες σοφοί, ὑπὲρ τῶν ἀναιρούντων καθικετεύετε. ὅθεν καὶ ὑμεῖς, ἐκτμηθέντες τὰς κάρας ὁμοῦ, ἐν χερσὶ Κυρίου, παρέθεσθε τὸ πνεῦμα.

Οἱ κρουνοὶ τῶν αἱμάτων ὑμῶν παμεύφημοι, ῥαντισμός τε καὶ ἄκος ἡμῶν γεγόνασι. τὴν εἰδωλικὴν πλάνην κατεξωλόθρευσαν, Θεὸν τῶν ἁπάντων, κηρύττουσι γνησίως.

Θεοτοκίον.

Συμπαθὴς Θεοτόκε τὸν εὐσυμπάθητον, ἡ τεκοῦσα Σωτῆρα ἴδε τὴν κάκωσιν, καὶ τὸν στεναγμὸν τοῦ λαοῦ σου καὶ ταχυνον, τοῦ παρακαλέσαι, ἡμᾶς οἰκτειρηθῆναι.

Ὁ Εἱρμός.

„ Ἐκφλογὸς τοῖς Ὁσίοις δρόσον ἐπήγασας, καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας. ἅπαντα γὰρ δρᾷς Χριστὲ μόνῳ τῷ βούλεσθαι. σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν.

Φωτὶ τῷ Θείῳ μου πλησιάζοντες, πρεσβευτικαῖς αὐγαῖς τὴν Ἐκκλησίαν φωτίζετε. τὴν ἐσκοτισμένην ἐξ ἀγνοίας δεινήν, δόξαν εἰκονομάχων ἀποδιώξαντες, καὶ τῇ ὀρθοδόξῳ πρὸς Θεὸν πίστει στηρίξαντες.

Ἐχθρῶν δαιμόνων στίφη διώκετε, καὶ πειρασμῶν ἡμᾶς ἀπολυτροῦσθε μακάριοι. μαλακίας πάσης καὶ νοσήματος, τοὺς ὑμῶν τῷ Τεμένει, πίστει προστρέχοντας, νόσοι ἀπαλλάττετε Θεοῦ, Κάρπε καὶ Πάπυλε.

Τὰς ῥοὴν δακρύων μου μὴ ἀπώσησθε, ὦ ξυνωρὶς Ἁγίων Ἀθλοφόρων ὡς ἔχοντες, παῤῥησίαν μου πρὸς τὸν Δεσπότην Χριστόν. σκότους με ἀφαρπάσαι, τοῦτον αἰτήσασθε, καὶ τοῦ ἀκηράτου φωτισμοῦ καταξιώσατε.

Θεοτοκίον.

Ὠδὴν προσάγω σοι πόθῳ Δέσποινα, ἐκ ῥυπαρῶν χειλέων μου ὁ τάλας καὶ δέομαι. τοῦ βορβόρου ῥῦσαί με τῶν ἔργων μου, πάντας δὲ τοὺς ἐν πίστει, ἀνευφημοῦντάς σε, τῆς ἐκ δεξιῶν τοῦ σοῦ Υἱοῦ, δόξης ἀξίωσον.

Ὁ Εἱρμός.

„ Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον. ὃν οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγματα. διὰ σοῦ δὲ Πάναγνε ὤφθη βροτοῖς, Λόγος σεσαρκωμένος, ὃν μεγαλύνοντες, σὺν ταῖς οὐρανίαις στρατιαῖς, σὲ μακαρίζομεν.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Συνόντες παμμακάριστοι, Θεῷ τῷ Παντοκράτορι, καὶ ἀστραπαῖς ταῖς ἐκεῖθεν λαμπόμενοι ἀθλοφόροι, Κάρπε Χριστοῦ Ἱεράρχα, καὶ Πάπυλε ἀοίδιμε, στεφανηφόροι Μάρτυρες, τῶν τὴν ὑμῶν ἐκτελούντων, μέμνησθε πάμφωτον μνήμην.

Θεοτοκίον. Ὅμοιον.

Τὴν μόνην Θεομήτορα, ἀπαύστως μακαρίσωμεν, οἱ σεσωσμένοι τῷ ταύτης, ὑπερφυεῖ θείῳ τόκῳ. ἀξιοχρέως μέλποντες, τὴν Θεοτόκον Δέσποιναν. λύτρον ἡμῖν γὰρ τέτοκε, πλημμελημάτων ἀρχαίων, Χριστὸν Τριάδος τὸν ἕνα.

Εἰς τὸν ἤ. ἢ. τῆς Ὀκτωήχου.

Εἰς τὴν Λειτουργίαν.

Ζήτει εἰς Μάρτυρας.

Τῷ αὐτῷ Μηνὶ ΙΔ΄.

Τῶν Ἁγίων Μαρτύρων Ναζαρίου, Γερβασίου, Προτασίου, καὶ Κελσίου καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κοσμᾶ τοῦ Ποιητοῦ. ἤ. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Οἱ τῆς πίστεως πρόμαχοι, τὸν ἀγῶνα τελέσαντες, τὸν τῆς νίκης στέφανον ἐκομίσαντο. ὁ γενναιόφρων Ναζάριος, ὁ μέγας Προτάσιος, σὺν Κελσίῳ τῷ σοφῷ, ὁ θεόφρων Γερβάσιος. οὓς ὑμνήσωμεν, ὡς γενναίους ὁπλίτας ὡς τῆς ἄνω, Βασιλείας κληρονόμους, ὡς ἐθελόθυτα θύματα.

Εὐφημείσθω Ναζάριος, καὶ τιμάσθω Προτάσιος, καὶ ὁ Θεῖος Κέλσιος, καὶ Γερβάσιος. οἱ εὐκλεῶς ἐναθλήσαντες, καὶ πλάνην μειώσαντες, καὶ Ἀγγέλων τοῖς χοροῖς, ἱερῶς ἀριθμούμενοι καὶ θεούμενοι, κατὰ μέθεξιν θείαν καὶ τῆς νίκης, τοὺς στεφάνους ἐκ παλάμης, ζωαρχικῆς κομισάμενοι.

Ὁ

Digitized by Google

Ὁ θεόφρων Ναζάριος, τῷ ἐνθέῳ κηρύγματι, Πόλεις διερχόμενος κατεφώτισεν. ὃν μιμησάμενος Κέλσιος, τὸ κλέος ἐκτήσατο, τῆς ἐνθέων ἀρετῆς, συμπατήσας τὸν δόλιον. τούτους ἅπαντες, ἐν αἰνέσει τιμῶμεν ὡς ἀστέρας, ὡς φωστῆρας τῶν ἐν σκότει, καὶ ἰατροὺς τῶν ψυχῶν ἡμῶν.

Τοῦ Ὁσίου. Ὅμοια.

Ταῖς ἀκτῖσι τοῦ Πνεύματος, ἐλλαμφθεὶς τὴν διάνοιαν, φωτοφόρος γέγονας ἀξιάγαστε, καταφαιδρύνων τὰ σύμπαντα, τῷ κάλλει τῶν λόγων σου, καὶ διδάσκων ἀνυμνεῖν, τοῦ Σωτῆρος τὰ θαύματα, ἃ εἰργάσατο, Θεϊκῇ δυναστείᾳ, καὶ τὰ πάθη, ἃ ὑπέστη ἑκουσίως, ὑπὲρ ἡμῶν ὡς φιλάνθρωπος.

Ἐκκλησία λαμπρύνθητι, καὶ τὰ τέκνα σου κάλεσον, ὑψηλῷ κηρύγματι σοὶ εὐφραίνεσθαι. ἡ γὰρ κιθάρα τοῦ Πνεύματος, ἡ λύρα ἡ ἔνθεος, συγκαλεῖται μυστικῶς, εἰς ἑστίασιν ἅπαντας, τὰ μελίρρυτα, καὶ θεόφθεγκτα ταύτης τῶν ᾀσμάτων, μελῳδήματα προθεῖσα, Κοσμᾶς ὁ θεῖος καὶ ἔνδοξος.

Σάλπιγξ γέγονας Ὅσιε, κελαδῶν τὰ σωτήρια, τοῦ Χριστοῦ παθήματα καὶ τὰ θαύματα, καὶ τῆς παναγνοῦ τὴν κοίμησιν, καὶ πάντας εὐφραίνουσα, ἡδυφθόγγοις σου Κοσμᾶ, καὶ εὐήχοις τοῖς ῥήμασι. διὸ πάντες σε, κατὰ χρέος τιμῶμεν ἀνυμνοῦντες, τὴν πανεύφημον καὶ θείαν, καὶ ἱερὰν σου μετάστασιν.

Δόξα. Ἦχος Πλ. δ΄. Βυζαντίου.

Τὰ θύματα τὰ λογικὰ, Ναζάριον Προτάσιον, Γερβάσιον, καὶ Κέλσιον εὐφημήσωμεν, ὅτι πᾶσαν τυράννων μανίαν, σὺν τοῖς εἰδώλοις κατήργησαν. διὸ ταῖς εὐχαῖς αὐτῶν Χριστὲ ὁ Θεὸς, τὴν εἰρήνην τῷ Κόσμῳ δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτ. Κύριε εἰ καὶ κριτηρίῳ.

Δέδοικα τὴν τῆς ἀποφάσεως ὥραν, καὶ ἀμελείᾳ τὸν βίον μου, ὅλον δαπανήσας ὡς ἄλλος, τῶν ἀνθρώπων οὐδεὶς πώποτε. ἀλλὰ προφθάσασα νῦν, πρὸ τέλους Μητροπάρθενε, ἐκ τῆς δουλείας τοῦ ἀλλοτρίου, τὴν ψυχήν μου ἐλευθέρωσον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἄναρχε Λόγε τοῦ Πατρὸς καὶ Υἱὲ, καὶ τῷ Πνεύματι σύνθρονε. πῶς τὰς σὰς ἀχράντους παλάμας, ἐπὶ τοῦ ξύλου διέτεινας; τίς ἡ τοσαύτη σου νῦν, πτωχεία ὑπεράγαθε; παριστάμενη τῇ σῇ σταυρώσει, ἀνεβόα ἡ παμάμωμος.

Εἰς τὸν Α. Π. τῆς Ὀκτωήχου.

Ἀπολυτίκιον. Οἱ Μάρτυρές σου Κύριε.

Καὶ τοῦ Ὁσίου. Ἦχος πλ. δ΄. Ὀρθοδοξίας ὁδηγέ.

Εἰς τὸν Ὄρθρον, ὁ συνήθης Ψαλτ. Κανὼν τῆς Ὀκτωήχου εἷς. καὶ τῶν Ἁγίων δύω.

Οὗ ἡ ἀκροστιχίς.

Πιστῶς ἀνυμνῶ Μάρτυρας στεφηφόρους.

Ἰωσήφ. Ὠδὴ α΄. Ἦχος δ΄.

Ἀνοίξω τὸ στόμα μου.

Πιστῶς ἐναθλήσαντες, καὶ τὸν ἀγῶνα τελέσαντες, τῆς νίκης τὸν στέφανον, συναπεδύσασθε, Θεῖοι Μάρτυρες, τὴν θείαν ὑμῶν μνήμην, ὅθεν ἑορτάζωμεν, ἐπαγαλλόμενοι.

Ἰσχύι πτερούμενοι, Πνεύματος Θείου τὸ πέλαγος, ἀβρόχως διήλθετε, Μάρτυρες ἔνδοξοι, τῶν κολάσεων, καὶ νῦν πρὸς θεῖον ὅρμον, τῆς ἄνω λαμπρότητος κατεσκηνώσατε.

Σταυρὸν ὥσπερ θώρακα, ἐνδεδυμένοι μακάριοι, ἐχθρὸν τὸν ἀσώματον, κατεπαλαίσατε, μετὰ σώματος, βασάνους πολυπλόκους, καὶ θάνατον ἄδικον καθυπομείναντες.

Θεοτοκίον.

Τὴν μόνην χωρήσασαν, τὸν προαιώνιον, Κύριον, ἐν μήτρᾳ παμάμωμον, Κόρην ὑμνήσωμεν, ὅτι γέγονεν, Οὐρανῶν πλατυτέρα, Θεὸν σωματώσασα, δι᾽ ἀγαθότητα.

Ἕτερος Κανὼν τοῦ Ὁσίου. Ἦχος ὁ αὐτός.

Θαλάσσης τὸ ἐρυθραῖον.

Ὡς θεῖος, ὡς φωτοφόρος Ὅσιε, πᾶσιν ἐξέλαμψας, φωταγωγίαις μάκαρ τῶν λαμπρῶν, καὶ πανσόφων ῥημάτων σου. ὑφ᾽



Digitized by Google

ὑφ' ὧν καταφωτίζεσθαι, πάντας εὐχαῖς σου Κοσμᾶ αἴτησαι.

Τριάδος τῆς ὑπερθέου γέγονας, σάλπιγξ θεόφθογγος, ἀναφωνοῦσα πᾶσι τὰ σεπτά, καὶ σωτήρια δόγματα, καὶ τὰς ψυχὰς εὐφραίνουσα, τῶν ὀρθοδόξων παναοίδιμε.

Οὐδόλως τοῖς σοῖς βλεφάροις δέδωκας, ὕπνον μακάριε, ἕως οὗ ὄντως ἔφθασας σαφῶς, ὀρεκτῶν τὸ ἀκρότατον. παρ' οὗ τὴν χάριν εἴληφας, τῆς ἀληθοῦς Πάτερ νοήσεως.

Θεοτοκίον.

Παρθένος καὶ μετὰ τόκον ἔμεινας. αὐτὸν γὰρ τέτοκας, τὸν Ποιητὴν τῶν ὅλων καὶ Θεόν, ἀσυνήθως καὶ ξένως ἡμῖν, ἐπιφανέντα σώματι, Θεογεννήτορ Μητροπάρθενε.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ὡς βότρυες θεῖοι γεγονότες, ἀμπέλου τῆς θείας ἀληθοῦς, ἀθλήσεως προχέουσιν, οἶνον ἡμῖν οἱ Μάρτυρες, πνευματικῶς εὐφραίνοντα, τὰς διανοίας ἐν χάριτι.

Στερρῶς ἀντετάξω τῷ διώκτῃ, Ναζάριε Μάρτυς τοῦ Χριστοῦ, προσάττοντι κιβδήλοις σε, θύειν θεοῖς Παμόλβιε, τῷ ὡς ἀρνίον θύεσθαι, ἑτοίμως ἔχοντι ἔνδοξε.

Αἰνέσεως πάντες συμφωνίᾳ, ὑμνήσωμεν σήμερον πιστῶς, Ναζάριον Προτάσιον, Γερβάσιον καὶ Κέλσιον, τῆς ἀληθείας Μάρτυρας, γεγενημένους ἐν Πνεύματι.

Θεοτοκίον.

Νόμου προετύπου ἡ σκηνή σε, γενήσεσθαι μέλλουσαν Ἁγνή, Θεοῦ Ἅγιον σκήνωμα, ἐν ᾧ ὁ ἱλασμὸς ἡμῶν, ἁγιασμὸν δωρούμενος, πᾶσιν ἡμῖν ἐπελεύσεται.

Ἄλλος. Εὐφραίνεται ἐπὶ σοί.

Ἐπ' ὤμων ἄρας σοφέ, τὸν τοῦ Κυρίου σου Σταυρὸν ἔκραζες. Κόσμῳ κἀγὼ ἐσταύρωμαι, σάρκα καθηλώσας τῷ φόβῳ σου.

Ὡς χείμαρρος τῆς τρυφῆς, πᾶσι προχέεις τὰ σεπτὰ νάματα, ἄρδων ἀεὶ Ὅσιε, φρένας καὶ ψυχὰς τῶν ὑμνούντων σε.

Ἡ χάρις ἡ τοῦ Θεοῦ, ἐπισκιάσασα ἐν σοὶ πάνσοφε, ἄλλον ἡμῖν ἔδειξε, θεῖον χρυσορρόαν τοῖς φθέγμασι.

Θεοτοκίον.

Κυρίως καὶ ἀληθῶς, σὲ Θεοτόκον οἱ πιστοὶ σέβομεν. σὺ γὰρ Θεὸν τέτοκας, σάρκα γενόμενον πανάμωμε.

Ὁ Εἱρμός.

„ Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία
„ σου Χριστὲ κράζουσα. σύ μου ἰσχὺς Κύ-
„ ριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Καθίσματα. Ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Μαρτύρων τετρακτύν, ἱερῶς ἀθλησάντων, τὴν θείαν καὶ σεπτήν, ἑορτάζομεν μνήμην. τρυφῶντες τὰ θαύματα, καθ' ἑκάστην ὡς νάματα, ἅπερ βρύουσιν, ἐκ τῶν τιμίων λειψάνων. ἀποπαύοντες, τὰς τῶν πιστῶν ἀσθενείας, δυνάμει τοῦ Πνεύματος.

Δόξα. τοῦ Ἁγίου. Ὅμοιον.

Ἡ λύρα τῆς σεπτῆς, καὶ Ἁγίας Τριάδος, Κοσμᾶς ὁ Ἱερός, μελῳδῶν ἰδοὺ ἥκει, τὸ μέλος τὸ Τρισάγιον. σὺν αὐτῷ οὖν βοήσωμεν· ὁ Πατὴρ Υἱός, καὶ Θεῖον Πνεῦμα τὸν Κόσμον, σοῦ εἰρήνευσον, καὶ τὸν Σατὰν ὑπὸ πόδας, ἡμῶν ταχὺ σύντριψον.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Φωτί σου ἀγαθή, τὴν ἐν σκότει ψυχήν μου, καταύγασον Ἁγνή, καὶ τὴν πώρωσιν λῦσον. καὶ δίδαξον πράττειν με, τοῦ Υἱοῦ σου τὸ θέλημα, ὅπως ἄφεσιν, τῶν πολλῶν μου πταισμάτων, εὕρω πάναγνε, καὶ τοῦ πυρὸς τοῦ ἀσβέστου, εὐχαῖς σου ῥυσθήσωμαι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὁρῶσά σε Χριστέ, ἡ πανάμωμος Μήτηρ, νεκρὸν ἐπὶ σταυροῦ, ἡπλωμένον ἐβόα· Υἱέ μου συνάναρχε, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, τίς ἡ ἄφατος οἰκονομία σου αὕτη; δι' ἧς ἔσωσας, τὸ τῶν ἀχράντων χειρῶν σου, Οἰκτίρμον πλαστούργημα.

Ὠδὴ

Digitized by Google

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ὑπὲρ ἔννοιαν ὁ πόθος, τῶν ἁγίων Μαρτύρων σου, ὑπερβαίνει πάντα, Λόγε λογισμὸν τὰ παλαίσματα. καὶ οἱ ἀνδρεῖοι ἀγῶνες, καὶ τὰ ἔπαθλα, ἃ παρέσχες μονίμως, αὐτοῖς ἐναθλήσασιν.

Μίαν γνώμην διαφόροις, αἰκιζόμενοι σώμασιν, οἱ Χριστοῦ ὁπλῖται, ὑπερβολικῶς ἐπεδείξαντο, ἕνα Θεὸν ἐν σταδίῳ ὡμολόγησαν, καὶ πολύθεον, πλάνην σαφῶς ἐξηφάνισαν.

Ναζαρίου Γερβασίου, Προτασίου Κελσίου τε, τῶν σεπτῶν Μαρτύρων, Ἄγγελοι τὴν πάλην ἐθαύμασαν. πῶς ἐν σαρκὶ τῷ ἀσάρκῳ συμπλεκόμενοι, κατηδάφισαν τοῦτον, εἰς γῆν ἀνδρικώτατα.

Ὡς γενναῖοι στρατιῶται, ὡς ἀήττητοι Μάρτυρες, οἱ Χριστοῦ ὁπλῖται, ὡς τῆς εὐσεβείας ὑπέρμαχοι, τὰς Οὐρανίους σκηνώσεις, ἐκληρώσασθε, καὶ χοροῖς τῶν Ἀγγέλων, ἀεὶ ἐπαγάλλεσθε.

Θεοτοκίον.

Μὴ κενώσας τοὺς Πατρῴους, ὁ ὑπέρθεος ἄχραντε, Θεοτόκε κόλπους, κόλποις σου ἀχωρήτοις καθέζεται. θείαν καθέδραν τοῖς πᾶσιν ἀγαθότητι, ἑτοιμάζων καὶ δόξαν, ἀεὶ διαμένουσαν.

Ἄλλος. Ἐπαρθέντα σε ἰδοῦσα.

Ὀξυγράφου ὡς κάλαμος σοῦ ἡ γλῶσσα, παναληθῶς γεγένηται, ἄριστα Παμμάκαρ, γράψας ὡς ἐν πίνακι, Χριστοῦ τὰ σεβάσματα, καὶ σωτηριώδη παθήματα.

Ἐντρυφούμενος ὡς φοίνιξ ταῖς θεωρίαις, τῶν ἀρετῶν ὑψίκομον, δένδρον καθωράθης, γλυκασμὸν σωτήριον, παρέχων τοῖς μέλπουσι, δόξα τῇ δυνάμει σου Κύριε.

Ὑψηγορίᾳ τῶν λόγων σου Θεοφάντορ, τὰς τῆς πανάγνου ὕμνησας, καὶ πάντων Ἁγίων, Ἑορτὰς λαμπρότατα, κραυγάζων γηθόμενος, δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Ὁ κατὰ φύσιν ἐλεύθερος τὴν ἰδίαν, δούλου μορφὴν ἐπτώχευσε, χρηστότητος πλούτῳ. Μήτηρ Ἀειπάρθενε, ἐκ σοῦ καθ᾽ ὑπόστασιν, ὅλον προσλαβὼν τὸ ἡμέτερον.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Αἰκίαις τὸ σῶμά σου, Ναζάριε ὡμίλησε, στρέβλαις καὶ βασάνοις πολυπλόκοις. μύρον εὐῶδες, ὅθεν πηγάζει ἡμῖν, καταμυρίζον τὰς ψυχάς, πίστει ἀδιστάκτως σε, τῶν τιμώντων πανεύφημε.

Ῥανίσιν αἱμάτων σου, κατέσβεσας τοὺς ἄνθρακας, τῆς πολυθείας ἀθλοφόρε. θείων θαυμάτων πυρὶ δὲ πάνσοφε, ὕλην παθημάτων χαλεπῶν, φλέγεις θείᾳ χάριτι, τοῦ Σωτῆρος Ναζάριε.

Ὡς ἄνθη τὰ πνέοντα, ὀσμὴν ἐνθέου γνώσεως, τῆς θεογνωσίας τοὺς λειμῶνας, τοῦ Παραδείσου δένδρα τὰ ἔγκαρπα, τοὺς περικαλλεῖς καὶ φωταυγεῖς, Μάρτυρας ὑμνήσωμεν, καὶ πιστῶς μακαρίσωμεν.

Ὑμνείσθω Ναζάριος, μεγαλυνέσθω Κέλσιος, ἅμα Προτασίῳ ὁ γενναῖος, ἀνευφημείσθω πίστει Γερβάσιος, οἱ τῆς Ἐκκλησίας ἀκλινεῖς, στῦλοι καὶ θεμέλιοι, ἀρραγεῖς χρηματίσαντες.

Θεοτοκίον.

Ῥομφαία τὸ πρότερον, ἡ τὴν Ἐδὲμ φυλάττουσα, νῶτα τοῖς πιστοῖς Ἁγνὴ παρέχει, σημειουμένοις τιμίῳ αἵματι, πάλαι κενωθέντι ἐκ πλευρᾶς, λόγχης ἐκκεντήματι, τοῦ ἐκ σοῦ ἀνατείλαντος.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Σὺ ὥσπερ παμφαὴς, ἑωσφόρος ἀνέτειλας. σὺ ῥήμασι καταυγάζεις, τῶν πιστῶν τὰς καρδίας, βολίσι τῶν ῥημάτων σου.

Σὺ ὥσπερ ἀριστεὺς, τῇ σφενδόνῃ χρησάμενος, τῶν λόγων σου Θεομάκαρ, τὰ τῶν αἱρετιζόντων, κατέβαλες φρυάγματα.

Τίς οὕτως ἐξειπεῖν, τοὺς σοὺς πόνους δυνήσεται, ἀγῶνάς τε καὶ ἱδρῶτας, ἑκουσίως οὓς ἔτλης, σαρκὸς ἔξω γενόμενος.

Θεοτοκίον.

Νοῦς οὐκ ἀγγελικὸς, οὐκ ἀνθρώπινος δύναται, τὸ ἄφραστον ἑρμηνεῦσαι,



Digitized by Google

καὶ παράδοξον θαῦμα, τῷ τόκῳ σου Παμάκαρ.

ᾨδὴ ϛʹ. Τὴν θείαν ταύτην.

Αἱ σαὶ πορεῖαι ἐν ὕδασιν, ἐγένοντο παμμάκαρ Ναζάριε, καὶ οὐκ ἐγνώσθη σου, τούτοις τὰ ἴχνη ἐν πνεύματι, ὃ τῇ δυνάμει πάντας ἐχθροὺς κατῄσχυνας.

Σωμάτων πάθη ἀνίατα, τῇ θείᾳ ἐθεράπευσας χάριτι, Μάρτυς Ναζάριε. μῦρον εὐῶδες πηγάζεις δὲ, τοῖς τῷ σεπτῷ λειψάνῳ σου προσπελάζουσι.

Σοφῶς ὁ θεῖος Προτάσιος, ὁ μέγας τε σὺν τούτῳ Γερβάσιος, πλοῦτον ἐπίκηρον, καὶ δυναστείαν πατήσαντες, τῆς αἰωνίου δόξης κατηξιώθησαν. Θεοτοκίον.

Τοὺς νόμους Κόρη ἐκαίνισας, τῆς φύσεως Παρθένε κυήσασα, Θεὸν ἀθάνατον, σάρκα θνητὴν ἐνδυσάμενον, ἵνα θνητοὺς θεώσῃ δι' ἀγαθότητα.

Ἄλλος. Ἐβόησε προτυπῶν.

Σὺ τὸν Ἄβελ, παρεζήλωσας φέρων τὰς ἀπαρχὰς τῶν σῶν λόγων, ὡς θρεμμάτων θυσίας Κοσμᾶ προφανῶς. προτιθεὶς εἰς βρῶσιν, τῶν ᾀσμάτων τὰ μέλη τὰ κάλλιστα.

Μαρτυρία, συνειδήσεως ἔτλης τὸν βίον σου, θυσιάζων, Ἰσαὰκ ὥς περ ἄλλον τὸ πρόθυμον. Ἀβραὰμ ἐνθέως, ἀληθῶς μιμησάμενος πάνσοφε.

Ἀναβάσεις, ψυχοσώστους ὑπέθου ὡς κλίμακα, Πατριάρχης, ἣν ἑώρα τὸ πάλαι Κοσμᾶ τηλαυγῶς, ἀνελκύων πάντας, ἡδυφθόγγοις βαθμίσι σου εὔθετα.

Θεοτοκίον.

Μὴ ἐλλίπῃς, ἱλεοῦσθαι Παρθένε τοὺς δούλους σου τὸν Υἱόν σου, τὰς ὅλας ἐξαλεῖψαι πταισμάτων ἡμῶν, τῶν ὀρθὰ φρονούντων, Θεοτόκον σε Κόρη πανύμνητε.

Ὁ Εἱρμός.

„Ἐβόησε, προτυπῶν τὴν ταφὴν τὴν „τριήμερον, ὁ Προφήτης, Ἰωνᾶς ἐν „τῷ κήτει δεόμενος, ἐκ φθορᾶς με ῥῦ-„σαι, Ἰησοῦ Βασιλεῦ τῶν δυνάμεων.

Κοντάκ. Ἦχος αʹ. Χορὸς Ἀγγελικός.

Μαρτύρων τοῦ Χριστοῦ, τὴν τετράριθμον δόξαν, ὑμνήσωμεν πιστοὶ, εὐφημίαις ᾀσμάτων, Ναζάριον Προτάσιον, καὶ Γερβάσιον Κέλσιον, οὗτοι ἤθλησαν, μέχρι τομῆς καὶ θανάτου, οὗτοι στέφανον, τῆς ἀφθαρσίας λαβόντες, αἰτοῦσι σωθῆναι ἡμᾶς.

Ὁ Οἶκος.

Τῶν ἀθλοφόρων τὴν ἄθλησιν, τὰ παλαίσματα, καὶ τὸν ἔνδοξον θάνατον δεῦτε φιλέορτοι ἅπαντες, ὕμνοις ἐγκωμίων καὶ ᾠδαῖς εὐφημήσωμεν, τὴν τετράριθμον φάλαγγα, τὸν σοφὸν Προτάσιον, σὺν τούτῳ Γερβάσιον, καὶ τὸν θεῖον Ναζάριον, ἅμα Κελσίῳ τῷ θεηγόρῳ καὶ νέῳ πεφυκότι. ὅτι πᾶσαν τῶν Ἑλλήνων ἀπετέφρωσαν μανίαν, καθομολογοῦντες Χριστὸν, Θεὸν μέγαν, πρὸ τῶν αἰώνων βασιλεύοντα σὺν Πατρὶ καὶ Πνεύματι, νῦν δὲ μετὰ θάνατον αἰτοῦσι σωθῆναι ἡμᾶς.

Τῷ αὐτῷ Μηνὶ ΙΔʹ. Τῶν Ἁγίων Μαρτύρων, Γερβασίου, Ναζαρίου, Προτασίου, καὶ Κελσίου.

Στίχ. Τὸν Ναζάριον καὶ συνάθλους τρεῖς ἅμα, Θεῷ προσῆξε Ναζαρηνῷ τὸ ξίφος.

Σὺν τρισὶ Ναζάριος τμήθη δεκάτῃ γε τετάρτῃ.

Οὗτοι ἤθλησαν ἐν Ῥώμῃ, μετὰ τὴν τελείωσιν τῶν Ἁγίων Ἀποστόλων, ἐπὶ Νέρωνος τοῦ Βασιλέως, παρὰ Πέτρου τοῦ Ἀποστόλου ὁδηγηθέντες πρὸς τὴν εὐσέβειαν. ἐν δὲ τῷ εἰκοστῷ ἔτει τῆς ἡλικίας αὐτοῦ, ὁ Ἅγιος Ναζάριος διὰ τῶν Πόλεων Ἰταλίας διερχόμενος, καὶ κηρύττων, πολλοὺς πρὸς τὴν πίστιν ἐχειραγώγησε. διὰ δὲ χρόνων δέκα κατήντησεν εἰς πόλιν Πλακεντίαν, ἔνθα κατέλαβε τὸν Ἅγιον Προτάσιον καὶ Γερβάσιον, βεβλημένους ἐν φυλακῇ, ὑπὸ Ἀνυλίνου ἄρχοντος, καὶ ἐξωθεῖται τῆς Πόλεως. καὶ ἐλθὼν εἰς Πόλιν λεγομένην Κίμελιν, προσλαμβάνεται τὸν Ἅγιον Κέλσιον τριετῆ ὄντα παῖδα, καὶ αὐτίκα παρὰ Δεμοβείου φρουρεῖται. εἶτα ἐκεῖθεν ἀπολυθεὶς, ἔρχεται μετὰ Κελσίου εἰς τὰς Πόλεις Τιβερίου, εὐαγγελιζόμενος. καὶ συλληφθεὶς ὑπὸ Νέρωνος δεσ-



Digitized by Google

δεσμεῖται, καὶ θηρίοις ἐκδίδοται. καὶ περισωθεὶς, πάλιν καταλαμβάνει τὴν Μεδιόλανον, καὶ εὑρίσκει ἐν τῇ εἱρκτῇ περιόντας τοὺς Ἁγίους Γερβάσιον καὶ Προτάσιον. καὶ αὖθις παραπέμπεται ἐν Ῥώμῃ παρὰ Ἀνυλίνου, ἔνθα σωτηρίας γίνεται αἴτιος τῷ πρὸς Πατρὸς αὐτοῦ Πατρὶ, καὶ εἰς Μεδιόλανον ὑποστρέψας, τέμνεται τὴν κεφαλὴν, ἅμα Γερβασίῳ, Προτασίῳ, καὶ Κελσίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κοσμᾶ τοῦ Ποιητοῦ, Ἐπισκόπου Μαϊουμᾶ, τοῦ Ἁγιοπολίτου.

Στ. Ἀπῆλθε Κοσμᾶς ἔνθα πᾶσα τερπνότης.

Μέλη λιπὼν τέρποντα τὴν Ἐκκλησίαν.

Οὗτος ὁ Ἅγιος προσλαμβάνεται κομιδῇ νέος ὢν παρὰ τοῦ Πατρὸς τοῦ Ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ, ὡς υἱοποιητός. ὃς πλούτῳ πολλῷ κομῶν καὶ κοσμικῇ δόξῃ, προσελάβετό τινα τῶν ἀσκητῶν, ἄνδρα πολυμαθῆ καὶ σοφὸν, ᾧ τόν τε Υἱὸν αὐτοῦ Ἰωάννην, καὶ Κοσμᾶν τὸν νῦν ποιητὴν παραδοὺς, πᾶσαν σοφίαν θείαν τε καὶ ἀνθρωπίνην ἐκδιδάσκειν αὐτοὺς ἐξηκριβώσατο. οἱ δεξιᾶς τυχόντες φύσεως, πᾶσαν ἐν βραχεῖ γραμματικήν τε καὶ φιλοσοφίαν ὑπ' αὐτοῦ διδαχθέντες, ἔτι δὲ ἀστρονομίαν καὶ γεωμετρίαν ἐξασκήσαντες, ἅπασιν αἰδέσιμοι ἀνεδείχθησαν. ὅς δὲ τὴν ἐν ἅπασιν αὐτῶν τελειότητα βούλεται μαθεῖν, ἀπὸ τῶν αὐτοῖς πονηθέντων συγγραμμάτων ἀκριβῶς εἴσεται. εἶτα εἰς τὴν λαύραν τοῦ Ἁγίου Σάββα παραγενόμενοι, τὸν μοναδικὸν ζυγὸν ὑπέρχονται. καὶ ὁ μὲν μακάριος Ἰωάννης, Πρεσβύτερος χειροτονεῖται παρὰ τοῦ Πατριάρχου Ἱεροσολύμων. ὁ δὲ ἀοίδιμος Κοσμᾶς, πολλὰ παρακληθεὶς, ὑπὸ πάσης τῆς Συνόδου, Ἐπίσκοπος Μαϊουμᾶ προχειρίζεται. καλῶς οὖν πολιτευσάμενος, καὶ τὸ ἑαυτοῦ ποίμνιον ἐπὶ νομὰς σωτηρίους ὁδηγήσας, καὶ εἰς βαθὺ γῆρας ἐλάσας, ἀνεπαύσατο ἐν Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτ. Σιλβανοῦ.

Στίχ. Μετῆλθεν αὐχὴν Σιλβανοῦ τομὴν ξίφους.

Κἀντεῦθεν ὤφθη Σιλβανὸς τομεὺς πλάνης.

Οὗτος ὥρμητο ἀπὸ τῆς Γαζέων χώρας, ἀνὴρ πρᾶος τῇ πίστει ἀκέραιος· τῆς κατὰ Γάζαν Ἐκκλησίας Πρεσβύτερος· γηραλαῖος τὴν ἡλικίαν. ὃς παραστὰς ἐπὶ τοῦ Καισαρέων Δήμου, μαστίζεται πικρῶς, καὶ τὰς πλευρὰς καταξαίνεται. εἶτα ἐπὶ τῶν ἐν Ζωόροις τοῦ χαλκοῦ μετάλλων καταδικασθεὶς, ἐπισκοπικῆς λειτουργίας παρὰ τῶν πιστῶν ἀξιοῦται. μετὰ δέ τινα χρόνον, διὰ τὸ βαθὺ γῆρας καὶ τὴν ἀσθένειαν ὢν τεταριχευμένος, τὴν κεφαλὴν ἀπετμήθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Πέτρου τοῦ Αὐσελάμου.

Στίχ. Τὸ πῦρ ὑπελθὼν ἐνθέῳ ζήλῳ Πέτρος,

Τὸ τῆς πλάνης πῦρ σβεννύει τῆς δυσθέου.

Οὗτος ὑπῆρχεν ἀπὸ τῶν ὁρίων Ἐλευθερουπόλεως, κώμης Ἀνίας καλουμένης. ἀνδρεῖος καὶ ἀκμάζων τὴν ψυχήν. νέος δὲ καὶ ῥωμαλέος τῷ σώματι. πλεῖστα ἀνδρισάμενος ἐν τοῖς ὑπὲρ εὐσεβείας ἄθλοις, καὶ πάντων καταφρονήσας τῶν ἐπιγείων, ἐν τῷ ἕκτῳ ἔτει τῆς Βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, θῦμα εὐπρόσδεκτον ἐγένετο τῷ Θεῷ, τὸν διὰ πυρὸς ἀγῶνα τελέσας.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ἐπὶ πέτραν, θείας γνώσεως ἐρείσαντες, τὰς βάσεις ἔνδοξοι, τῶν καρδιῶν ὑμῶν. ἐχθρῶν μηχανήμασιν, οὐ παρετράπητε, ἀναμέλποντες· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Φῶς ἀνέσπερον, ἀθλήσασι δι' αἵματος, ὑμῖν ἀνέτειλε, καὶ εὐφροσύνη σαφῶς, ὑμᾶς διεδέξατο μεγαλομάρτυρες, ἀναμέλποντας· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἡγιάσατε, προθύμως διερχόμενοι, Πόλεις μακάριοι, ὁμολογοῦντες Χριστὸν



Digitized by Google

ςὸν τυράννων ἐνώπιον, καὶ πᾶσαν ἴασιν, παρεχόμενοι, τοῖς δεομένοις χάριτι, τῷ Σωτῆρος ἀθλοφόροι.

Θεοτοκίον.

Φωτεινότατον, παλάτιον εὑράμενος, ὁ Θεὸς τὴν μήτραν σου, ταύτην κατῴκησεν, Υἱὸς ἐργαζόμενος, φωτὸς παρθένε, τοὺς κραυγάζοντας· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Ὁ διασώσας ἐν πυρί.

Ἐπὶ τὸ ὄρος ἀνελθὼν, Πάτερ ἀρετῶν ἐκομίσω, μόνον Θεοῦ ὥσπερ Μωσῆς, πλανηθέντας ἐφείλκυσας εὐθετα. μελῳδῶν ἀξιάγαςε· ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Λύμην αἱρέσεως δεινὴν, ἔςησας φαρμάκῳ τῶν λόγων, τῶν σῶν δογμάτων μελῳδῶν, ἐπινίκιον ὕμνον τῷ Κτίσαντι. ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Πηγὴ θεόβρυτος ἡ σὴ, Πάτερ ἀναδέδεικται γλῶσσα, φλογιζομέναις ἐκ παθῶν ταῖς ψυχαῖς, αἳ πιοῦσαι κραυγάζωσιν· ὑπερύμνητε Κύριε ὁ Θεός.

Θεοτοκίον.

Ὡς κιβωτόν σε καὶ σκηνὴν, κλίμακά τε τοῦ Λόγου ὑμνοῦμεν. κῆπον ἀνθοῦντα τὸν Χριςὸν, τὴν τερπνὴν εὐωδίαν ᾧ ψάλλομεν· ὑπερύμνητε Κύριε, ὁ Θεός.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ὀρθρίζοντες πρὸς τὸν ἐκ Παρθένου, ἐκλάμψαντα παραδόξως μέγαν Ἥλιον, Μάρτυρες ἀήττητοι, φῶς ἐχρηματίσατε, καὶ τὸ τῆς πλάνης χάριτι, σκότος ἐλύσατε, τὸν Κύριον ὑμνεῖτε βοῶντες, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ῥώμη σου ἡ πάλαι τοὺς ἀγῶνας, κηρύττει Ναζάριε πολύαθλε. ἡ Κωνςαντινούπολις, ᾄδει τὰ τεράςια, τὸ Ἱερόν σου λείψανον πίςει κατέχουσα. καὶ Κύριον, ὑμνεῖτε βοῶσα, καὶ ὑπερυψοῦτε, εἰς πάντας.

Ὁ θεῖος Ναζάριος πηγάζων, τὰ μύρα τῆς χάριτος προτρέπεται, πάντας τοὺς προςρέχοντας, πίςει ἀπαρύσασθαι, εἰς φωτισμὸν καὶ κάθαρσιν, ἀνακραυγάζοντας· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε.

Ὑμᾶς τοὺς γενναίους ἀθλοφόρους, Ναζάριον Κέλσον Προτάσιον. αὖθις τὸν Γερβάσιον, πρέσβεις πρὸς τὸν Κύριον, δυνατωτέρους ἔχοντες, πόθῳ κραυγάζομεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε.

Θεοτοκίον.

Σαρκὶ ἑνωθεὶς σοι κατ᾽ οὐσίαν, ὁ πᾶσι τὸ εἶναι παρεχόμενος, ὅλον με ἀνέπλασεν, ὅλον ἀνεκαίνισε, παλαιωθέντα Πάναγνε, ταῖς παραβάσεσι. διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Λυτρωτὰ τοῦ παντός.

Καθαρθεὶς τὴν ψυχὴν παμαοίδιμε, ἀνεδείχθης δοχεῖον τοῦ Πνεύματος. καὶ φωτισμοῦ πληρούμενος, κατεφώτισας πάντας, μέλπειν ἀξίως, εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Τοῖς ἐπαίνοις σε ςέφειν μὴ σθένοντες, πρὸς τοὺς σοὺς ἀποβλέποντες Ὅσιε, χάριν αἰτοῦμεν ἄνωθεν, δωρηθῆναι ποθοῦσι νῦν ὑμνῆσαι, τὴν σὴν εὔσημον μνήμην μακάριε.

Νῦν εὐφραίνῃ τὰ ἄνω γηθόμενος, σὺν χοροῖς τῶν Ἁγίων πανόλβιε, ὧν τοὺς λαμπροὺς ἀγῶνας τε, καὶ τοὺς ἄθλους, ἀνύμνεις πόθῳ κραυγάζων· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Θεοτοκίον.

Ἱλασμὸν τῶν πταισμάτων μοι δώρησαι, καὶ κακῶν ἀποχὴν παναμώμητε, ταῖς μητρικαῖς πρεσβείαις σου, Θεοτόκε Παρθένε εὐλογημένη, τῶν πιςῶν ἡ βεβαία ἀντίληψις.

Ὁ Εἱρμός.

„Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε, „τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, „συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλ„πειν· πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖ„τε τὸν Κύριον.

Ὠδὴ θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ἰσχύϊ νευρούμενοι Χριςοῦ, τοῦ κλίναντος τὴν κακίαν τοῦ ἀλάςορος, κλίναντος τούτῳ τὸν αὐχένα, τὸ τέλος διὰ ξίφους

ἐδέ-

ἐδέξασθε, λυθέντες τῆς σαρκὸς μεγαλώνυμοι. ὅθεν ἀξίως μακαρίζεσθε.

Ὡραῖοι ἐν στίγμασι σαρκὸς γεγονότες, καὶ Ἀγγέλοις ὡμοιώθητε. νῦν δὲ παρίστασθε τῇ πάντων, γηθόμενοι ἀεὶ ὡραιότητι, μεθέξει σαφῶς καλλυνόμενοι, ὡραιοτάταις πανσεβάσμιοι.

Σημείοις καὶ τέρασιν ὑμᾶς, ἐκόσμησε καὶ πρὸ τέλους πανοίδιμοι, καὶ μετὰ τέλος ὁ Δεσπότης, Ναζάριε Προτάσιε Κέλσιε, Γερβάσιε ἀήττητοι μάρτυρες. ὅθεν ἀξίως μακαρίζεσθε.

Ἡγίασται πόθῳ τὴν ὑμῶν, ἡ σύμπασα ἐκτελοῦσα μνήμην σήμερον. χαίρουσι Μάρτυρες καὶ πάντες, Προφῆται σὺν ἡμῖν ἑορτάζουσι. μεθ' ὧν ὑπὲρ ἡμῶν ἱκετεύσατε, τὸν Εὐεργέτην παμμακάριστοι.

Θεοτοκίον.

Φωνὴν σοι τοῦ Θείου Γαβριὴλ προσάγομεν, γεγηθότες Κόρη πάναγνε. χαῖρε ἡ κεχαριτωμένη, Μαρτύρων Ἀποστόλων τὸ καύχημα, καὶ πάντων τῶν πιστῶν τὸ διάσωσμα, Παρθενομῆτορ ἀπειρόγαμε.

Ὁ αὐτός.

Ἡ δὲ νῦν ἐπέλαμψεν ἡμῖν εὐφροσύνως, θεία μνήμη καὶ πανάγαθος, πάντας εὐφραίνουσα ἀξίως, Κοσμᾶ τοῦ θαυμαστοῦ καὶ θεόφρονος, τοῦ θείου μελῳδοῦ καὶ τρισμάκαρος, ἣν ἐπαξίως εὐφημήσωμεν.

Χάριν ἰαμάτων εἰληφὼς πανόλβιε, ἐν μεθέξει Θείου Πνεύματος, λῦσον τὸν ζόφον τῆς ψυχῆς μου, τὰ μέθη τῶν παθῶν ἀποδίωξον, πρὸς τρίβους εὐθυπορεῖν με εὐόδωσον, τὰς οὐρανίους ἀξιάγαστε.

Νόμοις καθεπόμενοι τοῖς σοῖς, μακάριε, συμμνῆσαι προεθέμεθα, τὴν πρὸς τὰ ἄνω ἐκδημίαν. βεβαίας ἀντιδόσεις ἐλπίζοντες λαμβάνειν παρὰ σοῦ ἀξιόμνηστε, τὸν στεφοδότην ἱκετεύοντος.

Θεοτοκίον.

Νεύρωσον ἡμῶν τὴν τῆς ψυχῆς ἀσθένειαν, Θεομῆτορ τῇ δυνάμει σου. λῦσον τὸ βάρος Παναγία, ἐπιτιθέμενον τοῖς δούλοις σου, ἡ Κόσμῳ Δικαιοσύνης τὸν Ἥλιον, ἀνερμηνεύτως ἀνατείλασα.

Ὁ Εἱρμός.

„Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι, τὴν κατάραν εἰσῳκίσατο. σὺ δὲ Παρθένε Θεοτόκε, τῷ τῆς κυοφορίας βλαστήματι, τῷ Κόσμῳ τὴν εὐλογίαν ἐξήνθησας. ὅθεν σε πάντες μεγαλύνομεν.

Ἐξαποστειλάριον. Τῶν Μαθητῶν.

Τὴν τετρακτὺν χορείαν τῶν Ἀθλοφόρων, Ναζάριον Γερβάσιον, σὺν Κελσίῳ, ὕμνοις ἐγκωμίων καταστέψωμεν, καὶ τὸν κλεινὸν Προτάσιον, ὑπὲρ τοῦ Κόσμου γὰρ οὗτοι, ἐξιλεοῦνται τὸ Θεῖον.

Εἰς τὸν Στίχ. Ἦχ. τοῦ Ὁσίου, προσόμοια.

Ἦχος α'.

Τῶν οὐρανίων ταγμάτων.

Ὁ παμφαέστατος λύχνος, καὶ τηλαυγέστατος, ἡ μελουργὸς κιθάρα, ἡ νευρὰ τῶν εὐσήμων, τοῦ Πνεύματος λογίων, πᾶσιν ἡμῖν, τὰς αὐτοῦ παρατίθεται, μελῳδικὰς εὐωχίας, καὶ δι' αὐτῶν, κατευφραίνει τοὺς θεόφρονας.

Ὁ μουσουργέτης ἡ λύρα, τοῦ Θείου Πνεύματος, ἡ ἀηδὼν, ὁ τέττιξ, ὁ τῶν θείων ᾀσμάτων, αὐλὸς τῆς Ἐκκλησίας, ᾄδει τερπνῶς, ἐκδιδάσκων τὰ πέρατα, ἐν θεοπνεύστοις τοῖς ὕμνοις δοξολογεῖν, τὴν Τριάδα τὴν ὑπέρθεον.

Σὺν ταῖς ἀΰλοις οὐσίαις, ὡς παριστάμενος, τῷ τῶν ἁπάντων Κτίστῃ, καὶ Θεῷ θεῖε Πάτερ, Κοσμᾶ τῶν ἐκτελούντων, μνήμην ποιοῦ, τὴν φαιδρὰν σου πανήγυριν, τοῦ λυτρωθῆναι κινδύνων καὶ πειρασμῶν, καὶ παντοίων περιστάσεων.

Δόξα. Ἦχος Πλ. δ'.

Δαβιτικοῖς ᾄσμασι, τὸν πνευματικὸν ᾀσματογράφον, εὐφημήσωμεν λέγοντες· ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου Ὅσιε Πάτερ. καὶ ἀνεδείχθη ἡ γλῶσσά σου, κάλαμος γραμματέως ὀξυγράφου, καλλιγραφοῦσα ἡμῖν, μέλη τὰ σωτήρια. δι' ὧν τὴν κατὰ Χριστὸν οἰκονομίαν, καὶ τῆς Ἁγίας Τριάδος τὸ μέγα μυστήριον, ᾀσματικῶς δοξολογεῖν διδασκόμεθα, αἰτούμενοι ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.



Digitized by Google

Καὶ νῦν. Θτ. Κύριε εἰ ἐν κριτηρίῳ.

Δέδοικα τὴν τῆς ἀποφάσεως ὥραν, ἐν ἀμελείᾳ τὸν βίον μου, ὅλον δαπανήσας ὡς ἄλλος, τῶν ἀνθρώπων οὐδεὶς πώποτε. ἀλλὰ προφθάσασα νῦν, πρὸ τέλους Μητροπάρθενε, ἐκ τῆς δουλείας τοῦ ἀλλοτρίου, τὴν ψυχήν μου ἐλευθέρωσον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἄναρχε Λόγε τοῦ Πατρὸς καὶ Υἱὲ, καὶ τῷ Πνεύματι σύνθρονε, πῶς τὰς σὰς ἀχράντους παλάμας, ἐπὶ τοῦ ξύλου διέτεινας; τίς ἡ τοσαύτη σου νῦν πτωχεία ὑπεράγαθε; παριςαμένη τῇ σῇ ςαυρώσει, ἀνεβόα ἡ Παναμώμος.

Εἰς τὸν ἤ. ἦ. τῆς Ὀκτωήχου.

Εἰς τὴν Λειτουργίαν. Ζήτει εἰς Μάρτυρας.

---

## Τῷ αὐτῷ Μηνὶ ΙΕ'.

Τοῦ Ἁγίου Ὁσιομάρτυρος Λουκιανοῦ, Πρεσβυτέρου τῆς μεγάλης Ἀντιοχείας.

Στιχηρά. Ἦχος δ'.

Ἔδωκας σημείωσιν.

Λόγου θείας γνώσεως, πεπλουτηκὼς διὰ πίστεως, τοὺς πιςοὺς ἐβεβαίωσας, πολύπλοκα βάσανα, καὶ θυμὸν Τυράννων, φέρειν θαρσαλαίως, διὰ τὴν μέλλουσαν ζωὴν, καὶ ἀφθαρσίαν καὶ ἀγαλλίασιν. διό σε μακαρίζομεν, Λουκιανὲ ἀξιάγαςε, καὶ τὴν θείαν σου σήμερον, ἐκτελοῦμεν πανήγυριν.

Εἱρκτὴν πολυχρόνιον, καὶ βιαιότατον θάνατον, ἐκαρτέρησας Ὅσιε, ἱμᾶσι πεδούμενος, καὶ λεπτοῖς ὀςράκοις, κεντούμενος μάκαρ, καὶ ἀσιτίᾳ χαλεπῇ, μακρᾷ τε δίψῃ ἐκπιεζόμενος. διό σε ἡ οὐράνιος, τρυφὴ σαφῶς διεδέξατο, ὡς ἀήττητον μάρτυρα, Ἀθλητὰ γενναιότατε.

Κόλπος σε θαλάττιος, Λουκιανὲ εἰσδεξάμενος, μεθ' ἡμέρας τριάκοντα, τῇ χέρσῳ ἐκδίδωσιν, Ἰωνᾶν ὡς πάλαι, θηρὸς ὑπουργίᾳ, πρὸς θεοτίμητον ταφὴν, καὶ ἰαμάτων θείαν ἀνάβλυσιν. Μαρτύρων ἀκροθίνιον, τῆς Ἐκκλησίας ἑδραίωμα. διὰ τοῦτο τιμῶμέν σε, πρεσβεύοντα τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν. Θτ. Ὅμοιον.

Ῥύπον ῥύπον ἀπόσμηξον, τῆς ταλαιπώρου καρδίας μου, Θεοτόκε πανύμνητε, καὶ πάντα τὰ τραύματα, καὶ τὰ ἕλκη ταύτης, τὰ ἐξ ἁμαρτίας, ἐναποκάθαρον Ἁγνὴ, καὶ τὸν νοῦς μου ςῆσον τὸν ἄςατον, ὅπως τὴν δυναςείαν σου, καὶ τὴν μεγάλην ἀντίληψιν, μεγαλύνω ὁ ἄθλιος, καὶ ἀχρεῖος οἰκέτης σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Νεκρούμενον βλέπουσα, Χριςὸν ἡ πάναγνος Δέσποινα, καὶ νεκροῦντα τὸν δόλιον, ὡς Δεσπότην κλαίουσα, ὕμνει τὸν ἐκ σπλάγχνων, αὐτῆς προελθόντα. καὶ τὸ μακρόθυμον αὐτοῦ, ἐκπληττομένη θρηνοῦσα ἔλεγε· τέκνον μου ποθεινότατον, μὴ ἐπιλάθῃ τῆς δούλης σου, μὴ βραδύνῃς φιλάνθρωπε, τὸ ἐμὸν καταθύμιον.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης ςιχ. Κανόνες τῆς Ὀκτωήχου δύω, καὶ τοῦ Ἁγίου εἷς.

Θεοφανοῦς. Ὠδὴ ά. Ἦχος δ'.

Ἄσομαί σοι Κύριε ὁ Θεός μου.

Σοφίᾳ καὶ χάριτι καὶ δυνάμει, πνευματικῇ Λουκιανὲ, ἐκλάμψας ἐφώτισας, λαοὺς καὶ πρὸς ἐπίγνωσιν, Χριςοῦ μάρτυς ὡδήγησας.

Ὅπλοις ἀσεβείας σε θωρακίσας, ὁ τὴν ἀθέμιτον ὑμᾶν, φορέσας ὡς εὔσπλαγχνος, ἀήττητον εἰργάσατο, ἐχθρῶν Μάρτυς παλαίσμασι.

Ὕψος πρὸς Οὐράνιον τοὺς εἰς βάθος, κακοπιςίας ἀθλητὰ, πεσόντας ἀνείλκυσας, δικτύοις τῶν ἐνθέων σου, δογμάτων ἀξιάγαςε.

Θεοτοκίον.

Λόγῳ τὸν ἀΐδιον Πατρὸς Λόγον, ὑπὲρ αἰτίαν καὶ λόγον, ἀσπόρως συνέλαβες, Ἁγνὴ καὶ ἀπεκύησας, ἡμῶν εἰς ἀπολύτρωσιν.

Ὠδὴ γ'. Τόξον δυνατῶν.

Οἶκον ἀ[illegible] λαμπρότητι, Μάρτυς τὴν ψυχήν σου, τῷ Θεῷ ἀπετέλεσας, τῶν εἰδώλων τὰ τεμένη, προσευχαῖς σου κατεδάφισας.

Ὕμνεις

Ὕμνεις πειρασμοῖς βαλλόμενος, μάρτυς καὶ βασάνων, ἀλγεινοῖς πιεζόμενος, τὸν τούτων ὡς εὐεργέτην, ἀγαθῶν σε ἀξιώσαντα.

Σῶμα αἰκισμοῖς παρέδωκας, Μάρτυς τὴν ψυχήν σου, ἀσφαλῶς διετήρησας. θῦμα ἄμωμον τῷ Δεσπότῃ, σεαυτὸν προσάξας πάντιμον. Θεοτοκίον.

Κόρης βρέφος ἀποτίκτεται, ὁ δημιουργήσας, τοὺς αἰῶνας βουλήματι, ἣν ὑμνοῦμεν ὡς Θεοτόκον, καὶ ἀπαύστως μακαρίζομεν. Ὁ Εἱρμός.

„Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀ-
„σθενοῦντες περιεζώσαντο δύναμιν.
„διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρ-
„δία μου.

Κάθισμα. Ἦχος Πλ. δ´. Τὴν Σοφίαν καὶ Λόγον.

Τῷ τῆς χάριτος λόγῳ τὰς τῶν πιστῶν, ἐπαλείφων καρδίας Λουκιανὲ, ἀθλεῖν παρεσκεύασας, καὶ τροποῦσθαι τὸν τύραννον. καὶ καλῶς τὸν δρόμον, τελέσας τὸν ἔνθεον, ἐπὶ τέλει δόξης, Μαρτύρων ἠξίωσαι. ὅθεν συνελθόντες, τὴν ἁγίαν σου μνήμην, τιμῶμεν ἀοίδιμε, τὸν Σωτῆρα δοξάζοντες, ἀθλοφόρε πανεύφημε, πρέσβευε Χριστῷ.

Θεοτοκίον. Ὅμοιον.

Ὡς Παρθένον καὶ μόνην ἐν γυναιξὶ, σὲ ἀσπόρως τεκοῦσαν Θεὸν σαρκὶ, πᾶσαι μακαρίζομεν, γενεαὶ τῶν ἀνθρώπων. τὸ γὰρ πῦρ ἐσκήνωσεν, ἐν σοὶ τῆς Θεότητος. καὶ ὡς βρέφος θηλάζεις, τὸν Κτίστην καὶ Κύριον. ὅθεν τῶν Ἀγγέλων, καὶ ἀνθρώπων τὸ γένος, ἀξίως δοξάζουσι, τὸν πανάγιον τόκον σου, καὶ συμφώνως βοῶμέν σοι· πρέσβευε τῷ σῷ Υἱῷ, καὶ Θεῷ.

Σταυροθεοτοκίον. Ὅμοιον.

Παρεστώσης σου Κόρη ἐν τῷ σταυρῷ, καὶ ὁρώσης τὸν σὸν Υἱὸν καὶ Θεὸν, σταυρούμενον ἄχραντε, ἀνεβόας σπαράττουσα· καὶ παρειὰς προσβρέχουσα, τοῖς δάκρυσιν ἔλεγες· πῶς ἐνέγκω ταῦτα, καὶ τ᾽ ἄλλα τῶν ὕβρεων. ὄξος καὶ καλάμους τὰς τύψεις. ῥαπίσματα πάλιν δὲ, καὶ κολαφίσματα στέρξεις, τῆς πλευρᾶς διορύγματα, ἡ ἀνωδίνως κυήσασα. νῦν δὲ αἱ ὀδύναι στερρῶς, ψυχὴν ἐκτρύχουσι βλέπουσαν, Δέσποτα τὰ παθήματα, ἅπερ θέλων ὑφίστασαι.

Ὠδὴ δ´. Ὁ καθήμενος ἐν δόξῃ.

Ἰσχυρῶς κατὰ τῆς πλάνης, ἀνεδείχθης μακάριε, καὶ πολλῶν ἀλείπτης, θείους πρὸς ἀγῶνας ἑκάστοτε, ὑπομονῇ δὲ βασάνων, τὴν ἀνίσχυρον, ἐταπείνωσας Μάρτυς ἰσχὺν τοῦ ἀλάστορος.

Ἁπλωθεὶς ἐπὶ τοῦ ξύλου, καὶ ἱμᾶσι τεινόμενος, καὶ λιμῷ καὶ δίψει, τῇ πολυχρονίῳ τηκόμενος, καὶ λεπτοτάτοις ὀστράκοις, ἐγκεντούμενος ἐκαρτέρησας, Λουκιανὲ ἀξιάγαστε.

Νόμον Θεῖον καταγγέλλων, ἀνομοῦντας ἐπέστρεψας, καὶ πιεῖν προθύμως, πόμα μαρτυρίου ὑπέδειξας. μεθ᾽ ὧν εἰς θείας ἐπαύλεις, κατεσκήνωσας, ἐντρυφῶν τοῦ ξύλου, τῆς ζωῆς παναοίδιμε.

Θεοτοκίον.

Ἐκ γαστρός σε ἀναλάμψας, τῆς Θεότητος Ἥλιος, τοὺς ἐν σκότει Κόρη, τῆς πολυθείας ἐφώτισε, τοὺς ἐν σκιᾷ τοῦ θανάτου, κατελάμπρυνεν. ᾧ κραυγάζομεν, δόξα Χριστὲ τῇ δυνάμει σου.

Ὠδὴ ε´. Ἀσεβεῖς οὐκ ὄψονται.

Πυρπολήσας Ὅσιε, ἀκάνθας τῶν παθῶν, δι᾽ ἱδρώτων ἀσκητικῶν, ταῖς ῥοαῖς κατέσβεσας τῶν ἀγώνων σου, ἀσεβείας κάμινον, γενναιόφρον παμμακάριστε.

Αἰκισμοῖς βαλλόμενος, μιφάσιν ἀλγεινῶν, διαμένεις πρὸς τὸν Θεὸν, ἀτενίζων Ἅγιε, σώζειν δυνάμενον, οὗ χερσὶ τὸ πνεῦμά σου, ἐναπέθου εὐφραινόμενος.

Μακρυνθέντας ἤλεγχες, Θεοῦ τοὺς δυσσεβεῖς, καὶ μακραῖς καὶ ὀδυνηραῖς, ἀλγηδόσιν ἔνδοξε, περικυκλούμενος, τῷ Χριστῷ προσήγγισας, οὗ τὸ πάθος ἐξεκόμισας. Θεοτοκίον.

Μετὰ τόκον ἄφθορος, διέμεινας Ἁγνὴ, καὶ φθορᾶς γένος τῶν βροτῶν, ὡς Θεὸν γεννήσασα ἠλευθέρωσας. διὰ τοῦτο πίστει σε, ὀρθοδόξως μακαρίζομεν.

Ὠδὴ

Digitized by Google

Ὠδὴ ϛ'. Θύσω σοι, μετὰ φωνῆς.

Ἀβρόχως, τῶν βασάνων διέβης τὸν κλύδωνα. τῇ παναλκεῖ δὲ παλάμῃ, ἐκ βυθοῦ τὸ σῶμά σου διεσώθη, τοῖς ποθοῦσιν, ἀσινὲς Θεομάκαρ ὁρώμενον.

Ἀγάπῃ, τῇ Χριστοῦ πυρπολούμενος ἔνδοξε, τοῦ μέχρι θανάτου αὐτέστης, τῶν Τυράννων πάνσοφε. διὰ τοῦτο, Βασιλείας, Οὐρανῶν ἠξιώθης γηθόμενος.

Κητῴας, ἐκ γαστρὸς Ἰωνᾶν ὁ ῥυσάμενος, τριημερεύσαντα σώζει, σὲ βυθοῦ θαλάσσης καθυποβρυχέντων, ἐναλίων, τῶν θηρῶν μεθ' ἡμέρας τριάκοντα.

Θεοτοκίον.

Ἁγνήν σε, περιστερὰν καὶ μόνην ἀμίαντον, ὁ καθαρὸς εὗρε Λόγος, καὶ ἐκ σοῦ τεχθῆναι εὐδόκησε, Παναγία, Θεομῆτορ Παρθένε πανάμωμε.

Ὁ Εἱρμός.

„Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε,
„ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων
„λύθρου κεκαθαρμένη, τῷ δι' οἶκτον, ἐκ
„τῆς πλευρᾶς σου ῥεύσαντι Αἵματι.

Κοντάκ. Ἦχος β'. Τὴν ἐν πρεσβείαις.

Τὸν ἐν ἀσκήσει τὸ πρότερον λαμπρυνθέντα, καὶ ἐν ἀθλήσει τὸ δεύτερον φαιδρυνθέντα· πάντες ὡς φωστῆρά σε φαιδρότατον, Λουκιανὲ τοῖς ὕμνοις, ἐνδόξως σὲ γεραίρομεν. πρεσβεύων μὴ παύσῃ, ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Γνώσει τῇ θείᾳ καθωπλισμένος, καὶ τὸν νοῦν θείᾳ δόξῃ ἐλλαμφθεὶς, ἀθλητὰ τῷ Πνεύματι ἐλλαμπόμενος, μάχαιρα ὤφθης ἐστιλβωμένη, τὰ ζιζάνια πάντα ἄρδην, ἐκτέμνων αἱρετικῶν τὰ ἀλλόφυλα δόγματα ἔνδοξε, καὶ κῆρυξ τῆς ἀληθείας, πρὸς ζωὴν ὑπαλείφων ἅπαντας, τοὺς εὐσεβῶς προσιόντας σοι, ἐκ κινδύνων δὲ λυτρῶσαι καὶ θλίψεων. Πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

Τῷ αὐτῷ Μηνὶ ΙΕ'. Τοῦ Ἁγίου Μάρτυρος Λουκιανοῦ Πρεσβυτέρου Ἀντιοχείας τῆς μεγάλης.

Στίχ. Ἄρτου στερήσει Λουκιανὸς ἀντέχει, Τοῦ ζῶντας Ἄρτου, μὴ στερηθῆναι θέλων. Λιμῷ Λουκιανὸς δεκάτῃ θάνεν, ἠδέ τε πέμπτῃ.

Οὗτος εὐσεβῶν γονέων ὑπάρχων Υἱὸς, μετὰ τὴν τούτων ἀποβίωσιν, πάντα τοῖς δεομένοις σκορπίσας, τῇ μελέτῃ τῶν θείων γραφῶν ἐσχόλαζε. διὸ καὶ πολλοὺς Ἰουδαίους καὶ Ἕλληνας πρὸς τὴν εἰς Χριστὸν ἐπεσπάσατο πίστιν. καταλιπὼν δὲ τὴν οἰκίαν, καὶ τὴν Νικομήδειαν καταλαβὼν, τοὺς φόβῳ κολάσεων καταλιγωροῦντας τῆς πίστεως, ὑπήλειφε πρὸς τοὺς ἀγῶνας. εἰς κάλλος δὲ γράφειν ἐπιστάμενος, βιβλίον κατέλιπε τῇ Νικομηδέων Ἐκκλησίᾳ γεγραμμένων σελίσι τρισσαῖς, περιέχον πᾶσαν τὴν παλαιάν τε καὶ τὴν νέαν Διαθήκην. τοσοῦτον δὲ γέγονεν ὑπὲρ ἄνθρωπον, ὥστε τὴν Πόλιν διερχόμενος, οἷς μὲν ἤθελε, θεωρητὸς ἦν, τοῖς δὲ λοιποῖς, ἀθεώρητος. Περὶ τούτου μαθὼν ὁ Μαξιμιανὸς, καὶ αἰσχυνθεὶς τὸ πρόσωπον ὀφθῆναι αὐτοῦ, ὑπὸ παραπετάσματος αὐτῷ διαλέγεται· καὶ γνοὺς τὸ τῆς γνώμης αὐτοῦ ἀμετάθετον, μακρὸν αὐτῷ καταδικάζει λιμόν. Ἐπὶ πολλὰς οὖν ἡμέρας βρώσεως καὶ πόσεως μὴ μεταλαβὼν, ἐν τῇ φρουρᾷ ἐτελεύτησε. τὸ δὲ σῶμα τούτου, προστάξει τοῦ Ἡγεμόνος, ἐῤῥίφθη ἐν τῇ θαλάσσῃ. δελφὶς δὲ τοῦτο προστάξει Θεοῦ ἐπὶ τῶν ὤμων φέρων, τῇ χέρσῳ παρέπεμψε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σαβίνου Ἐπισκόπου.

Στίχ. Ἰσάγγελον Σαβῖνος εὐβιοὺς βίον. Θανὼν συνήφθη τῷ χορῷ τῶν Ἀγγέλων.

Ὁ Μακάριος Σαβῖνος, διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν, γέγονεν Ἐπίσκοπος. εἶτα τοὺς θορύβους μισῶν, ἐμάκρυνε φυγαδεύων· καὶ τοσοῦτον ἠγωνίσατο, ὡς καὶ θαυμάτων πολλῶν αὐτουργὸς γενέσθαι, καὶ νόσους ἀπελαύνειν, καὶ δαίμονας φυγαδεύειν. ἔτι δὲ καὶ προλέγειν τὰ μέλλοντα. πολλοὺς δὲ ὠφελήσας, καὶ πείσας Κόσμον ἀφεῖναι καὶ γονεῖς, καὶ Χριστῷ δουλεύειν, ἐν εἰρήνῃ ἀνεπαύσατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν

Digitized by Google

ἡμῶν καὶ Ὁμολογητοῦ Βάρσου, Ἐπισκόπου Ἐδέσσης.

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν, οὐκ ἐν Ἐδέσσῃ μόνον, ἀλλὰ καὶ ἐν Φοινίκῃ, καὶ ἐν Αἰγύπτῳ καὶ Θηβαΐδι διέλαμψε. ἐν τούτοις γὰρ πᾶσιν ἐξόριστος γέγονε. καὶ ὁ τότε Βασιλεὺς Βαλεντιανὸς, διὰ τὸ εἶναι τὸν Ἅγιον ζηλωτὴν τοῦ ὀρθοῦ δόγματος, πρῶτον μὲν, εἰς Ἄραδρον τὴν νῆσον οἰκεῖν αὐτὸν προσέταξεν. ἐπειδὴ δὲ ἔγνω συῤῥέοντα πρὸς αὐτὸν πλήθη οὐκ ὀλίγα, εἰς Ὀξύρυγχον τὴν Αἰγυπτίαν ἐξέπεμψε πόλιν. ὡς δὲ κἀκεῖ τὸ τούτου κλέος συνήγειρεν ἅπαντας, ἔσχατον εἰς φρούριον τοῖς ἐκεῖσε γειτονεύουσι βαρβάροις, ὁ τῶν Οὐρανῶν ἄξιος ἀπήχθη Πρεσβύτης. ἐν δὲ τῇ Ἀράδῳ φασὶ τὴν ἐκείνου μέχρι καὶ σήμερον διατηρεῖσθαι κλίνην, πλείστης ἠξιωμένην τιμῆς. ἐν ταύτῃ γὰρ οἱ νοσοῦντες κατακλινόμενοι, ὑγείαν διὰ τῆς πίστεως δρέπονται. μυρία δὲ σημεῖα ἐργασάμενος, ὡς προείρηται, πρὸς Κύριον μετὰ παῤῥησίας ἀπῆλθε.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἄθλησις Μοναχοῦ τινὸς καὶ Μάρτυρος, καὶ ὠφέλιμος διήγησις.

Μοναχός τις ἦν ἐν σκήτει, ὑπείκων Πατρὶ ἐπὶ χρόνους τινάς. οὗτος φθόνῳ τοῦ μισοκάλου δαίμονος τῆς ὑπακοῆς ἐκπεσὼν, ἐξῆλθε χωρὶς αἰτίας τινὸς ἐπιβλαβοῦς ἀπὸ τῶν χειρῶν τοῦ γέροντος, καταφρονήσας καὶ τοῦ ἐπιτιμίου, ἐπιτιμηθεὶς διὰ τὴν τῆς ὑπακοῆς ἀθέτησιν. κατελθὼν δὲ ἐν Ἀλεξανδρείᾳ τῇ Πόλει, ἐκρατήθη παρὰ τοῦ ἐκεῖσε Ἄρχοντος, ἀποδυθεὶς καὶ τὸ Μοναχικὸν σχῆμα, ὡς κατεπείγοντος αὐτὸν θῦσαι τοῖς εἰδώλοις. ὡς δὲ οὐδ' ὅλως εἶχε τοῦτον καταπειθῆ, βουνεύροις μὲν πρῶτον, ἔτυψεν ἀφειδῶς. εἶθ' οὕτω τὴν κεφαλὴν αὐτοῦ ξίφει ἀποτμηθῆναι προσέταξεν. ὃν καὶ λαβόντες οἱ παρεστάμενοι, ἀπέτεμον τὴν κεφαλὴν αὐτοῦ, τὸ σῶμα αὐτοῦ ἔξω τῆς Πόλεως ῥίψαντες τοῖς κυσί. τοῦτον φιλόχριστοί τινες, νυκτὸς καταλαβούσης, ἀνελάβοντο, καὶ μύροις καὶ ὀθονίοις εἰλίσαντες, ἔθεντο ἐν γλωσσοκόμῳ, καὶ ἀπέθεντο ὡς Μάρτυρα ἐν τῷ τοῦ Ναοῦ Θυσιαστηρίῳ. ἐπιτελουμένης οὖν τῆς θείας Μυσταγωγίας, καὶ τοῦ Ἱεροκήρυκος ἀναβοῶντος, τὸ, Ὅσοι κατηχούμενοι προέλθετε, οἱ κατηχούμενοι προέλθετε. πάντων ὁρώντων, αὐτομάτως τὸ γλωσσόκομον ἐξήρχετο ἅμα ἀνθρωπίνης χειρὸς, καὶ ἔμενεν ἐν τῷ Νάρθηκι τῆς Ἐκκλησίας ἄχρι τῆς Ἀπολύσεως. καὶ πάλιν αὐτομάτως εἰσερχόμενον ἵστατο, ἐν ᾧ προετυπώθη τόπῳ ἵστασθαι. τοῦτο γινόμενον ἐξέπληττε τοὺς ὁρῶντας. ὅπερ ἀναμαθών καί τις τῶν διακείμενων, ἐδεήθη τοῦ Θεοῦ περὶ τούτου, καὶ ταχεῖαν τὴν λύσιν ἐδέξατο. Ἄγγελος γὰρ ἐπιστὰς φησὶ πρὸς αὐτόν· τί ἔκθαμβος γέγονας ἐπὶ τῷ γεγενημένῳ; οὐκ ἔλαβον οἱ Ἀπόστολοι τοῦ Χριστοῦ ὡς οἶσθα ἐξουσίαν τοῦ δεσμεῖν καὶ λύειν, καὶ ἐξ αὐτῶν πάλιν οἱ καθεξῆς Μαθηταὶ τούτων; οὗτος οὖν τὸ αἷμα αὐτοῦ ὑπὲρ Χριστοῦ ἐκχέας ἀδελφὸς, καὶ ἐν τῷ Θυσιαστηρίῳ μὴ συγχωρούμενος κεῖσθαι, τῆς Προσφορᾶς τελουμένης, ὑπὸ Ἀγγέλου διώκεται ἄχρι τοῦ Νάρθηκος. τοῦ δεῖνος γὰρ τοῦ συνασκητοῦ σου τῆς ὑπακοῆς ἐκπεσὼν, ὡς μαθητὴς αὐτοῦ γεγονὼς, καὶ ἀλόγως δεσμωθεὶς ὑπ' αὐτοῦ, ἐκεῖθεν ἀπανίσταται δεδεμένος. καὶ ὡς μὲν Μάρτυς, τὸν στέφανον ἔλαβεν. ὡς δὲ τὸν δεσμὸν ἔχων, οὐ συγχωρεῖται ἔνδον κεῖσθαι, τῆς Προσφορᾶς τελουμένης, εἰ μὴ ὁ δήσας λύσει αὐτόν. Ταῦτα μεμαθηκὼς ὁ θεῖος Πρεσβύτης, λαβὼν τὴν ῥάβδον ἀπῆλθε πρὸς τὴν Ἀσκητήν. καὶ ἐξυφάνας αὐτῷ τὸ πᾶν τῆς ἱστορίας, συγκατῆλθε μετ' αὐτοῦ εἰς τὴν Ἀλεξάνδρειαν. καὶ τὸν Ναὸν ἐν ᾧ τὸ λείψανον ἐναπέκειτο τοῦ Μάρτυρος καταλαβόντες, καὶ τὴν θήκην παρανοίξαντες τοῦ Μάρτυρος, τὴν συγχώρησιν ὁμοῦ ἐποιήσαντο. καὶ τοῦτον κατασπασάμενοι, ἔστησαν εἰς δοξολογίαν. καὶ τῆς θείας Μυσταγωγίας τελεσθείσης, μεμένηκεν ὁ Μάρτυς ἀσάλευτος ἐν τῷ Θυσιαστηρίῳ κείμενος, ἔκτοτε καὶ μέχρι τοῦ νῦν.

Τῇ

Digitized by Google

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Σαρβίλου, καὶ Βεβαίας τῆς ἀδελφῆς αὐτοῦ.

Ἐν ταῖς ἡμέραις Τραϊανοῦ τοῦ Βασιλέως, ὁ Ἅγιος οὗτος Σάρβιλος ἱερεὺς ὢν τῶν εἰδώλων, ὑπὸ Ὁσίου Ἐπισκόπου κατηχηθεὶς, ἐβαπτίσθη μετὰ Βεβαίας τῆς ἀδελφῆς αὐτοῦ. διαβληθεὶς δὲ ὡς χριστιανὸς τῷ ἄρχοντι τῆς Ἐδεσσηνῶν πόλεως, παρέστη τῷ τούτου βήματι. καὶ ἐν πρώτοις προσέταξεν αὐτὸν ῥαβδίζεσθαι. τοῦ δὲ Ἁγίου πολλὰ καταμωκωμένου, καὶ ἐλέγχοντος αὐτόν τε καὶ τὰ τούτου σεβάσματα, ἔτι δὲ καὶ τὸν ἀποστείλαντα αὐτὸν Βασιλέα, μανίᾳ πολλῇ συσχεθεὶς, οὐχ ἅπαξ, ἀλλὰ οὐδὲ δὶς, ἀλλ᾽ ἑπτάκις τοῦτον ἑκάστῃ περιόδῳ, βουνεύροις ἔτυπτε, χειράγραις ἔξεε, καὶ λαμπάσιν ἔφλεγε. καὶ τούτων γενομένων, τοῦ Ἁγίου πρὸς Θεὸν ἀτενίζοντος, καὶ προσευχομένου, ἐκούφιζε τὰς ὀδύνας αὐτοῦ ὁ τῶν δυνάμεων Κύριος. Ἰδὼν δὲ ὁ Τύραννος τὸ γενναῖον τῆς τούτου ὑπομονῆς, καὶ πάλιν προσθεὶς, ἥλους ἐνέπηξε τῇ τούτου κεφαλῇ. εἶτα πειραθεὶς, καὶ ἐξ ἀμφοτέρων ἀλώβητος διαφυλαχθεὶς, ἐξέπληξεν ἅπαντας. ταῦτα θεασαμένη Βεβαία ἡ τούτου ἀδελφὴ, προὔδωκεν αὐτὴ ἑαυτὴν τῷ Τυράννῳ, Χριστιανὴν καταγγέλλουσα. ὁ δὲ μαστίξας ταύτην ἱκανῶς, τῇ εἱρκτῇ ἐνέβαλε. τὸν δὲ Ἅγιον ἀπηώρησεν ἐκ μιᾶς χειρὸς, εἶτα τὴν δορὰν τοῦ σώματος αὐτοῦ ἀποδύσας, καὶ ἰδὼν, ὅτι ἐμπνεῖ, ἀποτεμεῖν καὶ ἀμφοτέρων τὰς κεφαλὰς προσέταξεν. ἀνελόμενοι δὲ τότε κρυφίως πιστοί τινες τὰ τούτων λείψανα, κατέκρυψαν ἐν τῇ γῇ, δοξάζοντες καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ΄. Ὁ διασώσας ἐν πυρί.

Ῥύμην ῥημάτων σου σοφὲ, τύραννος διώκτης μὴ φέρων, καὶ θανατοῖ σε καὶ βυθῷ θαλαττίῳ προσρίπτει, τὴν ἄνω σοι προξενῶν ὡς οὐκ ᾤετο, Βασιλείαν εἰς αἰῶνας καὶ θείαν δόξαν.

Μὴ προσκυνήσας τοῖς γλυπτοῖς, γόνυ δὲ μὴ κάμψας εἰδώλοις, εἰς πῦρ ἐβλήθης θιλβερὸν, εἰς βάσανον εἰσῆλθες τὴν κάμινον, δροσιζόμενος πνεύματι, δροσοβόλῳ δυναστείᾳ θεόφρον Μάρτυς.

Νενεκρωμένους καὶ βυθῷ, τῆς Ἑλληνικῆς ἀθείας, καταποθέντας τοὺς λαοὺς, ζωηφόροις σου λόγοις ἀνείλκυσας, μελῳδῶν ἀξιάγαστε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Θεοτοκίον.

Εὐλογημένος ὁ καρπὸς, τῆς εὐλογημένης γαστρός σου, ὃν εὐλογοῦσιν οὐρανῶν αἱ Δυνάμεις, βροτῶν τὰ συστήματα, ὁ ἡμᾶς λυτρωσάμενος, τῆς κατάρας τῆς ἀρχαίας εὐλογημένη.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Λιμῷ νοητῷ τοὺς ἐκτακέντας, τῷ ἄρτῳ τῶν λόγων σου ἐστήριξας, μόνον σέβειν Κύριον, Ἄρτον τῆς ζωῆς ἡμῶν, Λουκιανὲ ὑπέδειξας, ᾧ πάντες ψάλλομεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα.

Ξένων πραγμάτων τελεσθέντων, ἐν σοὶ Λουκιανὲ Μάρτυς ἀοίδιμε. κόλπος γὰρ θαλάττιος, σῶμά σου τὸ ἅγιον, ἐφ᾽ ἱκανὸν δεξάμενος, οὐκ ἐλυμήνατο. τῇ χέρσῳ διασώζει δεσμῶν σου, ῥεῖθρα ἰαμάτων, ἐκβλύζων τοῖς ποθοῦσι.

Πατήσας δεινὰς μηχανουργίας, ἐχθροῦ τοῦ ἀπατεῶνος τῇ ἀθλήσει σου, ἤρθης πρὸς περίδοξον, ὕψος ἀξιάγαστε. καὶ τῶν Ἀγγέλων ἔφθασας, βοῶν τὰ τάγματα· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας.

Θεοτοκίον.

Καὶ γλώσσῃ Παρθένε καὶ καρδίᾳ, Ἁγνὴν Θεοτόκον σε κηρύττομεν. Κύριον γὰρ ἔτεκες, σάρκα περικείμενον, καὶ ἐν δυσὶ ταῖς φύσεσι, κατανοούμενον. ὃν πᾶσαι Οὐρανῶν αἱ Δυνάμεις, ἀνυμνολογοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

„ Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ Τό-
„ κος τῆς Θεοτόκου διεσώσατο. τότε
„ μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος,
„ τὴν Οἰκουμένην ἅπασαν, ἤγειρε ψάλ-
„ λουσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα,
„ καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ

Digitized by Google

Ὠδὴ θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Λάμπει σου σοφὲ τὸ ἱερὸν μνημόσυνον ταῖς ἀκτῖσι ταῖς τοῦ Πνεύματος, νέφος παθῶν διασκεδάζον. φωτίζον ἀσεβῶν τὰ συστήματα, καὶ φλέγον τῶν δαιμόνων στρατεύματα, ὃ ἐκτελοῦντας ἡμᾶς φύλαττε.

Ἐλύθης τοῦ σώματος δεσμῶν μακάριε, καὶ πρὸς ὕψος ἐπουράνιον, χαίρων ἀνέπτης καὶ ἐπώφθης, ὡραίοις τῶν στιγμάτων τερπνότητι, Θεῷ τῷ ποιητῇ σου παρίστασαι, μετὰ Μαρτύρων εὐφραινόμενος.

Ὁ Μάρτυς ἡμᾶς Λουκιανὸς συνήγαγεν, εὐφημῆσαι τοῦτον σήμερον, ἄθλους λαμπροὺς καὶ τοὺς ἀγῶνας, τὴν μέχρι τελευτῆς γενναιότητα, θαυμάτων τε τὴν χάριν τὴν ἄφθονον, ὃν ἐπαξίως μακαρίζομεν.

Θεοτοκίον.

Σοφίας δοχεῖον ὑπὲρ νοῦν τῆς κρείττονος, ἀνεδείχθης Κόρη πάναγνε. ἔμψυχος θρόνος τε καὶ πύλη. διό σε τῶν βροτῶν τὰ συστήματα, Ἀγγέλων τε δοξάζει στρατεύματα, μόνη τῶν πάντων ὑπερέχουσα.

Ὁ Εἱρμός.

„Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι,
„τὴν κατάραν εἰσῳκίσατο, σὺ δὲ Παρ-
„θένε Θεοτόκε, τῷ τῆς κυοφορίας βλα-
„στήματι, τῷ Κόσμῳ τὴν εὐλογίαν ἐξήν-
„θησας. ὅθεν σε πάντες μεγαλύνομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Πνευματικῆς ὡς ἔμπλεως, χάριτος καὶ σοφίας, Λουκιανὲ πανεύφημε, τὴν θεόπνευστον Μάρτυς, Γραφὴν ἡρμήνευσας πᾶσαν. πλάνην δὲ τῶν Ἑλλήνων, ἐλέγξας τὴν πολύθεον, καὶ ψευδώνυμον γνῶσιν, τὴν δὲ Χριστοῦ, Ἐκκλησίαν ηὔφρανας ἀθλοφόρε. φαιδρύνων ἐν τοῖς λόγοις σου, ὀρθοδόξων τὰ πλήθη.

Θεοτοκίον. Ὅμοιον.

Ναὸς ἐγένου Πάναγνε, τῆς Θεότητος ὅλος, τὸν τῆς Τριάδος ἕνα γάρ, τέτοκας ἀπορρήτως, διπλοῦν τῇ φύσει Παρθένε, ἐν μιᾷ ὑποστάσει· ὃν ἐκτενῶς ἱκέτευε, σῶσαι τοὺς σὲ ὑμνοῦντας, ἐκ πειρασμῶν, καὶ κινδύνων Δέσποινα Θεοτόκε. σοὶ γὰρ τὸ χαῖρε κράζομεν, προστασία τοῦ Κόσμου.

Τοῦτε Ὄρθρου καὶ τῆς Λειτουργίας τὰ πάντα,
Ζήτει εἰς Ὁμομάρτυρας.

## Τῷ αὐτῷ Μηνὶ ΙΣΤ΄.

Τοῦ Ἁγίου Μάρτυρος Λογγίνου τοῦ Ἑκατοντάρχου, τοῦ ἐπὶ τοῦ Σταυροῦ. Στιχηρά. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Τὸν βροτὸν χρηματίσαντα, καὶ Σταυρῷ ὁμιλήσαντα, καὶ Ἥλιον ἔλλαμψιν ἀμαυρώσαντα, καὶ ἐκ πλευρᾶς ἀναβλύσαντα, σωτήριον ἄφεσιν, κατιδὼν μετὰ λῃστοῦ, τοῦ εὐγνώμονος ἔνδοξε, ὡμολόγησας, καὶ Θεὸν καὶ Δεσπότην ἑκουσίως, ὑπομείναντα τὰ πάθη, δι' εὐσπλαγχνίαν ἀμέτρητον.

Τὴν κατάκαρπον ἄμπελον, ἐπὶ ξύλου θεώμενος, ἠρτημένην ἔνδοξε καὶ πηγάζουσαν, οἶνον ζωῆς καὶ ἀφέσεως, τὰ χείλη ὑπέθηκας, τῆς καρδίας καὶ πιών, εὐφροσύνης πεπλήρωσαι, τὴν κατάπικρον, ἁμαρτίαν ἐμέσας, ὡς ἐχέφρων, ὡς τοῦ χείρονος τὸ κρεῖττον, περιφανῶς προελόμενος.

Θανατώσας τὸν τύραννον, εὐτολμίᾳ τῶν λόγων σου, πρὸς σφαγὴν ἑκούσιον ηὐτομόλησας, οὐ δειλιάσας πανεύφημε, Λογγῖνε τὸν θάνατον, τὴν ἀθάνατον ζωὴν, προξενοῦντά σοι χάριτι. ὅθεν πίστει σου, τὴν πανέορτον μνήμην ἐκτελοῦμεν, δυσωποῦντές σε πρεσβεύειν, ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον.

Δόξα. Ἦχος πλ. β΄. Ἰωάννου Μοναχοῦ.

Ἐν τῷ πάθει σου Χριστὲ, τὸν ναὸν θεωρήσας διαρραγέντα, Λογγῖνος ὁ Ἑκατόνταρχος, Υἱὸν Θεοῦ σε τοῖς Ἰουδαίοις ἐκήρυττεν. ὅθεν οἱ δεινοὶ κάραν τὴν θείαν αὐτοῦ τεμόντες τῷ ξίφει, ἐν κοπρίᾳ ἔρριψαν. γυνὴ δὲ ταύτην εὑροῦσα, τὰς κεκλεισμένας κόρας αὐτῆς τῶν ὀμμάτων ἀνέῳξε. μεθ' ἧς καὶ ἡμεῖς βοῶμέν σοι· ὁ τοῦτον στεφανώσας, ὑπὲρ σοῦ ἀθλήσαντα. ταῖς αὐτοῦ ἱκεσίαις, καὶ ἡμῶν τὰ ὄμματα τῆς καρδίας φώτισον, τοῦ δοξάζειν σε Θεὸν, τὸν ἐν σαρκὶ προσηλωθέντα, εἰς τὸ σῶσαι ἡμᾶς.

Καὶ

Digitized by Google

Καὶ νῦν. Θεοτ. Ὅλην ἀποθέμενοι.

Μόνος ὑπὲρ ἅπαντας, υἱὸς ἀνθρώπων ὁ τάλας, μόνος ἐπλημμέλησα, τὰ καὶ λόγῳ ἄφθεγκτα, καὶ ἀκούσματι, μηδαμῶς ἄλλ' ἅπαντε, φορητὰ πέλοντα. διὰ τοῦτό σου καὶ δέομαι, σύγγνωθι Δέσποινα, σύγγνωθι καὶ δός μοι μετάνοιαν, δός μοι ἐξομολόγησιν, δός μοι στεναγμούς τε καὶ δάκρυα. ἵνα διὰ τούτων, συντρίβων τὴν καρδίαν μου ἀεὶ, κράζω τὸ ἥμαρτον ἥμαρτον, ἱλάσθητι σῶσόν με. Σταυροθ. Ὅμοιον.

Ῥομφαία ὡς ἔφησεν, ὁ Συμεὼν τὴν καρδίαν, τὴν σὴν διελήλυθε, Παναγία Δέσποινα, ὅτε ἔβλεψας, τὸν ἐκ σοῦ λάμψαντα, ἀπορρήτῳ Λόγῳ, ὑπ' ἀνόμων ὡς κατάκριτον, σταυρῷ ὑψούμενον, ὄξος καὶ χολήν τε γευόμενον, πλευράν τε ὀρυττόμενον, χεῖράς τε καὶ πόδας ἡλούμενον, καὶ ὀδυρομένη, ἠλάλαζες βοῶσα μητρικῶς· τί τοῦτο τέκνον γλυκύτατον, τὸ καινὸν μυστήριον;

Εἰς τὸν Στ. Στ. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος Πλ. β'. Ἰωάννου Μοναχοῦ.

Ἐν τῷ Σταυρῷ παρεστηκὼς, καὶ τὰ γενόμενα σκοπῶν, τὸν σταυρωθέντα ἐπὶ ξύλου Θεὸν καὶ ἄνθρωπον, ἑωρακὼς ἐβόας πρὸς αὐτόν· ἐν τῇ Βασιλείᾳ σου μνήσθητί μου Κύριε. διὸ καὶ ὁ Σωτὴρ ἐφώνει σοι· μακάριος εἶ Λογγῖνε, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.

Καὶ νῦν. Θεοτ. Τριήμερος ἀνέστης.

Τὴν πᾶσάν μου ἐλπίδα εἰς σὲ, Παρθένε ἀνατίθημι. μὴ παρίδῃς, ἀλλὰ σπεῦσον ἀγαθὴ, ῥυσθῆναί με ἐν τάχει, παθῶν τῶν ἐνοχλούντων, καὶ καθ' ἑκάστην πολεμούντων με. Σταυροθ. Ὅμοιον.

Ἐν ξύλῳ τὴν ζωὴν ἡμῶν, ὁρῶσα ἡ Πανάμωμος, Θεοτόκος, κρεμαμένην μητρικῶς, ὠδύρετο βοῶσα, Υἱέ μου καὶ Θεέ μου, σῶσον τοὺς πόθῳ ἀνυμνοῦντάς σε.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης Στιχολ. Οἱ Κανόνες, τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου.

Οὗ ἡ ἀκροστιχίς.

Τὸ Λογγίνου μέγιστον ὑμνήσω κλέος.

Ἰωσήφ. Ὠδὴ α'. Ἦχος δ'.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Ταῖς θείαις φωτοχυσίαις ἔνδοξε, περιλαμπόμενος, καὶ σὺν Ἀγγέλων τάξεσι Χριστῷ, τῷ Θεῷ παριστάμενος, τὴν φωτοφόρον μνήμην σου, τοὺς ἐκτελοῦντας καταφαίδρυνον.

Οὐδέν σε τῆς πρὸς Θεὸν ἑνώσεως, Μάρτυς ἐχώρισε, κεχωρισμένον ὄντα σαρκικῆς, ἡδονῆς διὰ πίστεως, καὶ καθαρῶς τῷ ἔρωτι, τῷ ἀκροτάτῳ ἐνδιδόμενον.

Λατρεύων Θεῷ τῷ ζῶντι ἔνδοξε, Λογγῖνε πάνσοφε, νεκροῖς ξοάνοις οὐδαμῶς, σὺ λατρείαν προσένειμας. διὸ πρὸς ἀτελεύτητον, θανατωθεὶς ζωὴν κατήντησας. Θεοτοκίον.

Ὁ λόγος ὁ τοῦ Θεοῦ ἐν μήτρᾳ σου, λόγῳ συνείληπται, τῆς ἀλογίας ῥύσασθαι βροτοὺς, βουληθεὶς ἀγαθότητι, Παρθενομῆτορ ἄχραντε, εὐλογημένη παναμώμητε.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Γνωρίσας ἐπὶ Σταυροῦ, Υἱὸν Θεοῦ τὸν ἀληθῆ Κύριον, ὑπὲρ ἡμῶν πάσχοντα, τούτῳ σὺ Λογγῖνε ἐπίστευσας.

Γῆ ὥσπερ πίων ἡ σὴ, ψυχὴ λαβοῦσα λογικὰ σπέρματα, στάχυν σοφὲ ὥριμον, θείας εὐσεβείας ἐβλάστησεν.

Τρίβῳ τῷ τοῦ Σταυροῦ, τὸ τῶν βασάνων διελθὼν πέλαγος, τοὺς γαληνοὺς ἔφθασας, ἔνδοξε λιμένας γενόμενος.

Θεοτοκίον.

Νοσοῦσάν μου τὴν ψυχὴν, ταῖς τῶν παθῶν ἐπαγωγαῖς ἴασαι, Μήτηρ Θεοῦ πάναγνε, καὶ πρὸς σωτηρίαν κατεύθυνον.

Ὁ Εἱρμός.

„ Εὐφραίνεται ἐπὶ σοὶ, ἡ Ἐκκλησία σου
„ Χριστὲ κράζουσα. σύ μου ἰσχὺς Κύριε,
„ καὶ καταφυγὴ καὶ στερέωμα.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Σταυρωθέντα κατεῖδες τὸν Λυτρωτὴν, καὶ αὐτοῦ ταῖς ἀκτῖσι καταυγασθεὶς, τὸ σκότος ἀπέφυγες, ἀγνωσίας βαθύτατον, καὶ πρὸς θείαν γνῶσιν, σαυτὸν μετερρύθμισας, πιστωθεὶς ὡς ἔστι, Θεὸς ὁ ὁρώμενος. ὅθεν καὶ ἀθλήσας, τοῖς χοροῖς ἠριθμήθης, Λογγῖνε Μακάριε, τῶν Μαρτύρων

ρων

Digitized by Google

ρων γηθόμενος. μεθ' ὧν πάντοτε ἔνδοξε, πρέσβευε Χριστῷ τῷ Θεῷ.

Δόξα. τὸ αὐτό. Καὶ νῦν. Θεοτ. Ὅμοιον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν, νῦν ὡς ἀκυβέρνητον, ποντισμένην Παμμάκαρ, ἁμαρτιῶν τε φόρτῳ, φανεῖσαν ὑπέραντλον. καὶ εἰς πυθμένα ᾅδου, πεσεῖν κινδυνεύουσαν. φθάσον Θεοτόκε, τῇ θερμῇ σου πρεσβείᾳ, καὶ σῶσον παρέχουσα, τὸν λιμένα τὸν εὔδιον, ἵνα πίστει κραυγάζω σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν. σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἀμνὸν καὶ ποιμένα καὶ λυτρωτήν, ἡ ἀμνὰς θεωροῦσα ἐν τῷ Σταυρῷ, ἠλάλαξε δακρύουσα, καὶ πικρῶς ἀνεκραύγαζεν. ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν. τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν σταύρωσιν, ἣν περ ὑπομένεις, διὰ σπλάγχνα ἐλέους, Θεὲ ὑπεράγαθε, ἀνεξίκακε Κύριε. ἣν πιστῶς ἐκβοήσωμεν, σπλαγχνίσθητι Παρθένε ἐφ' ἡμᾶς, καὶ πταισμάτων δώρησαι τὴν ἄφεσιν, τοῖς προσκυνοῦσιν αὐτοῦ τὰ παθήματα.

Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Ὀχυρώτατον κτησάμενος ἐν τῇ πίστει, τὸν λογισμὸν μακάριε, ἀνίσχυρον πλάνης, ἔλυσας ὀχύρωμα, Λογγῖνε καὶ ἔκραζες· δόξα τῇ δυνάμει σου Κύριε.

Ὑψωθέντα καὶ τῷ ξύλῳ προσηλωθέντα, τὸν ἀπαθῆ θεώμενος Κύριον τῆς δόξης, τοῦτον ὡμολόγησας, Υἱὸν Θεοῦ ἔνδοξε, πάσχοντα οἰκείῳ θελήματι.

Μαραινόμενον τὸν θάνατον τῷ θανάτῳ, τοῦ ἀπαθοῦς θεώμενος, ἐπόθησας Λογγῖνε, δι' αὐτὸν τεθνήξασθαι, καὶ ζῆν μετὰ θάνατον, σὺν τοῖς εὐκλεῶς ἐναθλήσασιν.

Θεοτοκίον.

Ἑνωθέντα καθ' ὑπόστασιν ἐν γαστρί σου, καὶ γεγονότα ἄνθρωπον, ἄχραντε τὸν Λόγον, ὑπὲρ λόγον τέτοκας, διπλοῦν ταῖς θελήσεσι, καὶ ταῖς ἐνεργείαις δεικνύμενον.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Τῆς πάσης ἀληθῶς, γεγονὼς παρεπίδημος, ἐν στίγμασιν ἀθλοφόρων, ὡραιώθης Λογγῖνε, καὶ γῆν πραέων ᾤκησας.

Ἰσχύσας τοῦ Σταυροῦ, τῇ δυνάμει φραξάμενος, ἀνίσχυρον τῶν τυράννων, ἀθλοφόρε Λογγῖνε, προπώσασθαι ἀπόνοιαν.

Στήσας ἐν ἀσφαλεῖ, θεμελίῳ καρδίας σου, ἀνέπτηξε τὰς κινήσεις, πειρασμῶν ἐπικλύσει, ἀσάλευτος διέμεινας.

Θεοτοκίον.

Τὴν μόνην τὸν Θεόν, ἀπειράνδρως κυήσασαν, ὑμνήσωμεν Θεοτόκον. δι' αὐτῆς οἱ σωθέντες, καὶ πόθῳ μακαρίσωμεν.

Ὠδὴ ϛ΄. Θύσω σοι μετὰ φωνῆς.

Ὁρῶντε, καὶ τὴν γῆν σαλευθεῖσαν θεώμενος, ἐν τῇ τοῦ πάθους ἡμέρᾳ, ἀπιστίας στάσεως ἐσαλεύθη. καὶ τῇ πίστει, ἐνιδρυώθης Λογγῖνε τῆς χάριτος.

Νόησιν, ἀληθῆ καὶ τελείαν καὶ ἔμφρονα, ἀναλαβεῖν ἠδυνήθης, καθορῶν τὴν κτίσιν ἀλλοιουμένην. καὶ πρὸς θείαν, ἠλλοιώθης Λογγῖνε ἐπίγνωσιν.

Ὑπέστης, χαλεπὴν τιμωρίαν γηθόμενος. καὶ τὸν αὐχένα τῷ ξίφει, ἀδιστάκτῳ γνώμῃ τμηθεὶς Λογγῖνε, διακόπτων, κεφαλὰς δυσμενῶν διὰ πίστεως. Θεοτ.

Μάρανον, καὶ προρρίζους Παμμάκαρ ἔκτιλον, τὰς ἀκανθώδεις ἐννοίας, τῆς ἐμῆς καρδίας. καὶ καρποφόρον, ταύτην δεῖξον, μεσιτείᾳ σου Κόρη παμμάκαρ.

Ὁ Εἱρμός.

„ Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε,
„ ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων
„ λύθρου κεκαθαρμένη, τῷ δι' οἶκτον, ἐκ
„ τῆς πλευρᾶς σου ῥεύσαντι Αἵματι.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης.

Εὐφροσύνως γέγηθεν ἡ Ἐκκλησία σου, τῇ μνήμῃ σήμερον τοῦ ἀοιδίμου ἀθλητοῦ, Λογγίνου ἀνακραυγάζουσα. σύ μου τὸ κράτος Χριστὲ καὶ στερέωμα. Ὁ Οἶκος.

Τὸν Οὐρανὸν σκότει πολλῷ, τὴν γῆν τε σειομένην, καὶ πέτρας ῥηγνυμένας, ναοῦ τε τὸ καταπέτασμα, σχισθὲν εἰς δύο θεωρῶν, ἐν τῷ Θείῳ πάθει τοῦ Χριστοῦ ὁ ἀθλη-

Digitized by Google

ἀθλητὴς Θεοῦ Υἱὸν αὐτὸν ἐγνώρισε, πάσχοντα τῇ οἰκείᾳ εὐσπλαγχνίᾳ, ἀπαθῆ δὲ ὄντα τῇ Θεότητι καὶ δόξῃ, σὺν τῷ Πατρὶ καὶ Πνεύματι τῷ Θείῳ, συνέχοντα τὸ πᾶν καὶ διακρατοῦντα, ὡς Θεὸν ἀληθινὸν καὶ Βασιλέα. ὅθεν ἐν χαρᾷ Λογγῖνος ἀνακραυγάζει· σύ μου τὸ κράτος Χριστὲ καὶ στερέωμα.

Τῷ αὐτῷ Μηνὶ ΙϚ΄. Τοῦ Ἁγίου Μάρτυρος Λογγίνου τοῦ Ἑκατοντάρχου.

Στ. Υἱὸν Θεοῦ σε λέγων Χριστὲ καὶ πάλιν,
Λογγῖνος ὡς πρὶν, τέμνεται τὸν αὐχένα.
Ἕκτῃ καὶ δεκάτῃ Λογγῖνον ἄορ κατέπεφνεν.

Ἐπὶ Τιβερίου Καίσαρος ἦν οὗτος ἐκ τῆς χώρας Καππαδοκῶν, Ἑκατοντάρχης ὑπάρχων, ὑπὸ τὸν Πιλάτον ὤν, τὸν Ἡγεμόνα τῆς Ἰουδαίας. προσετάγη δὲ παρ᾽ ἐκείνου, ὑπηρετῆσαι εἰς τὰ τίμια πάθη τοῦ Χριστοῦ καὶ τὴν σταύρωσιν, μετὰ τῶν ὑπ᾽ αὐτὸν ἑκατὸν στρατιωτῶν, φυλάξαι τὸν τάφον μετὰ τῆς Κουστωδίας, ἥτις ἦν τάγμα στρατιωτῶν. Ἰδὼν δὲ τὰ ἐπὶ τοῦ Χριστοῦ γενόμενα θαύματα, τόν τε σεισμὸν, τὴν τοῦ Ἡλίου εἰς σκότος μεταβολὴν, τοὺς ἀνοιγέντας τάφους, καὶ τοὺς ἐξ αὐτῶν νεκροὺς ἐκπηδήσαντας, καὶ τὰς σχισθείσας πέτρας, ἀνεβόησε μέγα, εἰπών· ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος. ὅθεν καὶ τὰ διδόμενα αὐτῷ ἀργύρια παρὰ τῶν Ἰουδαίων ἐπὶ διαβολῇ τῆς Ἀναστάσεως, ἀπεσείσατο μεθ᾽ ἑτέρων δύο στρατιωτῶν, οἳ ὕστερον σὺν αὐτῷ ἐμαρτύρησαν. Καταλιπὼν οὖν τὴν ἐπικειμένην αὐτῷ στρατείαν, καὶ τὴν οἰκείαν χώραν καταλαβὼν, ἀποστολικῶς τὸν Χριστὸν ἀνεκήρυττε Θεόν. πεισθεὶς οὖν ὁ Πιλάτος, μᾶλλον δὲ διαφθαρεὶς ὑπὸ τῶν Ἰουδαίων χρήμασι, διὰ γραμμάτων κατηγορεῖ τοῦ Λογγίνου πρὸς τὸν Τιβέριον, ὡς κατέλιπε τὴν οἰκείαν στρατείαν, καὶ ὡς ἐν τῇ πατρίδι αὐτοῦ διάγει, τὸν Χριστὸν καταγγέλλων Θεόν. τέμνεται οὖν αὐτίκα τὴν κεφαλὴν μετὰ τῶν σὺν αὐτῷ δύο στρατιωτῶν, τοῦτο τοῦ Τιβερίου κελεύσαντος, καὶ ἤχθη ἡ κεφαλὴ αὐτοῦ ἐκ Καππαδοκίας εἰς Ἱερουσαλὴμ, τοῦ πληροφορίαν λαβεῖν τὸν Πιλάτον καὶ τοὺς Ἰουδαίους τῆς αὐτοῦ ἀναιρέσεως, ἐφ᾽ ᾧ τὸν Πιλάτον λαβεῖν τὰ συμπεφωνηθέντα· καταχώννυται δὲ πρὸ τῆς Πόλεως ἡ τιμία αὐτοῦ κεφαλὴ ἐν κόπρῳ τινί. χρόνοις δὲ πολλοῖς ὕστερον, γυνή τις ἐκ Καππαδοκίας τὴν ἐνέργειαν ἀποβαλοῦσα τῶν ὀφθαλμῶν, καὶ τὴν ὀπτικὴν ἀπολέσασα δύναμιν, τὰ Ἱεροσόλυμα κατέλαβε μεθ᾽ Υἱοῦ μονογενοῦς, ὡς ἐν τοῖς Ἁγίοις τόποις εὑρεῖν δυνησομένη τῆς πηρώσεως ἴασιν. προστεθείσης δὲ αὐτῇ τῆς ἀποβιώσεως τοῦ Παιδὸς, διπλῆν ἐτραγῴδει τὴν συμφοράν. ὄναρ δὲ ταύτῃ ἐπιφανεὶς ὁ μακάριος Λογγῖνος, καὶ ὃς εἴη γνωρίσας αὐτῇ, καὶ ἔνθα κέκρυπται ἡ τούτου κεφαλὴ μηνύσας, καὶ προστειλάμενος αὐτῇ, ἀνορύξασαν ταύτην λαβεῖν, καὶ οὕτω τυχεῖν τῆς ἰάσεως, καὶ τὸν Υἱὸν αὐτῆς ἐν δόξῃ ὄντα θεάσασθαι. ἐπεὶ πρὸς ταῦτα πρόθυμος ἐγένετο ἡ γυνὴ, καὶ τὴν κόπρον εὑροῦσα, καὶ ταῖς χερσὶ διασκάψασα, τὴν κεφαλὴν ἀνείλετο. καὶ ἐκ τῆς ἀβλεψίας, τὴν ὀπτικὴν ἐνέργειαν ἔλαβε, καὶ τὸν Υἱὸν ἐν δόξῃ ὄναρ ἰδεῖν συνόντα τῷ Ἁγίῳ, καὶ τῆς παρ᾽ αὐτῷ τιμῆς ἀπολαβόντα. ἐν μιᾷ οὖν σορῷ, τό, τε λείψανον τοῦ παιδὸς, καὶ τοῦ Ἁγίου τὴν κεφαλὴν κατατίθησι. τοῦτο γὰρ παρ᾽ αὐτοῦ προσετέτακτο. τὴν Καππαδοκίαν κατέλαβε, παθοῦσα τῷ Σαοὺλ παραπλήσια. ὃς, τὰς πατρικὰς ὄνους ζητῶν, Βασιλείαν εὕρατο. καὶ αὕτη τῶν ὀφθαλμῶν τὴν πήρωσιν ἀποβαλέσθαι ζητοῦσα, καὶ τούτου τετύχηκε, καὶ θερμόν τε προστάτην τὸν Ἅγιον ἔκτοτε εὕρατο. ὅθεν καὶ Ναὸν τῷ Μάρτυρι περικαλλῆ ἀνεγείρασα, κἀκεῖ τὸ Μαρτυρικὸν καταθεῖσα λείψανον, πηγὰς ἰαμάτων καὶ αὐτῇ, καὶ πᾶσι τοῖς πιστοῖς κατεπλούτησεν, εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων δύο Μαρτύρων τῶν συναναιρεθέντων τῷ ἁγίῳ Λογγίνῳ.

Στ. Φθαρτὴν στρατείαν ἐκλελοιπυῖα ξίφει,
Δυὰς συνάθλων ἐστρατεύθη Κυρίῳ.

Τῇ

Digitized by Google

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Λεοντίου, Δομετίου, Τερεντίου, καὶ Δομνίνου.

Στ. Τρεῖς Λεόντιε τοὺς συναθλοῦντας ἔχων, Λεόντιον τι τῆς πυρᾶς ἄλλῃ μέσον.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαλοῦ.

Στ. Μαλὸς βραχεῖαν γῆς λιπὼν παροικίαν, Πόλον κατοικεῖ τὴν μακρὰν κατοικίαν.

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Μαλὸς, καταλιπὼν πλοῦτον καὶ συγγένειαν, ἐν ἐρήμοις καὶ ἀοικήτοις τόποις προσεκαρτέρει. νηστείαις καὶ ἀγρυπνίαις, καὶ πάσαις ἄλλαις κακοπαθείαις χαίρων. ἦν δὲ τὸ εἶδος αὐτοῦ ἀεὶ χαροποιόν. θαύματα δὲ πλεῖστα τῇ ἐπικλήσει Χριστοῦ ἐργαζόμενος, λεπροὺς καθαρίζων, δαίμονας ἀπελαύνων, τυφλοῖς τὸ βλέπειν χαριζόμενος. καὶ ταῦτα μὲν ἐποίει ἔτι ζῶν. ἀπελθὼν δὲ πρὸς Κύριον, καὶ τὸ σῶμα αὐτοῦ τῇ γῇ καταλιπὼν, εὐῶδες μύρον ἀπὸ τούτου πηγάζειν, εἰς ἴασιν καὶ ἀποκοπὴν παντὸς ἐναντίου συναντήματος, καὶ νοσημάτων ἀνηκέστων, ἐκ Θεοῦ χάριν εἴληφε. τοὺς γὰρ δοξάζοντάς με, φησὶν ὁ Κύριος, δοξάσω. ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Νομίμως Μάρτυς, ἐναθλήσας ἀνδρείᾳ γνώμῃ ψυχῆς, πάσας ἀνομούντων ἤχυνας τὰς βουλὰς, καὶ νομίμως ἐστεφάνωσαι, εὐλογημένος εἶ ἀναβοῶν, τῆς δόξης ὁ Κύριος.

Ἡ θεία χάρις, ἐπιφοιτῶσα τοῖς λειψάνοις σου, πᾶσαν ἀλγηδόνα λύει τῶν εὐσεβῶς, προσιόντων σοι μακάριε, καὶ κηρυττόντων σε, ἀληθείας ἀήττητον Μάρτυρα.

Σαρκὸς θνησκούσης, οὐκ ἐφείσω Λογγῖνε διὰ Χριστόν. θύειν ἀπηρνήσω δαίμοσι καὶ σαυτὸν, τῷ Θεῷ θυσίαν ἄμωμον, χαίρων προσήγαγες, διὰ ξίφους τμηθεὶς ἀξιάγαστε. Θεοτοκίον.

Ὡς καθαράν σε, ὁ καθαρὸς λόγος κατῴκησε Κόρη, διὰ σοῦ καθάραι τοὺς μολυσμοὺς, τῶν ἀνθρώπων προελόμενος.

εὐλογημένος γὰρ ὁ καρπὸς, τῆς κοιλίας σου πέφυκεν.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας.

Κοιμίσας τὸ πρὶν τὰς τῆς σαρκὸς, κινήσεις εὐδοξε, ταῖς ἐγρηγόρσεσι, ταῖς πρὸς τὸν Κύριον ὕπνωσας. τὸν γλυκὺν ὕπνον ἀοίδιμε. θανατωθεὶς διὰ Χριστὸν, τὸν ἐπὶ ξύλου Σταυροῦ, ἀφυπνώσει θεία, μέχρις τῆς τὴν ζωὴν ἀναβλύσαντα.

Λόγχῃ κεντηθέντα τὴν πλευρὰν, μακαριώτατε, καὶ αἷμα βλύσαντα, Θεὸν ἑώρακας ἄνθρωπον, διὰ σπλάγχνα χρηματίσαντα, καὶ κατετρώθης τῷ αὐτοῦ γλυκεῖ ἔρωτι ἀναμέλπων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἔσβεσας πυρὰν εἰδωλικὴν, αἱμάτων ῥάνασι, Λογγῖνε πάνσοφε, καὶ κατενέπρησας ξόανα, καὶ ἀνίδυτα σεβάσματα, τῷ θείῳ ζήλῳ τὴν ψυχὴν ἀναφλεγόμενος, καὶ κραυγάζων, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὄμματα καρδίας φωτισθεὶς, ταῖς θείαις λάμψεσι, τοῦ ἀμαυρώσαντος, Ἡλίου πάνσοφε ἔλαμψιν, τὴν ἀχλὺν Λογγῖνε ἔλιπες, τῆς δυσσεβείας καὶ φωστὴρ, ὤφθης φωτίζων ἡμᾶς, τοὺς βοῶντας, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον. Θε.

Στόματι καὶ γλώσσῃ καὶ ψυχῇ, ἀνακηρύττω σε Θεογεννήτρια, καὶ ἱκετεύω σε Ἄχραντε, τὴν καρδίαν μου καταύγασον, τῷ φωτισμῷ σου, καὶ δεινοῦ, σκότους με λύτρωσαι, ἐκβοῶντα, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον. Ὁ Εἱρμός.

„ Χεῖρας ἐκπετάσας Δανιὴλ, λεόντων „ χάσματα, ἐν λάκκῳ ἔφραξε. πυ„ ρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσ„ σάμενοι, οἱ εὐσεβείας ἐρασταὶ, Παῖδες „ κραυγάζοντες, εὐλογεῖτε, πάντα τὰ ἔρ„ γα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Τάχυς μου καὶ ὕμνησις Λόγος, ὁ ἐν Σταυρῷ χεῖρας ἁπλώσας, Μάρτυς τοῖς ἀνόμοις εἶπας, αὐτοῦ τὸ πάθος τὸ παμμακάριστον, ἐξεικονίζων θάνατον, ἐθελουσίως καθυφίσταμαι.



Digitized by Google

Ὡς περικαλλὴς ἀθλοφόρε, χαριτωθεὶς μάρτυς Λογγῖνε, ὅλος ὡραιότατος ὤφθης, καὶ τῷ ὡραίῳ Λόγῳ παρίστασαι, τὰς ἀμοιβὰς τῶν πόνων σου, πλουσιωτάτως κομιζόμενος.

Σὲ τὸν διαυγίᾳ φαίνοντα, Ἥλιον ἄδυτον Λογγῖνε, καὶ μαρμαρυγαῖς ἰαμάτων, τὴν Οἰκουμένην πᾶσαν φωτίζοντα, καὶ τὴν ἀχλὺν σκεδάζοντα, τῆς ἀγνωσίας μακαρίζομεν.

Ἤρθης πρὸς μονὰς οὐρανίους, καὶ τοῖς χοροῖς συνηριθμήθης, πάντων τῶν ἁγίων Μαρτύρων, μεθ' ὧν Λογγῖνε Μάρτυς μνημόνευε, τῶν εὐσεβῶς τὴν μνήμην σου ἑορταζόντων παμμακάριστε. Θεοτοκ.

Φωτὸς οἰκητήριον ὤφθης, τοῦ ἀνεσπέρου Θεοτόκε. δι' οὗ οἱ ἐν σκότει καὶ σκιᾷ, τῆς ἁμαρτίας φῶς ἐθεάσαντο. διό μου φωταγώγησον, τὰ τῆς καρδίας αἰσθητήρια.

Ὁ Εἱρμός.

» Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας τὰς διεστώσας φύσεις. διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Ὁρῶν τὸν πάντων Κύριον, καὶ Θεὸν ἀφυπνοῦντα, ἐπὶ Σταυροῦ θελήματι, κλονουμένην τε πᾶσαν, καιρῷ τοῦ πάθους τὴν κτίσιν, ἀθλοφόρε Λογγῖνε, σὺν τῷ λῃστῇ εὐγνώμονι, ὡμολόγησας τοῦτον, Υἱὸν Θεοῦ. ὑπὲρ οὗ καὶ χαίρων ἐσφαγιάσθης, καὶ νῦν ὡς Μάρτυς ἄριστος, ὑπὲρ πάντων πρεσβεύεις. Θεοτοκίον. Ὅμοιον.

Κενοῦται ἐν τῇ μήτρᾳ σου, ὁ πληρέστατος Λόγος, κόλπων Πατρῴων ἄχραντε, οὐκ ἐκστὰς ἀπορρήτως, καὶ σὰρξ ὁρᾶται καὶ βρέφος, τίκτεται Θεοτόκε. ὃν ἐκτενῶς ἱκέτευε, λυτρωθῆναι κινδύνων, καὶ πειρασμῶν, καὶ πταισμάτων Δέσποινα καὶ γεέννης, τοὺς εὐσεβῶς κηρύττοντας, τοῦ Θεοῦ σε Μητέρα.

Εἰς τὴν Λειτουργίαν τὸ Εὐαγγέλιον. Ζήτει τῶν Ἁγίων Παθῶν. Κοινωνικόν. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

---

## Τῷ αὐτῷ Μηνὶ ΙΖ'.

Τοῦ Ἁγίου Προφήτου Ὠσηέ, καὶ τοῦ Ἁγίου Ὁσιομάρτυρος Ἀνδρέου τοῦ ἐν τῇ Κρίσει.

Στιχηρὰ τοῦ Προφήτου. Ἦχος α'.

Πανεύφημοι Μάρτυρες.

Τὸ Πνεῦμα τὸ Ἅγιον Πατρός, τὸ ἐκπορευόμενον, διὰ τῆς σῆς γλώττης ὥρισε, Χριστοῦ τὴν μέλλουσαν, ἐν ἐσχάτοις χρόνοις, παρουσίαν ἔσεσθαι, ἐπὶ ἀνακαινίσει τῆς κτίσεως. καὶ νῦν τὴν ἔκβασιν, θεωροῦντες τῶν προρρήσεων, σὲ Προφῆτα, τὴν μνήμην γεραίρομεν.

Τὴν γνώμην παρωσάσαν τὸ πρίν, ἀπὸ σοῦ φιλάνθρωπε, φύσιν ἡμῶν μνηστευσάμενος, τῆς βεβηλώσεως, ἐλυτρώσω ταύτην, σεαυτῷ καθ' ἕνωσιν, συνάψας ὑπὲρ νοῦν ἀδιαρρήκτως, καὶ τούτου σύμβολον, ὁ Προφήτης σου γενόμενος, τὰς πρὶν πόρνας, σωφρόνως ἠγάγετο.

Προφῆτα θεσπέσιε τὰς σάς, ῥήσεις νῦν θεώμενος, πεπληρωμένας τῇ χάριτι, καὶ παριστάμενος, τῷ Θεῷ τῶν ὅλων, ὑπὲρ πάντων πρέσβευε, τῶν πίστει ἐκτελούντων τὴν μνήμην σου. τούτοις αἰτούμενος, τῶν πταισμάτων τὴν συγχώρησιν, καὶ εἰρήνην, καὶ βίου διόρθωσιν.

Ἕτερα π̃. τοῦ Ὁσίου. Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Οἱ τῶν πόνων ἱδρῶτές σου, τῆς ἀσκήσεως ἔνδοξε, πρὸς Μαρτύρων στάδιον ἐκκαλούμενοι, πλήρη Ἀνδρέα τὴν ἔφεσιν, ἐν σοὶ ἐναπέθεντο, οὓς εὐκαίρως εἰς Θεόν, ἐπεδείξω στερρότατα. ἀλλὰ πρέσβευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Λίθος ἄλλος ὑπέρτιμος, γεγονὼς διὰ πίστεως, οὐχ ὑπέστης θραῦσιν, καὶ γὰρ τυπτόμενος, ἀλλ' ἐπὶ γῆς κυλιόμενος, τῆς πίστεως ἔνδοξε, ὡμάλισας τὴν ὁδόν, εὐεπίβατον τέθεικας, καὶ κατέστρεψας, τῆς δοκήσεως μάκαρ Κοπρωνύμου, φαυλώσας τὴν ὥσπερ δόξαν, σεσαθρωμένον θεμέλιον.

Ἀπο-

Digitized by Google

Ἀποστόλων τοῖς δόγμασι, τεθραμμένος μακάριε, καὶ Πατέρων ἐνθέων τοῖς διδάγμασι, τοῦ σαρκωθέντος ἐτίμησας, Θεοῦ τὸ ὁρώμενον, ἐν συμβόλοις ἱεροῖς, καὶ σεπτοῖς καὶ μορφώμασιν. ὅθεν ἔνδοξε, ὑπὲρ τούτων ἀθλήσας εὐσεβείας, ἀνεδείχθης ὑποφήτης, καὶ τῶν Μαρτύρων καλλώπισμα.

Δόξα, καὶ νῦν. Θεοτ. Ὅμοιον.

Μυριάκις παρώργισα, ὑπεσχόμην μετάνοιαν, τῶν ἐμῶν ποιήσασθαι παραπτώσεων, ἀλλ᾽ οὐκ ἐᾷ με ἡ φαύλη μου, τῶν κακῶν συνήθεια. διὰ τοῦτο σοὶ βοῶ, καὶ προσπίπτω καὶ δέομαι. σύ με Δέσποινα, ἐξέλου τῆς τοιαύτης τυραννίδος, ὁδηγοῦσα πρὸς τὰ κρείττω, καὶ σωτηρίας ἐχόμενα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Ἀμνὰς ἡ κυήσασα, τὸν ἀρνίον τὸν ἄμωμον, τὸν τὴν ἁμαρτίαν ἐλθὸν ἰάσασθαι, παντὸς τοῦ Κόσμου παρήλλαξεν τε, οἰκείῳ ἐν αἵματι, τὸν σφαγὲν ὑπὲρ ἡμῶν· καὶ ζωῶσαν τὰ πέρατα, σύ με ἔνδυσον, γυμνωθέντα τῆς θείας ἀφθαρσίας, ἐξ ἐρίου τοῦ σοῦ τόκου, περιβολὴν θείας χάριτος.

Εἰς τὸν ἑ. π. τῆς Ὀκτωήχου.

Τροπάριον, τοῦ Προφήτου. Ἦχος β΄.

Τοῦ Προφήτου σου τὴν μνήμην Κύριε.

Καὶ τοῦ Ὁσιομάρτυρος. Ἦχος δ΄.

Ἀσκητικῶς προγυμνασθεὶς ἐν τῷ ὄρει, τὰς νοητὰς τῶν δυσμενῶν παρατάξεις, τῇ πανοπλίᾳ ὤλεσας παμμάκαρ τοῦ Σταυροῦ. αὖθις δὲ πρὸς ἄθλησιν ἀνδρεικῶς ἀπεκδύσω, κτείνας τὸν Κοπρώνυμον, τῷ τῆς πίστεως ξίφει. καὶ δι᾽ ἀμφοῖν ἐστέφθης ἐκ Θεοῦ, Ὁσιομάρτυς Ἀνδρέα ἀοίδιμε.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. Κανὼν τῆς Ὀκτωήχου εἷς, καὶ τῶν Ἁγίων δύω.

Ὁ Κανὼν τοῦ Προφήτου. Οὗ ἡ ἀκροστιχίς.

Ὠσηὲ μέλπω τοὺς θεοπνεύστους λόγους.

Θεοφάνους. Ὠδὴ α΄. Ἦχος α΄.

Τῷ βοηθήσαντι Θεῷ.

Ὡς θεηγόρος ἀληθῶς, ὁ Προφήτης Ὠσηέ, τῷ Ζωοδότῃ παρεστώς, ἐκτενῶς ἱκέτευε, λυτρωθῆναι κινδύνων, ἅπαντας τοὺς εὐφημοῦντάς σε.

Εὖ τῆς ψυχῆς τὸ ὀπτικόν, ἐκκαθάρας μολυσμόν, κατηξιώθης προορᾶν, τῶν μελλόντων τηλαυγῶς, καὶ προλέγειν ἀψευδῶς, ἄρρητα τὰ ἐκβησόμενα.

Ἡ τῆς προγνώσεως πηγή, ἡ σοφία τοῦ Θεοῦ, τὸν θεηγόρον Ὠσηέ, προφητείας ποταμόν, ἀνέδειξε τοῖς πᾶσι, βρύοντα τὰ θεῖα διδάγματα.

Θεοτοκίον.

Ἐπιφανέντα τὸν Χριστόν, ἐκ Παρθένου δι᾽ ἡμᾶς, ἐκ τῆς Αἰγύπτου προφανῶς, ὁ Πατὴρ ἐκάλεσεν, Ὠσηὲ ὡς προεῖπε, πάλαι ὁ θεοπτικώτατος.

Ἕτερος Κανὼν τοῦ Ὁσίου, Οὗ ἡ ἀκροστ.

Ἀνδρείας ὕμνω τὸν φερώνυμον πόθῳ.

Ἰωσήφ. Ὠδὴ α΄. Ἦχος β΄. Ἐν βυθῷ.

Ἀνδρικῶς τὰ πάθη τῆς σαρκός, πάτερ δουλωσάμενος, τῷ λογισμῷ ἀνδρείας ὡς ἐπώνυμος, τυράννων ὠμότητα, κατεπάλαισας, καὶ νομίμως ἐνήθλησας. ὅθεν σε συμφώνως, πίστει συνελθόντες μακαρίζομεν.

Νοητὸς ὡς ἄνθραξ πυρωθείς, θέρμῃ θείου Πνεύματος, τὸν παγετὸν τῶν παθῶν διεσκέδασας, κρουνοῖς τῶν αἱμάτων δέ, πῦρ ἀπέσβεσας δυσσεβείας ἀλλότριον, μέγιστε Ἀνδρέα, Ὁμολογητὰ θεομακάριστε.

Δεσμωθεὶς τῷ πόθῳ τοῦ Χριστοῦ, Πάτερ ἐκ νεότητος, τὸν σὸν Σταυρὸν ἀναλαβὼν γηθόμενος. τούτῳ ἠκολούθησας. ἀρνησάμενος σεαυτὸν διὰ πίστεως, καὶ ὁμολογίας, καὶ τελειοτάτης ἐναθλήσεως.

Θεοτοκίον.

Ῥαθυμίας ὕπνῳ τὴν ψυχήν, πάντοτε βαρούμενος, ἐπὶ τὴν σὴν Παρθενομῆτορ ἄχραντε, προστρέχω ἀντίληψιν. πρὸς ἐγρήγορσιν, μετανοίας διέγειρον, τῆς αἰωνιζούσης, τότε ῥυομένη με κολάσεως.

Ὠδὴ γ΄. Στερέωσόν με Χριστέ.

Μυήσει θεοπρεπεῖ, δεδιδαγμένος τὰς θείας ἐκφαντορίας, ἐθνῶν τὴν κλῆσιν, σαφῶς προηγόρευσας Προφῆτα, Πνεύματι Ἁγίῳ τυπούμενος.



Digitized by Google

Ἐσόμενα προορᾷν, ὡς ἐμεσῶτα θεόφρον ἠξιωμένος, τῶν Ἰουδαίων σαφῶς τὴν ἀπόπτωσιν προεῖπας, καὶ τῶν νομικῶν τὴν διάβασιν.

Λυτροῦσθαι τὸν Ἰσραὴλ, οὐκ ἐν πολέμῳ καὶ τόξῳ καὶ πανοπλίᾳ, ἀλλ᾽ ἐν Κυρίῳ Θεῷ Παντοκράτορι προέφης, σάρκωσιν τοῦ Λόγου σημαίνων ἡμῖν. Θεοτοκ.

Παρθένε χαῖρε σεμνὴ, ἡ συλλαβοῦσα τὸν Λόγον σωματωθέντα, τὸν τῷ ἰδίῳ ἡμᾶς λυτρωσάμενον ἐκ πλάνης, Αἵματι Ἁγίῳ καὶ σώματι.

Ἄλλος. Ἐν πέτρᾳ με τῆς πίστεως.

Ἐρείσας τοῦ νοός σου τὰς βάσεις Πάτερ, ἐν πέτρᾳ τῆς ἀγάπης Χριστοῦ οὐδ᾽ ὅλως, προσπνεύσεσι σεσάλευσαι ἁμαρτίαις, βοῶν τῷ Κτίσῃ σου, σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλήν σου Κύριε.

Ἰάσεις καὶ πρὸ τέλους καὶ μετὰ τέλος, πηγάζων βοηθεῖς τοὺς ἐν ἀσθενείαις. καὶ πνεύματα ἀκάθαρτα ἀπελαύνεις, Ἀνδρέα Ὅσιε, βοῶν τῷ Κτίσῃ σου, ὡς οὐκ ἔστιν ἅγιος πλήν σου Κύριε.

Ἀσκήσεως τοῖς δάκρυσι λελουμένος, ἐν αἵμασι Μαρτύρων ἐκαλλωπίσθης. καὶ ὅλος ὡραιότατος δεδειγμένος, βοῶν ἀνέδραμες, πρὸς τὸν ποθούμενον, ὡς οὐκ ἔστιν ἅγιος πλήν σου Κύριε. Θεοτοκίον.

Σαρκὸς ἐν ὁμοιώματι γεγονότα, Πατρὸς τὸν ὁμοούσιον Θεὸν Λόγον, ἐκύησας παναμώμε ὑπὲρ λόγον, Παρθένος μείνασα, μετὰ τὴν κύησιν. διὰ τοῦτο πίστει σε μακαρίζομεν. Ὁ Εἱρμός.

„Ἐν πέτρᾳ με τῆς Πίστεως στερεώσας,
„ἐπλάτυνας τὸ στόμα μου ἐπ᾽ ἐχ-
„θρούς μου. εὐφράνθη γὰρ τὸ πνεῦμά μου
„ἐν τῷ ψάλλειν, οὐκ ἔστιν ἅγιος, ὡς ὁ
„Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλήν
„σου Κύριε.

Κάθ. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὑπέκλινας τὸ οὖς, τῷ λαλοῦντι Προφήτᾳ, καὶ πάντων μυηθεὶς, τῶν μελλόντων τὴν γνῶσιν, Χριστοῦ προεσήμανας παρουσίαν τὴν ἔνθεον. ὅθεν σήμερον, τὴν πανάγιαν σου μνήμην, ἑορτάζοντες, τὸν Λυτρωτὴν ἀνυμνοῦμεν, τὸν σὲ μεγαλύναντα.

Δόξα. τοῦ Ὁσίου. Ἦχος Πλ. δ΄.

Τὴν Σοφίαν, καὶ Λόγον.

Φερωνύμως Ἀνδρέα ὡς ἀληθῶς, κραταιούμενος πίστει τῇ εὐσεβεῖ, Μάρτυς ἀξιάγαστε, ὡς Χριστῷ συνεπόμενος, Μοναστῶν τὰς χορείας, ἐφαίδρυνας πράξεσι, καὶ Ὁσίων τῆς δόξης, ἐδείχθης ἐφάμιλλος. ὅθεν καὶ Μαρτύρων, ὑπελθὼν τοὺς ἀγῶνας, γενναίως ἐνήθλησας, καὶ νομίμως ἠρίστευσας, Πρωτοκλήτου συνώνυμε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι. Θεοτοκίον.

Λογισμοῖς ὀλισθαίνων τοῖς πονηροῖς, εἰς βυθὸν κατηνέχθην ἁμαρτιῶν. καὶ στένων κραυγάζω σοι, ἐκ καρδίας Πανάχραντε. ἐν ἐμοὶ θαυμάστωσον, τὸ πλούσιον ἔλεος. καὶ τῆς σῆς εὐσπλαγχνίας, τὸ ἄπειρον πέλαγος. καὶ τῶν οἰκτιρμῶν σου, τὸν ἀμέτρητον πλοῦτον, καὶ δός μοι μετάνοιαν, καὶ πταισμάτων συγχώρησιν, ἵνα πόθῳ κραυγάζω σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου. Σταυροθεοτοκίον. Ὅμοιον.

Καθελκόμενος Λόγε ἐν τῷ σταυρῷ, ὑπ᾽ ἀνδρῶν παρανόμων γνώμῃ σκαιᾷ, ὁρῶσα ἡ Μήτηρ σου καὶ δακρύουσα ἔλεγε, καὶ κοπτομένη σπλάγχνα, ἐθρήνει κραυγάζουσα· καὶ συνοχῇ καρδίας, ἐβόα στενάζουσα. οἴ μοι τῇ τεκούσῃ, Θεὲ ὑπεράγαθε. πῶς μὲν θέλων ὑφίστασαι, τοῦ προσώπου ῥαπίσματα. πῶς δὲ πάλιν ἐμπτύσματα, καὶ τὸν ἄδικον θάνατον. φεῦ μοι τῇ τεκούσῃ Υἱὲ, σταυρῷ ὁρώσῃ σε, ἥλοις πηγνύμενον. καὶ γὰρ πάσχεις ὁ φύσει, ὑπάρχων φιλάνθρωπος.

Ὠδὴ δ΄. Κατενόησα παντοδύναμε.

Ὡσκὲ τὸ θεοπτικώτατον, ὄμμα τῆς Ἐκκλησίας, κινδύνων σῶζε τοὺς ἀνυμνοῦντάς σε.

Τὸ λαμπρότατον καὶ στερρότατον, τοῦ Πνεύματος δοχεῖον, πρεσβεύων σῶζε τοὺς ἀνυμνοῦντάς σε.

Ὁ

Ὁ Κριτὴς πάντων παριστάμενος, ὡς ἔνθεος Προφήτης, παθῶν με ῥῦσαι ταῖς ἱκεσίαις σου. Θεοτοκίον.

Ὑπερβέβηκας Ἀειπάρθενε, τῶν Ἀγγέλων τὰς τάξεις, τὸν Κτίστην τούτων κυοφορήσασα.

Ἄλλος. Ἐλήλυθας ἐκ Παρθένου.

Ὑπήκοος, γενόμενος τῶν Χριστοῦ διατάξεων, τὸ τούτου ὁμοίωμα, Πάτερ σεπτῶς προσεκύνησας. ὅθεν ὁ παράνομος, σὲ πολυτρόποις αἰκίαις ἐθανάτωσε.

Μυρίπνοος, ἀρετῶν εὐωδίᾳ γενόμενος, ἐν τάφῳ νῦν κείμενος, εὐωδιάζεις τὰ πρόσωπα, τῶν προσπελαζόντων σοι, ἐν ἀδιστάκτῳ καρδίᾳ Πάτερ Ὅσιε.

Νοήσαντα, Μαμωνᾶν τὸν παγκάκιστον Ὅσιε, ἀθλίως τὴν αἵρεσιν ἐν παρρησίᾳ διήλεγξας, πρόμαχος γενόμενος, τῶν Ὀρθοδόξων ἀνδρῶν ἀξιάγαστε.

Θεοτοκίον.

Ὡς εὔφορον, ἐγεώργησας χάριτος ἄσταχυν, τὸν τρέφοντα ἅπαντας, τοὺς ὀρθοδόξως τιμῶντάς σε, Δέσποινα πανύμνητε, τὸν ἐκ τῆς σῆς σαρκωθέντα μήτρας Κύριον.

ᾨδὴ ε΄. Ἐκ νυκτὸς ὀρθρίζοντες.

Συμπαθῶς κινούμενος ἐδίδαξας ἡμᾶς, τὴν τοῦ Θεοῦ μακρόθυμον, εὐσπλαγχνίαν καὶ χρηστότητα. δι' ἧς φείδεται πάντων, Προφῆτα θεσπέσιε.

Θανατώσας θάνατον ἀνέστη ὁ Χριστὸς, ὡς ἡ σοφή σου πρόῤῥησις, Θεοφάντορ προεμήνυσε, καὶ ζωὴν ταῖς ἐν ᾅδου ψυχαῖς ἐδωρήσατο.

Ἐκ βυθοῦ πταισμάτων με, Προφῆτα Ὠσηὲ, προσευχαῖς ἐξάρπασον, παρρησίαν ἀκατάγνωστον, πρὸς Χριστὸν κεκτημένος, θεόφρον πανόλβιε.

Θεοτοκίον.

Ὁ τῶν ὅλων Κύριος καὶ πάντων Βασιλεὺς, ὁ τῷ Πατρὶ συνάναρχος, ὑπὸ χρόνον γέγονε Θεοτόκε Παρθένε, καὶ σὰρξ ἐσχημάτισεν.

Ἄλλος. Ὁ φωτισμός.

Τὸν σκοτασμὸν, βδελυξάμενος Πάτερ τῆς ἁμαρτίας, ὅλος ἀναλάμψας τῆς ἀπαθείας φῶς καθωράθης, καὶ φωτίζεις τοὺς πίστει, προσιόντας τῷ θείῳ τάφῳ σου, ταῖς τῶν ἰαμάτων αὐγαῖς, θείᾳ χάριτι.

Ὅλος Θεοῦ, καταγώγιον ὤφθης, καλῶς βιώσας, καὶ γενναιοφρόνως ἀθλήσας Πάτερ. καὶ νῦν ἐν τάφῳ, κατακείμενος μένεις, σῶος μάκαρ καὶ ἀδιάλυτος, πάντων διαλύων, πιστῶν τὰ νοσήματα.

Νεανικῶς, ἀριστεύσας παμμάκαρ κατὰ δαιμόνων, καὶ κατ' ἀνθρώπων αἱρετιζόντων. αἰωνιζούσης ἠξιώθης εὐκλείας, καὶ στεφάνων Ἀνδρέα. ὅθεν σε, μετὰ πόθου πάντες, πιστοὶ μακαρίζομεν.

Θεοτοκίον.

Φέρεις Χριστὸν, ἐν ἀγκάλαις ἀῤῥήτῳ κυοφορίᾳ, ἐναγκαλιζόμενον τοὺς κακίᾳ, καθυπαχθέντας, καὶ τῇ πλάνῃ ἀθλίως, δουλωθέντας Κόρη πανύμνητε. ὅθεν ὡς Θεοῦ σε Μητέρα δοξάζομεν.

ᾨδὴ ς΄. Τὸν Προφήτην διέσωσας.

Προθεσπίζων τὰ μέλλοντα, Ὠσηὲ παμμακάριστε, τὴν πρὸς τοὺς ἀνθρώπους τοῦ Λόγου, ἐδήλωσας κάθοδον.

Νεκρωθέντας τοῖς πταίσμασιν, ἡ ζωὴ ἡ ἀθάνατος, ἐκ τῶν κενεώνων τοῦ ᾅδου, ὡς ἔφης ἀνήγαγε.

Νομικῶν τὴν ἀναίρεσιν, Ἰουδαίων τὴν ἔκπτωσιν, καὶ τῶν ἐθνῶν τὴν στάσιν, Προφῆτα ἐδήλωσας. Θεοτοκίον.

Ἐκ γαστρός σου ἀνέτειλε, Θεὸς Λόγος, πανάμωμε, σάρκα δι' ἡμᾶς ἀποῤῥήτως, φορέσας ὡς εὔσπλαγχνος.

Ἄλλος. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἐν φρουρᾷ σε ὁ ἄνομος ἔθετο, ὑπὲρ τοῦ Δεσπότου Ἀνδρέα φρουρούμενον, καὶ τὸ αὐτοῦ φυλάττοντα, ἀπαράτρεπτον ἔνθεον θέλημα.

Ῥηγνυμένης σαρκὸς οὐκ ἐφρόντισας, ταῖς κατατομαῖς τῶν μαστίγων μακάριε. ἀλλ' ὥσπερ ἄλλου πάσχοντος, ἐκαρτέρεις ἐνθέως ῥωννύμενος.

Ὡς πολύτιμος ὄλβος κρυπτόμενος, Πάτερ φανεροῦσαι ὑπ' ὄψει κείμενος,



Digitized by Google

νος, τῶν εὐσεβῶν καὶ θαύμασι, πάντας καταπλουτίζεις τοὺς τιμῶντάς σε.

Θεοτοκίον.

Νοερὰν τε λυχνίαν προέβλεπε, πάλαι ὁ Προφήτης τὸ θεῖον λαμπάδιον, Χριστὸν Ἁγνὴ βαστάζουσα. δι᾽ οὗ πάντες ἡμεῖς ἐφωτίσθημεν. Ὁ Εἱρμός.

„ Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος,
„ Τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχ-
„ νίας σου, ἐπικαλοῦμαι ἄβυσσον, ἐκ φθο-
„ ρᾶς ὁ Θεός με ἀνάγαγε.

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος.

Ἑορτάζει σήμερον, ἡ Βασιλεύουσα Πόλις, Ἑορτὴν ὑπέρλαμπρον, τῆς φωτοφόρου σου μνήμης, ἅπασαν προσκαλουμένη Πόλιν καὶ Χώραν. χαίρει γὰρ ὡς κεκτημένη θησαυρὸν μέγαν, τὸ πολύαθλόν σου σῶμα, Ἀνδρέα Μάρτυς, ὀρθοδοξίας φωστήρ. Ὁ Οἶκος.

Ἀντὶ ὅπλων Σταυρὸν ἀράμενος πανεύδοξε, ἀντὶ θώρακος δὲ, τὴν πίστιν ἐνδυσάμενος, πρὸς πάλην ἐξῆλθες ἐχθρῶν ἀοράτων, καὶ ὁρωμένων, Μάρτυς αὐτόκλητος. καὶ τούτων κατέβαλες τὰς παρατάξεις σθένει τοῦ Πνεύματος, οὗ ἐμφορηθεὶς πλουσίως Ὅσιε, κἀμοὶ παράσχου βραχεῖαν χάριν, φωταγωγοῦσάν μου τὸν νοῦν, ἀξίως τοῦ ὑμνῆσαί σου, τοὺς γενναίους ἀγῶνας, ὀρθοδοξίας φωστήρ.

Τῷ αὐτῷ Μηνὶ ΙΖ. Τοῦ Ἁγίου Προφήτου Ὠσηέ.

Στίχ. Θεὸν τυποῖς μνηστῆρα γῆς πορνευτείας, Πόρνῃ συναφθεὶς, ὃν Προφῆτα νῦν βλέπεις,

Ἑβδομάτῃ δεκάτῃ Ὠσηὲ νέκυν τερεῖζον.

Οὗτος ἑρμηνεύεται σωζόμενος, ἢ φύλαξ, ἢ σκιάζων. οὗτος ἦν Υἱὸς Βεηρεὶ ἐκ Γαλεμὼθ. φυλῆς Ἰσάχαρ. καὶ πολλὰ προφητεύσας κατὰ τοῦ Ἰσραὴλ, ἀπέθανε, καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ ἐν εἰρήνῃ, καὶ ἔδωκε τέρας ἥξειν τὸν Κύριον ἐπὶ τῆς γῆς, καὶ ἀνθρώποις συναναστραφῆναι. ὅτε δύει ὁ Ἥλιος ἐν Σιλὼν, μερισθῇ εἰς δύω μέρη. καὶ γενήσονται δώδεκα δρύες ἀκολουθοῦσαι, καὶ ἐπακούσαι τῷ ἐπὶ γῆς φανερωθέντι Θεῷ, καὶ δι᾽ αὐτοῦ σωθήσεται πᾶσα ἡ γῆ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Ὁσιομάρτυρος Ἀνδρέου τοῦ ἐν τῇ Κρίσει.

Στίχ. Ἀμφοῖν ποδῶν σῶν Ἀνδρέα τμηθεὶς ἅμα,
Ἀθλήσεως σῆς ἐκπεραίνεις τὴν δρόμον.

Οὗτος ὁ μακάριος καὶ Πατὴρ ἡμῶν Ἀνδρέας, γέννημα καὶ θρέμμα γέγονε τῆς ἀνομωτάτης τῆς Πόλεως Κρήτης, γονέων εὐσεβῶν καὶ φιλαρέτων. καλῶς δὲ ἀνήγετο ἐν αὐτῇ, καὶ διάπυρος τῶν τοῦ Θεοῦ ἐντολῶν κατέστη ἐργάτης. ἐπὶ δὲ τῆς Βασιλείας Κωνσταντίνου τοῦ Κοπρωνύμου, ὁρῶν τὸ τοῦ Θεοῦ ποίμνιον λυμαινόμενον ὑπὸ τῆς τῶν εἰκονομάχων αἱρέσεως, ἤγουν ὑπ᾽ αὐτοῦ τοῦ Τυράννου καὶ τῆς συμμορίας αὐτοῦ, ἐλθὼν ἐν Κωνσταντινουπόλει, παῤῥησιάζεται τὴν ἀλήθειαν, καὶ τὴν ἀσέβειαν αὐτοῦ ἀπτοήτως ἐλέγχει. ὁ δὲ, τὴν παῤῥησίαν οὐκ ἐνεγκὼν, ἐγκόπτει αὐτίκα λέγοντι τῷ γενναίῳ, καὶ συλλαβεῖν αὐτὸν τοῖς παρεστῶσι διακελεύεται. οὗτοι δὲ ἅρα φονώσαις χερσὶ καὶ βαρείαις εὐθὺς ἐφορμήσαντες, οἱ μὲν αὐτοῦ τῆς κεφαλῆς, οἱ δὲ τῶν χειρῶν λαβόμενοι, ἄλλοι τῆς ἐπωμίδος, τοῦ χιτωνίσκου τε, ἕτεροι ὑβριστικῶς μάλα, καὶ ὅπως ἂν μάλιστα τῷ κελεύσαντι χαρίσωνται, πρὸς τὴν γῆν καταβάλλουσι τὸν τὴν διάνοιαν ὑψηλόν. καὶ οὐ πρότερον μεθίεσαν ἕλκοντες, ἕως αὐτοὺς ὁ Βασιλεὺς, μετὰ τὸ ἀμύνασθαι ἀπροσχώντως τὴν παῤῥησίαν τοῦ ἀθλητοῦ, ἀνεθῆναι τοῦτον ἐκέλευσε. τοῦ δὲ Ἁγίου πολλὰ μὲν καὶ ἄλλα διεξιόντος τῷ Βασιλεῖ περὶ τῶν Ἁγίων Εἰκόνων, καὶ ὅτι οἱ εἰς τὰς βασιλικὰς στήλας ἐξυβρικότες προσθέντος, ὦ Βασιλεῦ, ὡς εἰς αὐτοὺς ὑμᾶς παροινήσαντας, ἐσχάταις περιβάλλετε τιμωρίαις. πόσης ἀπειλῆς Θεϊκῆς ἐν μεθέξει γενήσεσθε, οἱ κατὰ τῆς Εἰκόνος τοῦ Θεοῦ ἐνυβρίζοντες; λίαν ἐκκαυθεὶς ὁ Τύραννος, γυμνωθῆναι τὸν Ἅγιον κελεύει, καὶ χοιρίοις διατεθέντα σφοδρῶς μαστίζεσθαι. οὗ γενομένου, τὸ ὑποκείμενον ἔδαφος τοῖς ἐξ αὐτοῦ ῥύαξι τοῦ αἵματος ἐφοινίσσετο. ἀνεθεὶς



Digitized by Google

δὲ, καὶ μήτε δωρεαῖς ἢ ἀπειλαῖς ἐνδοὺς ὁ γενναῖος, λίαν ὠμῶς καὶ αὖθις αἰκίζεται, καὶ τὰς πλευρὰς διορύττεται, καὶ τὸ στόμα λίθοις θλᾶται, καὶ τῇ φυλακῇ παραπέμπεται. ἐνθένδε καὶ τῇ ἑξῆς παραστάντα τὸν Ἅγιον, ἐπεὶ ἀτολμότερον ἐθεᾶτο, ταῖς μάστιξι καὶ αὖθις ἐκέλευε παίειν. οὗ γινομένου, κατεξέοντο μὲν αὐτοῦ αἱ σάρκες, καὶ διωρύττοντο ταῖς πληγαῖς, καὶ τὸ πλεῖον τῶν σαρκῶν ὑφῃροῦντο. τέλος δὲ σχοινίοις τοὺς μακαρίους δεθεὶς πόδας, ἐπὶ τοῦ ἐδάφους καὶ πάσης ἕλκεται τῆς λεωφόρου, εἰς τὸν τῶν κακούργων τόπον ῥῖψαι τῶν ἑλκόντων ἐπειγομένων. οὕτω δὲ τοῦ Μάρτυρος ἑλκομένου, ἰχθύας ἄρτι τις τῆς θαλάσσης ζωγρήσας, τοὺς μὲν ὠνίους τῇ ἀγορᾷ προθεὶς, αὐτὸς δὲ ὑπότομος κινηθεὶς δαίμονος, καὶ κοπίδα μακελλικὴν ἐκεῖθεν ἁρπάσας, θατέρου ποδὸς τοῦ ἱεροῦ σώματος μέσον κατενεγκὼν, ἔστησέ τε τὸν τῆς ἀθλήσεως δρόμον τῷ Μάρτυρι, καὶ πρὸς τὰς ἐκεῖθεν μονὰς παραπέμπει. τὸ δὲ τίμιον αὐτοῦ λείψανον εἰς τὸν τῶν κακούργων ἀποῤῥίπτεται τόπον, ἀναμὶξ δὲ τῶν ἐκεῖσε σωμάτων ὑπάρχων μέχρι πολλοῦ, δώδεκα τινὲς ἄνδρες δαίμοσι κάτοχοι, ἐκ διαφόρων τόπων τῆς Πόλεως ὡς ἐκ συνθήματος ἀπελθόντες, εὗρον τὸ σῶμα ἀνεπιμέλητον, καὶ ἀτίμως κείμενον, τὸ κομιδῇ τίμιον, οἵ τινες τούτου προσψαύσαντες, τὴν ἴασιν ἐτρύγησαν αὐθωρὸν, μισθὸν τῆς εὑρέσεως, τὴν θεραπείαν δεξάμενοι, καὶ τοῦτο λαβόντες, ἐν ἱερῷ τόπῳ, ᾧ Κρίσις τὸ ὄνομα, καταθάπτουσιν, εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἀνακομιδὴ τοῦ τιμίου Λειψάνου τοῦ Ἁγίου καὶ Δικαίου Λαζάρου.

Στίχ. Αἴρουσα Χριστῷ τῷ φίλῳ Πόλις πόλας,
Λάζαρε δεῦρο χριστομιμήτως λέγει.

Ὁ Μακάριος καὶ ἀοίδιμος καὶ ἐν Βασιλεῦσι πιστότατος, Λέων, ζήλῳ Θείῳ κινηθεὶς, ὥσπερ ἔκτινος ἐπιπνοίας, πρῶτον μὲν Ναὸν δειμάμενος κάλλιστον τῷ δικαίῳ, καὶ μετὰ ταῦτα ἀποστείλας ἐν τῇ Νήσῳ Κύπρου, εὗρε τὸ Ἅγιον ἐκείνου λείψανον ἐν τῇ Κυτιαίων πόλει, ὑπὸ γῆν κείμενον, χιλιοστοῦ τάχα παρῳχηκότας χρόνου, ἐν μαρμαρίνῳ λάρνακι, ἐν ᾗ ἐγκόλαπτο γράμματα ἑτερόγλασμα, Λάζαρος ὁ τετραήμερος καὶ φίλος Χριστοῦ. αὐτίκα οὖν ἀράμενος τὸν τίμιον θησαυρὸν, καὶ ἀργυρᾷ σορῷ ἐνθέμενος, ἐν Κωνσταντινουπόλει ἀπέθετο.

Εἰς τὴν κατάθεσιν τοῦ τιμίου Λειψάνου.

Στίχ. Κρύπτουσα νεκρὸν Λαζάρου Ῥώμη Νέα,
Ἄλλην παρ' ἡμῖν δείκνυται Βηθανία.

Τῇ αὐτῇ ἡμέρᾳ Τῶν Ἁγίων Μαρτύρων καὶ αὐταδέλφων Ἀναργύρων, Κοσμᾶ, καὶ Δαμιανοῦ, Λεοντίου, Ἀνθίμου, καὶ Εὐτροπίου.

Στίχ. Ἐκ τοῦ γένους Ἄραβας, ἐκ δὲ τοῦ ξίφους,
Θείους ἀριστεῖς οἶδα τοὺς Ἀναργύρους.
Λεοντίου τμηθέντος ὤλετο πλάνος.
Λεοντομήρμυξ, ὡς Ἰὼβ βίβλος λέγει.
Ἄνθιμος Εὐτρόπιος ἐκτετμημένοι.
Ἄνθουσι λαμπρὸν, καὶ πανεύπρεπες μάλα.

Τρεῖς εἰσὶν αἱ συζυγίαι τῶν Ἁγίων Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, ἀμφοτέρων τοῖς αὐτοῖς ὀνόμασι καλουμένων, καὶ τὴν Ἰατρικὴν τέχνην μετερχομένων, καὶ τὴν προσηγορίαν τῆς ἀναργυρίας ἐχόντων. οἱ μὲν γὰρ ὑπῆρχον Υἱοὶ Θεοδότης γυναικὸς εὐλαβοῦς καὶ πιστῆς, οἵτινες ἐν εἰρήνῃ ἐκοιμήθησαν, καὶ κατετέθησαν ἐν τόπῳ καλουμένῳ Φερεμάν. οἱ δὲ ἐν τῇ Ῥώμῃ διῆγον ἔχοντες Διδάσκαλον φθονερόν. ὃς μετὰ δόλου ἀναγαγὼν αὐτοὺς εἰς ὄρος, ὡς δῆθεν βοτάνας συλλέξοντας, λίθοις φονεύει. Οἱ δὲ, ὧν καὶ ἡ παροῦσα μνήμη, ὑπῆρχον ἐκ τῆς Ἀραβίας, τῆς Ἰατρικῆς ἐπιστήμης ἐν πείρᾳ ὄντες. διήρχοντο δὲ κατὰ πᾶσαν πόλιν, ἀναργύρως τοὺς ἀσθενοῦντας θεραπεύοντες, καὶ προφάσει τῆς τέχνης, τὸν Χριστὸν καταγ-


Digitized by Google

παγγέλλοντες. κατὰ δὲ τοὺς χρόνους Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, παρεγένοντο ἐν Αἰγαῖς, πόλει τῆς Λυκίας. καὶ παραστάντες Λυσίᾳ τῷ Ἡγεμόνι, καὶ τυφθέντες ἀφειδῶς καὶ ἀπανθρώπως, τῷ τῆς θαλάσσης βυθῷ ἀπορρίπτονται. περισωθέντες δὲ θείᾳ ῥοπῇ, καὶ ἐπὶ τῆς ξηρᾶς εὑρεθέντες, αὖθις ἐν καμίνῳ πυρὸς ἀπορρίπτονται. καὶ ἀβλαβεῖς διαφυλαχθέντες, σταυρῷ ἀναρτῶνται. καὶ τὰς κεφαλὰς ἀποτέμνονται οἱ μακάριοι οὗτοι παναδελφοί.

Τῇ αὐτῇ ἡμέρα, Τῶν Ἁγίων Μαρτύρων Χρυσάνθου, καὶ Δαρείας.

Στίχ. Κἂν ἐμπνέωσι ζῶντες εἰσδύντες βόθρον,

Ζῶσι Χρύσανθος ἐν Πόλῳ, καὶ Δαρεία.

Οὗτοι ὑπῆρχον ἐπὶ Νουμεριανοῦ Βασιλέως. ἦν δὲ ὁ μὲν Χρύσανθος, Υἱὸς Ἄρχοντος Ῥωμαίου συγκλητικοῦ, καὶ γίνεται Χριστιανὸς παρά τινος Ἐπισκόπου ἐν σπηλαίῳ κρυπτομένου. ἀλλὰ τοῦτο γνοὺς ὁ Πατὴρ αὐτοῦ, ἐγκλείει αὐτὸν εἰς σκοτεινὴν φυλακὴν, καὶ καταδικάζει λιμῷ. εἶτα καταναγκάζει λαβεῖν γυναῖκα, καὶ δίδωσιν αὐτῷ Δαρείαν τὴν φιλόσοφον, οὖσαν ἐξ Ἀθηνῶν. ὁ δὲ Ἅγιος ἰδὼν αὐτὴν, ἐχρήσατο ὡς ἀδελφῇ. καὶ συνεβουλεύσαντο μεῖναι παρθένοι ἕως θανάτου. εἶτα ἐβαπτίσθη καὶ αὐτή. καὶ ἐδίδασκον ἀμφότεροι τὸν λαὸν περὶ ἁγνείας, καὶ σωφροσύνης. ἠγανάκτησαν δὲ οἱ Ἕλληνες, ὅτι τὰς γυναῖκας αὐτῶν πείθουσι καταλιμπάνειν αὐτοὺς, καὶ μνηστεύεσθαι τῷ Χριστῷ, καὶ διέβαλλον αὐτοὺς τῷ Ἐπάρχῳ. καὶ παραδίδονται τῷ τριβούνῳ Κλαυδίῳ. καὶ ἄγονται ἔξω τῆς πόλεως, καὶ βασανίζονται διαφόρως. εἶτα εἰς βόθρον βορβορώδη ἐμβάλλονται ἀμφότεροι, καὶ καταχωσθέντες, καὶ καταπατηθέντες, τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρα, Τοῦ Ἁγίου Μάρτυρος Κλαυδίου τοῦ Τριβούνου, τοῦ τιμωρήσαντος τοὺς Ἁγίους, καὶ τῆς Ἁγίας Ἱλαρίας τῆς Γυναικὸς αὐτοῦ.

Στίχ. Σιγῶν θάλασσαν Κλαύδιος τὴν πλάνης.

Ἔνδον θαλάσσης βάλλεται παρὰ πλάνων.

Ἱλαρία τμηθεῖσα τὴν κάραν ξίφει.

Θεοῦ πρόσωπον ἱλαρώτατον βλέπει.

Τῇ αὐτῇ ἡμέρα, Τῶν Ἁγίων Μαρτύρων, καὶ Παίδων αὐτῶν Μαύρου, καὶ Ἰάσωνος.

Στίχ. Σὺν αὐταδέλφῳ τέμνεται Μαύρῳ κάραν,

Ἀδελφὰ τούτῳ συμφρονήσας Ἰάσων.

Ὁ Ἅγιος Κλαύδιος οὗτος, παραλαβὼν ἀπὸ τοῦ ἐπάρχου Κελερίνου ἐπὶ τῆς Βασιλείας Νουμεριανοῦ, τιμωρήσασθαι Χρύσανθον καὶ Δαρείαν, ὡς εἶδε τὸν Ἅγιον Χρύσανθον ὑπὸ τῶν δημίων αἰκιζόμενον διὰ ῥάβδων ἀκανθίνων, καὶ τοὺς μὲν δημίους ἀτονοῦντας, αὐτὸν δὲ ὡς ἐν ἀλλοτρίῳ σώματι πάσχοντα, καὶ μὴ ἴχνος μωλώπων ἔχοντα τὸ σύνολον· γνοὺς, ὅτι τὸ ἐξαίσιον τοῦ θαύματος ἐκ Θείας ἐστὶ παντὸς δυνάμεως, προσέπεσε τοῖς ποσὶ τοῦ Ἁγίου, ζητῶν συμπάθειαν. καὶ εὐθὺς ὑπὸ τοῦ Ἁγίου κατηχηθεὶς, ἐβαπτίσθη, αὐτός τε ὁ Κλαύδιος τριβοῦνος, καὶ Ἱλαρία ἡ γυνὴ αὐτοῦ, καὶ οἱ δύω Υἱοὶ αὐτῶν, καὶ πάντες οἱ φίλοι αὐτῶν, καὶ πᾶσα ἡ θεραπεία αὐτοῦ. ὡσαύτως καὶ οἱ στρατιῶται μετὰ πάντων τῶν οἰκείων αὐτῶν. ἀλλ᾽ ὁ Βασιλεὺς Νουμεριανὸς ταῦτα μαθὼν, ἐκέλευσε, λίθον μὲν δεθῆναι ἐν τῷ τραχήλῳ αὐτοῦ τοῦ τριβούνου, καὶ τῇ θαλάσσῃ ῥιφῆναι, πάντας δὲ τοὺς στρατιώτας, καὶ τοὺς σὺν αὐτοῖς, ἐξετασθῆναι ἐκέλευσε. καὶ τὸν μὴ βουλόμενον ἀρνήσασθαι τὸν Χριστὸν, κεφαλικῇ ὑποκεῖσθαι τιμωρίᾳ ἐν τῷ θεάτρῳ. καὶ ὁ μὲν Ἅγιος Κλαύδιος ἐν τῇ θαλάσσῃ ῥιφεὶς, τὸ τέλος τοῦ μαρτυρίου ἐδέξατο. οἱ δὲ τούτου Υἱοὶ, καὶ οἱ λοιποὶ ἅπαντες οἱ τὸ ἅγιον δεξάμενοι Βάπτισμα, δραμόντες χωρὶς τινὸς ἐπερωτήσεως, καὶ ὁμολογήσαντες τὸν Χριστὸν, ἀπετμήθησαν τὰς αὐτῶν κεφαλάς. ἦν δὲ σπήλαιον ἀγχοῦ τῆς τῶν Ἁγίων ἀναιρέσεως, ὅπερ οἱ Χριστιανοὶ ἀνακαθάραντες, ἐν τούτῳ κατέθεντο τὰ τούτων ἅγια σώ-

σώματα. ἡ δὲ Ἰλαρία ἰδίως ἐμαπήθετο τὰ σώματα τῶν Υἱῶν αὐτῆς. καὶ συχνάζουσα προσηδρεύε τῷ τάφῳ. κρατηθεῖσα δὲ καὶ αὕτη, καθείλκετο βιαίως. ἐπεὶ δὲ διὰ παρακλήσεως, μικρὸν ἀφέθη παρὰ τῶν καθελκόντων, τὰς χεῖρας εἰς Οὐρανοὺς ἄρασα, καὶ προσευξαμένη, παρέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ. ὅπερ ἰδόντες οἱ δήμιοι ἐξεπλάγησαν, κἀκεῖθεν ὑπεχώρησαν. δύω δὲ παιδίσκαι μαθοῦσαι τὸν θάνατον τῆς κυρίας αὐτῶν, ἔθαψαν ἐν αὐτῷ πλησίον τῶν Υἱῶν αὐτῆς, εἰς δόξαν Θεοῦ. ὅτι αὐτῷ πρέπει πᾶσα τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Ἀβραμιαῖοι Παῖδες.

Ὑπερφυεῖ φωτισμῷ, Ὠσηὲ τὸν νοῦν φωτιζόμενος, τῶν μελλόντων μακρὰν τὴν γνῶσιν ἐπλούτισας, τῷ Δεσπότῃ κραυγάζων· εὐλογητὸς ὁ Θεός.

Ἐν χερσὶ Προφητῶν ὡμοιώθης πληθυντικῶς Ἀθάνατε, τὰς ὁράσεις Σῶτερ ποικίλως μορφούμενος, τοῖς σοὶ πιστῶς βοῶσιν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τοῦ Ἰσραὴλ σὺ πηγή, σωτηρίας προχέουσα νάματα. ποταμὸν εἰρήνης, Χριστὸν προκηρύττουσα, Ὠσηὲ ᾧ βοῶμεν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ὁ τοῦ ἀνάρχου Πατρός, ἀναλάμψας ἐκ σοῦ σεσωμάτωται, Θεομῆτορ Κόρη, δι' ἄφατον ἔλεος· ὃν ὑμνοῦντες βοῶμεν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Ἀντίθεον πρόσταγμα.

Ὑψούμενα κύματα τῆς πονηρίας, τὸν νοῦν οὐκ ἐσάλευσαν, τὸν σὸν Ἀνδρέα Ὅσιε, ἐν πέτρᾳ τῆς γνώσεως, Χριστοῦ ἱστάμενος. ὅθεν πᾶσιν ἄκλυστος λιμὴν, χειμαζομένοις σαφῶς γεγένησαι.

Μωραῖς συζητήσεσιν ὁ δολιόφρων, τὸν νοῦν σκοτιζόμενος, συλῆσαι ἐπειρᾶτό σε, δογμάτων λαμπρότησι καλλωπιζόμενον. ὤφλησε δὲ γέλωτα σοφέ, πληθεῖσαι ᾔσχυνε τῇ παρρησίᾳ σου.

Ὁ ὑμνῶν σου ταῖς γνώσεσι ταῖς θειοτάταις, καθωραϊζόμενος, Ἀνδρέα ἀξιάγαστε, ἀστέρα ὁλόφωτον, πᾶσί σε ἔδειξε, θαύμασιν ἑκάστοτε πιστοὺς, φωταγωγοῦντα ἀνυμνοῦντάς σε.

Θεοτοκίον.

Ναὸς ἐχρημάτισας Θεοῦ τοῦ ζῶντος, ἐν ᾧ τὴν κατοίκησιν ἀρρήτως ἐποιήσατο, Παρθένε παμύμνητε, ὁ Οὐρανοὺς κατοικῶν. καὶ δι' ἀγαθότητα πολλὴν, βροτὸς γενέσθαι καταδεξάμενος.

Ὠδὴ η'. Τὸν ἐν φλογὶ πυρός.

Ὑπὲρ κατάληψιν, ἡ Προφήταις δοθεῖσα, παρὰ τῆς Θείας δωρεᾶς, προγνωστικὴ ἐνέργεια, καὶ μελλόντων γνῶσις, ὑμνεῖτε Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας.

Στόμα θεόπνευστον, κεκτημένος καὶ γλῶσσαν, θεηγοροῦσαν Ὠσηὲ, Θεοσεβείας αἴγλη, φωταγωγοῦσα μέλπεις, ὑμνεῖτε Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας.

Λαμπρῷ κηρύγματι, θεηγόρε Προφῆτα, τὰ μεγαλεῖα τοῦ Θεοῦ, τοῖς ἐπὶ γῆς προέφης, τὴν γνῶσιν τῶν μελλόντων, ὑμνεῖτε Κύριον.

Θεοτοκίον.

Ὁ συναΐδιος τοῦ Θεοῦ, Θεὸς Λόγος, ἐκ τῆς ἁγίας σου γαστρὸς, σωματωθεὶς ἐνέφανεν, Ἁγνὴ τοῖς βοῶσιν, ὑμνεῖτε Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας.

Ἄλλος. Κάμινος ποτέ.

Πάθη τῆς σαρκὸς, σοφὲ προθανατώσας, ἀσκητικοῖς ἐπ' ἀγωνίσμασιν, ἤθλησας στεῤῥώτατα. τοῦ Σωτῆρος τὸ ὁμοίωμα, καὶ τῆς Παρθένου πάντοτε, Ὅσιε τῶν Ἁγίων, τιμητικῶς ἀσπαζόμενος.

Οἱ μανιώδεις, κατὰ Χριστοῦ λυττῶντες, θῆρες ὡς ἄγριοι ἐπέθεντο, Πάτερ θανατῶσαί σε. ὅθεν σύροντες καὶ παίοντες, ἀπέῤῥιψαν εἰς βάραθρα, Μάρτυρα ἀληθείας, σὲ προφανῶς ἐργαζόμενοι.

Θαύμασι πιστοὺς, ὡς νάμασιν ἀρδεύεις, καὶ φυγαδεύεις παμμακάριστε, πονηρίας πνεύματα, καὶ καθαίρεις ἀῤῥωστήματα, τὴν χάριν τῶν ἰάσεων, ἄνωθεν δεδεγμένος, παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Ὑψηλοτέρα ὤφθης Οὐρανῶν, Παρθένε πλατυτέρα, Θεὸν ἐν μήτρᾳ σου χωρήσασα, τὸν πᾶσιν ἀχώρητον, ὃν ἱκέτευε λυτρώσασθαι, στομοχωρίας ἄχραντε, Δέσποινα ψυχοφθόρου, τοὺς εὐσεβῶς ἀνυμνοῦντάς σε.

Ὁ Εἱρμός.

„Κάμινος ποτὲ, πυρὸς ἐν Βαβυλῶνι, „τὰς ἐνεργείας διεμέριζε, τῷ Θείῳ „προστάγματι, τοὺς Χαλδαίους καταφλέγουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα, ψάλλοντας, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου.

Ὠδὴ θ'. Χαίροις τὸ τῆς παρθενίας.

Γέρας ὡς Προφήτης εἴληφας, Ὠσηὲ δεξάμενος, στέφανον εὐπρεπείας, τοῦ Θεοῦ παμμακάριστε.

Ὅλῳ τῷ φωτὶ λαμπόμενος, τοῦ Χριστοῦ παμμάκαριστε, δίδου ταῖς σαῖς πρεσβείαις, τοῦτον ἄμεμπτα τοῖς ὑμνοῦσί σε.

Ὕμνοις σὺν Ἀγγέλων τάγμασιν, Ὠσηὲ παρέστηκας, τὸν Δεσπότην γεραίρων, ζήσας πολιτείαν ἰσάγγελον.

Θεοτοκίον.

Σῶσαι βουληθεὶς τὸν ἄνθρωπον, ὁ Σωτὴρ καὶ Δεσπότης, ἐξ ἀχράντου Παρθένου, σάρκα τὴν ἡμῶν ἐνεδύσατο.

Ἄλλος. Ἀνάρχου Γεννήτορος.

Ἰδοὺ Πάτερ Ὅσιε, τὸν δρόμον σου ἐτέλεσας, τὴν ὀρθόδοξον πίστιν τηρήσας ἄμωμον· δι' ἧς ἐναθλήσας νομίμως, στέφος διπλοῦν, ἄνωθεν ἐδέξω, ὡς Μάρτυς ἀήττητος ἀσκητὴς ἀκαταγώνιστος.

Ὡς κρίνον ηὐώπνοον, ὡς ῥόδον Πάτερ ἤνθησας, ἐν λειμῶνι τῆς θείας σαφῶς ἀσκήσεως. καὶ εὐωδιάζεις ὡς κέδρος, μαρτυρικῶς κατηγλαϊσμένος Ἀνδρέα πανόλβιε, μοναζόντων ἐγκαλλώπισμα.

Σημείοις καὶ τέρασι, σαφῶς ὡραϊζόμενος, ἀκατάλυτος μένεις πάντων ἐπ' ὄψεσι, κείμενος παμμάκαρ Ἀνδρέα. καὶ τὰς ψυχὰς, φωτίζων τῶν πίστει, θερμῇ προσιόντων σοι, καὶ ἀεὶ μακαριζόντων σε.

Ἡμέραν ἐόρτιον, καὶ θυμηδίας ἔμπλεων, τὴν ἁγίαν σου μνήμην ἄγοντες σήμερον, πίστει ἐκβοῶμέν σοι. Πάτερ ταῖς πρὸς Θεὸν, ἁγίαις λιταῖς σου, πάντων ἡμᾶς λύτρωσαι, τῶν τοῦ βίου περιστάσεων.

Θεοτοκίον.

Φωτὸς οἰκητήριον, ἡ μήτρα σου γεγένηται, τοῦ φωτίσαντος Κόσμον αὐγαῖς Θεότητος, καὶ τῆς ἀγνωσίας τὸ σκότος, ἀπὸ τῆς γῆς, πανάμωμε Κόρη, τελείως διώξαντος. διὰ τοῦτό σε δοξάζομεν.

Ὁ Εἱρμός.

„Ἀνάρχου Γεννήτορος, Υἱὸς Θεὸς καὶ „Κύριος, σαρκωθεὶς ἐκ Παρθένου, „ἡμῖν ἐπέφανε. τὰ ἐσκοτισμένα φωτίσαι, „συναγαγεῖν, τὰ ἐσκορπισμένα. „διὸ τὴν πανύμνητον, Θεοτόκον μεγα„λύνομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Ὡς λίαν ὑπερθαύμαστος, Ὠσηὲ θεήγορε, ἡ ἐκ Θεοῦ δοθεῖσά σοι, πνευματέμφορος χάρις, δι' ἧς προεῖπας Προφῆτα, ἐμφανῶς τοῦ Σωτῆρος, τὴν ἐκ Παρθένου σάρκωσιν, τὸν Σταυρὸν καὶ τὰ πάθη, καὶ τὴν σεπτὴν, θείαν ἐξανάστασιν· Ἰσραὴλ δὲ, τοῦ ὄντως ματαιόφρονος, ἐξολόθρευσιν ἄρδην.

Τοῦ Ὁσίου. Ὅμοιον.

Ἀνδρέαν τὸν καλλίνικον, εὐφημήσωμεν πάντες, ἐνθέως ἑορτάζοντες τὴν σεπτὴν αὐτοῦ μνήμην, οἱ εὐσεβεῖς μετὰ πόθου. οὗτος γὰρ τοῦ Σωτῆρος, τὰ σεπτὰ ἐκτυπώματα, τῶν ἁγίων τε πάντων, πανευσεβῶς, ἡμῖν ἀνεκήρυξεν. ὅθεν στέφος, ἐν Οὐρανοῖς ἐδέξατο, σὺν Ἀγγέλοις χορεύων.

Θεοτοκίον.

Σὲ προεδήλου Πάναγνε, προελθεῖν ἐκ λαγόνων, στειρωτικῶν ἡ ἄνικμος, ῥάβδος τοῦ Ἱερέως, βλαστήσασα παραδόξως, σὲ Προφῆται καὶ νόμος, Μητέρα προεκήρυττον, τοῦ Δεσπότου τῶν ὅλων καὶ Ποιητοῦ. ὃν δυσώπει πάναγνε Παναγία, σωθῆναι τοὺς ὑμνοῦντάς σε, ἄχραντε Θεοτόκε.

Εἰς τὴν α'. π. τῆς Ὀκτωήχου.
Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ, καὶ τὰ ἑξῆς.

Τῷ

Τῷ αὐτῷ Μηνὶ ΙΗ΄.

Τοῦ Ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ.

Στιχηρά. Ἦχος Πλ. δ΄.

Τί ὑμᾶς καλέσωμεν Ἅγιοι;

Πῶς σε ὀνομάσω Ἀπόστολε; Οὐρανόν; ὅτι τὴν δόξαν διηγήσω τοῦ Θεοῦ. ἀστραπήν; ὅτι τὸν Κόσμον καταυγάζεις φωτισμῷ. Νεφέλην; ἐπομβρήσασαν θεῖα νάματα. Κρατῆρα; τῆς σοφίας ἐνθεώτατον, οἶνον ἡμῖν ἀναβρύοντα, τὸν τὰς καρδίας εὐφραίνοντα; ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Πῶς σε νῦν προσείπω Θεόληπτε; ποταμὸν, ἐκ Παραδείσου προερχόμενον ἡμῖν; κιβωτὸν τῆς διαθήκης, ἣν διέθετο Χριστός; φωστῆρα, νοητὸν φῶς ἀπαστράπτοντα; λυχνίαν, Ἐκκλησίαν καταυγάζουσαν; Ἄρτον ζωῆς, θείαν τράπεζαν, ποτήριον θείου Πνεύματος; ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Πῶς σε νῦν Θεόπτα καλέσωμεν; λειτουργὸν τῶν μυστηρίων, δραστικώτατον Χριστοῦ; τῆς σκηνῆς τῆς νοουμένης, ἀρχιτέκτονα σοφόν; τὰς πλάκας, λατομοῦντα τὰς τῆς χάριτος; τὸν νόμον, γεγραφότα τὸν καινότατον; τὸν ἐκ Σιὼν προερχόμενον, καὶ διὰ σοῦ κηρυττόμενον, ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Πῶς σε νῦν καλέσωμεν ἔνδοξε; θησαυρὸν τῶν Οὐρανίων χαρισμάτων ἀσφαλῆ; ἰατρὸν καὶ τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἀκριβῆ; τοῦ Παύλου, συνεργάτην καὶ συνέκδημον; τὰς πράξεις, Ἀποστόλων ἐκτιθέμενον; πολλὰ Λουκᾶ τὰ ὀνόματα, ἣν ἀρετὴ σοι πεποίηκεν. ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Πῶς σε θεοῤῥήμον προσφθέγξωμαι; Μαθητὴν, ὅτι ἡμῖν εὐηγγελίσω τὸν Χριστόν; Ἰατρὸν, ὅτι τὰ πάθη θεραπεύεις τῶν ψυχῶν; λυχνίαν, νοητὸν φῶς ἀπαστράψασαν; κρηπῖδα, καὶ θεμέλιον τῆς πίστεως; σὺ γὰρ ἡμῖν διεχάραξας, τὸ πάνσεπτον Εὐαγγέλιον. ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Πῶς σε νῦν προσείπω θαυμάσιε; θεωρὸν τῶν τῆς σοφίας διδαγμάτων ἀψευδῆ; συγγραφέα πρακτικὸν τῆς Ἀποστόλων διδαχῆς; καὶ στύλον, εὐσεβείας ἀκατάσειστον; ἢ πύργον Ἐκκλησίας ἀκατάλυτον; πολλά σου τὰ προτερήματα, καὶ μείζονα τὰ χαρίσματα. ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος Πλ. β΄. Ἀνατολίου.

Ἀπόστολε Χριστοῦ, καὶ τῶν θείων δογμάτων Συγγραφεῦ, καὶ τῆς Ἐκκλησίας ἑδραίωμα· σὺ ὡς ἀληθῶς, τὰς ἐν ζόφῳ τῆς ἀγνωσίας, καρδίας εἰσδύσας ἐν τῷ βυθῷ τῆς ἀπωλείας, ἰάσας θεηγορίαις, διέσωσας ὡς ἐκ σάλου τρικυμίας, ὀπαδὸς γενόμενος τοῦ σκεύους τῆς ἐκλογῆς Παύλου, ἀλλὰ καὶ μιμητής. Ὅθεν αἰτοῦμέν σε, Λουκᾶ ἀξιάγαστε, τῶν Ἀντιοχέων τὸ ἐγκαλλώπισμα· πρέσβευε τῷ Σωτῆρι καὶ Θεῷ, ὑπὲρ τῶν πίστει ἐκτελούντων τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Θεοτ. Τριήμερος ἀνέστης.

Πρεσβείαις ἀπαρoδύναμε, μονὰς ἡ τρισυπόστατος, ταῖς πρεσβείαις, τοῦ σεπτοῦ σου Μαθητοῦ, καὶ Θείου Ἀποστόλου, καὶ τῆς Ἀειπαρθένου, σῶσον ἡμᾶς τοὺς ἀνυμνοῦντάς σε.

Εἰς τὸν στ. στ. Ἦχος Πλ. α΄.

Χαίροις ἀσκητικῶν.

Χάρις τοῖς χείλεσί σου Λουκᾶ, πνευματικὴ γλώσσῃ ἐξεχύθη Ἀπόστολε, καὶ γλῶσσα, πυρὸς ἐδείχθης, λόγους ἐκπέμπων φωτὸς, τοῖς φωτὸς ἀξίοις τῷ κηρύγματι, βολίδας φλέγουσας δὲ, τοῖς τὸ σκότος ποθήσασι· γράφων διδάσκων, τὸ σεπτὸν Εὐαγγέλιον. Καὶ ὀσμὴ ζωῆς, τοῖς ζωὴν ὄντως θέλουσιν, ἐφάνης ὡς Παῦλος ἔφησεν, ὃν ἔχεις διδάσκαλον. ὀσμὴ θανάτου δὲ πάλιν, τοῖς μὴ ζωὴν ἀγαπήσασιν. ἀλλ' ἡμῖν εἰρήνην, καὶ ζωὴν καὶ φῶς παρέχου, καὶ μέγα ἔλεος.

Στ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Ἔγνωμεν ἐκ τῶν λόγων τῶν σῶν, καθώσπερ ἔφης, τὴν τῶν λόγων ἀσφάλειαν.

ὧν

Digitized by Google

ὧν ἔφης, ἐνθέως Μύστα, ἐπείπερ γράψαι ἡμῖν, περὶ τῶν πραγμάτων ἐπεχείρησας. ὧν πεπληροφόρησαι, καὶ καθὼς σοι παρέδοκαν, οἱ πρὶν αὐτόπται, ὧν καὶ σὺ ἴσος γέγονας, ὑπηρέτης τε, τῆς τοῦ Λόγου σαρκώσεως. ὃν μετὰ τὴν Ἀνάστασιν, εἰς Ἐμμαοὺς ἔβλεψας, καὶ καιομένῃ καρδίᾳ, μετὰ Κλεώπα συνέφαγες. αὐτοῦ θείας θέρμης, καὶ ἡμῶν τῶν σὲ τιμώντων, τὰς ψυχὰς πλήρωσον.

Στ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Χαῖρε ὁ μόνος γράψας ἡμῖν, τὸ Χαῖρε χαίρων τῆς Ἁγνῆς Εὐαγγέλιον. καὶ ταύτην Κυριοτόκον, εἰπόντα τὸν Βαπτισμόν, ἐκ γαστρὸς οὗ γράφεις, καὶ τὴν σύλληψιν. καὶ Λόγου τὴν σάρκωσιν, πειρασμοὺς καὶ τὰ θαύματα. λόγους καὶ πάθη, τὸν Σταυρὸν καὶ τὸν θάνατον, καὶ τὴν ἔγερσιν, ἣν περ εἶδες καὶ ἄνοδον. Πνεύματος τε τὴν κάθοδον, Κηρύκων τὰς πράξεις τε, καὶ ἐξαιρέτως τοῦ Παύλου, ὅπερ ἐδείχθης συνέκδημος, ἀκέστωρ καὶ Μύστα, καὶ φωστὴρ τῆς Ἐκκλησίας, ἣν φρούρει πάντοτε.

Εἶτα τὸ παρὸν ἰδιόμελον τῶν Ἀποστόλων.

Στίχ. Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου.

Ἦχος δ΄. Βασιλεῦ.

Τῷ τῆς σοφίας ἀλιευτικῷ καλάμῳ, τῆς μωρίας τῆς θαλάσσης βυθὸν ἀνιχνεύων, ἐκ θανατηφόρου βυθοῦ, τὰς τῶν πιστῶν ψυχὰς ἐζώγρησας, Λουκᾶ παμμακάριστε. ὅθεν τῷ Παύλῳ μαθητευθείς, ὅλην ἐκάθηρας τὴν σαυτοῦ καρδίαν, τῇ ἐπιλάμψει τοῦ Πνεύματος. καὶ τοῖς δόγμασί σου τὰ ἔθνη ἐφώτισας, τὰ τῶν παθῶν νοσήματα, τοῖς θαύμασιν ἰατρεύσας. Χριστὸν τὸν Θεὸν ὑπὲρ ἡμῶν ἀεὶ δυσωπῶν, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος Πλ. β΄.

Πάνσοφε Ἁλιεῦ, Ἅγιε Μαθητά, ἐργάτα τοῦ Σωτῆρος, καὶ θεἰαμβε τῶν αὐτοῦ παθημάτων. ὁ τὴν κτίσιν τῇ πίστει διαδραμών, καὶ τῆς πλάνης τὰ ἔθνη συναγαγών. καὶ Θεῷ προσενέγκας, ὡς θυμίαμα καλόν, εἰς Οὐρανοὺς εὐωδωθείς. διὸ παριστάμενος τῷ Κριτῇ, πρέσβευε ῥυσθῆναι ἡμᾶς τῶν ἀνομιῶν ἡμῶν, καὶ ἐν ἡμέρᾳ Κρίσεως, λυτρωθῆναι τῆς κολάσεως.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὁ ποιητὴς καὶ λυτρωτής μου Πάναγνε Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθὼν ἐμὲ ἐνδυσάμενος, τῆς πρώτης κατάρας τὸν Ἀδὰμ ἠλευθέρωσε. διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητέρι τε, καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ χαῖρε τοῦ Ἀγγέλου, χαῖρε Δέσποινα, προστασία, καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Τροπάριον. Ἦχος γ.

Ἀπόστολε Ἅγιε, καὶ Εὐαγγελιστὰ Λουκᾶ, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Δόξα. τὸ αὐτό. καὶ νῦν. Θτ. Ὅμοιον.

Τὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε. ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης Στιχολογία. Οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἀποστόλου, εἰς ς΄. Θεοφάνους. Ὠδὴ α΄. Ἦχος Πλ. δ΄.

Ὁ Εἱρμός.

„ Ἡ κεκομμένη τὴν ἄτομον ἔτεμε. καὶ
„ εἶδεν Ἥλιος γῆν, ἣν οὐκ ἐθεάσα-
„ το. ἀλάστορα ἐχθρόν, τὸ ὕδωρ κατε-
„ πόντισε. καὶ ἄβατον διῆλθεν Ἰσραήλ.
„ ᾠδὴ δὲ ἀνεμέλπετο· τῷ Κυρίῳ ᾄσω-
„ μεν, ἐνδόξως γὰρ δεδόξασται.

Τῆς ἀμωτάτου σοφίας τὸ στόμα σου, κρατῆρα Θεῖον σοφέ, πάντες ἐπιστάμενοι, Ἀπόστολε Λουκᾶ· τὸν μέγαν καὶ ἀπόρρητον, τῆς χάριτος πλουτοῦντες θησαυρόν, προθύμως ἀρυόμεθα. τῷ Κυρίῳ ψάλλοντες, ἐνδόξως γὰρ δεδόξασται.

Μυσταγωγῶν σοι Χριστὸς τὰ γράμματα, καὶ θεοπνεύστους γραφάς, ἀμέσως διανοίγων σοι Ἀπόστολε Λουκᾶ, καὶ μύστην ἀναδείκνυσι, καὶ Κήρυκα σοφὸν τῶν ὑπὲρ νοῦν, εὐτόμως ἀνακράζοντα· τῷ Κυρίῳ ᾄσωμεν. ἐνδόξως γὰρ δεδόξασται.

Χαι-

Digitized by Google

Χειροτονεῖ σε τῷ Παύλῳ συνέκδημον, ἡ Ἐκκλησία Χριστοῦ, Λουκᾶ παμμακάριστε. τῇ χάριτι αὐτοῦ ἐνθέως διαλάμποντα. καὶ ἴχνεσιν αὐτοῦ ἀκολουθεῖν, αὐτῷ συναμακαρίζοντα. τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Θεοτοκίον.

Τῆς ἀνεκφράστου καὶ θείας συλλήψεως, τῆς παμμακαρίστου Ἁγνῆς, τὸν τρόπον διεσάφησας, Ἀπόστολε Λουκᾶ. τὸ Πνεῦμα τὸ Πανάγιον, ἐλήλυθε σαφῶς γὰρ ἐπ' αὐτὴν, καὶ Λόγος ἐπεσκίασεν, ᾧ συμφώνως ψάλλομεν, ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„Σὺ εἶ τὸ στερέωμα, τῶν προστρεχόντων „σοι Κύριε. σὺ εἶ τὸ φῶς, τῶν ἐσκο„τισμένων, καὶ ὑμνεῖ σε τὸ πνεῦμά μου.

Σοῦ τὸ Εὐαγγέλιον, Λουκᾶ θεσπέσιε ἄνωθεν, ἀνατολὴν, ἐπισκεψαμένην, τοὺς ἀνθρώπους παρίστησιν.

Πράξεις ἐνθεωτάτας, διαπραττόμενος ἄριστε, πανάσεβως, τὰς τῶν Ἀποστόλων, γραφικῶς ἀνιστόρησας.

Παῦλος ὁ μακάριος, τῶν ἐγκωμίων σοι ἔπλεξε, τὰς ἀπαρχὰς, καὶ τοὺς σοὺς ἐπαίνους, ἐπιστέλλων ἐξέθετο.

Θεοτοκίον.

Σὲ νῦν μακαρίζουσιν, ὡς προεφήτευσας ἄχραντε, αἱ γενεαὶ, πᾶσαι τῶν ἀνθρώπων, διὰ σοῦ νῦν σῳζόμεναι.

Ὁ Εἱρμός. Σὺ εἶ τὸ στερέωμα.

Κάθ. Ἦχος γ'. Τὴν ὡραιότητα.

Ὁδοιπορήσας σοι μετὰ τὴν ἔγερσιν, Λουκᾶ πανίερε σὺν τῷ Κλεώπᾳ λοιπόν. ἐπὶ τὴν πόλιν Ἐμμαοὺς συζήτησιν ποιοῦντί σοι, ἐπέστη ὁ Κύριος τῇ μορφῇ ἀνεπίγνωστος. αὖθις δὲ δεξάμενος, τὴν τοῦ ἄρτου ἐπίδοσιν, ἐπέγνως τὸν σωτῆρα ᾧ πρέσβευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον Κάθισμα. Ἦχος Πλ. δ'.

Τὴν Σοφίαν καὶ Λόγον.

Ὡς συνέκδημος Παύλου ἀναδειχθεὶς, τοὺς ποικίλους κινδύνους καρτερικῶς, ὑπέμεινας πανεύφημε, τοῦ Κυρίου Ἀπόστολε. καὶ τὸν δρόμον ἀθλήσει, τελέσας τῆς πίστεως. σὺν αὐτῷ ἐν ὑψίστοις, εὐφραίνῃ μακάριε. ὅθεν καὶ τῷ Κόσμῳ, τὸ Χριστοῦ Εὐαγγέλιον κηρύξας ἐφώτισας, τὴν ὑφήλιον ἅπασαν, Λουκᾶ πανσεβάσμιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν Οὐράνιον πύλην καὶ κιβωτὸν, τὸ πανάγιον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, τὴν ἀκατάφλεκτον βάτον, τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν ἀνάκλησιν, τῆς Οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον. ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ Κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων. διὰ τοῦτο βοῶμαι αὐτῇ· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν ἄχραντον τόκον σου.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„Ἐπιβὴς ἐφ' ἵππους, τοὺς Ἀποστόλους „σου Κύριε, καὶ ἐδέξω χερσὶ σου ἡνίας „αὐτῶν. καὶ σωτηρία, γέγονεν ἡ ἱππασία „σου, τοῖς πιστῶς μελῳδοῦσι· δόξα τῇ δυ„νάμει σου Κύριε.

Ὡς ὤφθης τῇ αἴγλῃ, πεφωτισμένος τοῦ πνεύματος. ἠξιώθης χερσὶ σου τοὺς νόμους αὐτοῦ, τοῖς θεοφίλοις ἄριστα διατυπώσασθαι, τοῖς πιστῶς μελῳδοῦσι· δόξα τῇ δυνάμει σου Κύριε.

Ἡ χάρις εὑροῦσα, τοῦ Παρακλήτου σε σκήνωμα, ἐξεχύθη πλουσίως σοῖς χείλεσι. καὶ τῆς εἰρήνης κήρυκα πᾶσιν ἀνέδειξε, τοῖς πιστῶς μελῳδοῦσι· δόξα τῇ δυνάμει σου Κύριε.

Ἀγώνων τῷ Παύλῳ, ὡς κοινωνὸς ὤφθης ἔνδοξε, τῶν στεφάνων ἐνδίκως ἠξίωσαι, τῆς Βασιλείας. τούτῳ τε συναγαλλόμενος, συμφώνως κραυγάζετε· δόξα τῇ δυνάμει σου Κύριε.

Εὑρών σου τὸ κάλλος, τῆς διανοίας ὁ Κύριος, ὡς ταῖς θείαις ἀκτῖσιν, ὡραίως διαλάμπουσης, Κήρυκά σε προχειρίζεται, τοῖς πίστει κραυγάζουσι· δόξα τῇ δυνάμει σου Κύριε.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Κατῆλθε Δυνάστας, ἀπὸ τῶν θρόνων ὁ Κύριος, ἡ Παρθένος καὶ Μήτηρ ὡς ἔφησε. τοὺς δὲ πεινῶντας, θείων ἀγαθῶν ἐνέπλησε, τοὺς πιστῶς μελῳδοῦντας, δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Φῶς τὸ νοητὸν, τῇ καρδίᾳ σου δεξάμενος, τῶν μολυσμάτων ὡς τὸ πρὶν καθαρθεὶς, ἀγάπης γέμων, τοῖς πᾶσι Λουκᾶ μετέδωκας.

Ἐν ταῖς ἀστραπαῖς, ταῖς τῆς χάριτος παμόλβιε, καταυγασμένος καθωράθης σαφῶς, πυρίνῃ γλώσσῃ, ἐνθέως Λουκᾶ φθεγγόμενος.

Παύλῳ τῷ σοφῷ, συνοδεύειν ἐπεπόθησας. ἀγαπητὸς γὰρ προσηγόρευσαι, ὡς ὑπηρέτης Εὐαγγελιστὰ τῆς χάριτος.

Θεοτοκίον.

Χαίροις ἀληθῶς, παρθενίας τὸ κειμήλιον, ἡ τῆς Προμήτορος ἀνάκλησις, καὶ τῆς κατάρας ἡ λύσις τῆς τοῦ Προπάτορος.

Ὠδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ.

Εἰς ὄρος τῶν ἀρετῶν Ἀπόστολε, ἀναβὰς τῷ ποθουμένῳ ὡμίλεις. καὶ ὡς Μωσῆς θεογράφους τὰς πλάκας, ἐγγεγραμμένας δακτύλῳ τοῦ Πνεύματος, ἐδέξω μακάριε διττὰς, Λουκᾶ τῆς οἰκουμένης Διδάσκαλε.

Τὸν Κόσμον σαῖς διδαχαῖς ἐφώτισας, οἷα Ῥήτωρ τῆς σεπτῆς Ἐκκλησίας. ταῖς γὰρ αὐγαῖς τῆς ἀκτίστου Τριάδος, πεπυρσωμένος ὠράθης Θεόληπτε. καὶ γέγονας ὡς ὁ ἀστὴρ, δαδουχῶν Οἰκουμένης τὰ πέρατα.

Τὰς νόσους νῦν τῶν ψυχῶν θεόπνευστε, ἰατρεύεις τῶν σωμάτων ὡς πάλαι, ἐμπιστευθεὶς, οὐρανόθεν τὸ δῶρον, καὶ ἐκπλουτήσας τὴν χάριν τοῦ Πνεύματος. ὁ Παῦλος γάρ σε μαρτυρῶν, ἰατρὸν γεγονέναι παρίστησιν.

Θεοτοκίον.

Ἐπέβλεψεν ἐπὶ σὲ ὁ Κύριος, τὴν ἐμὴν ἀνακαινίζων οὐσίαν. ὡς δυνατὸς, μεγαλεῖα ποιήσας, Θεογεννῆτορ ὡς ἔφης Πανάμωμε. καὶ ἔσωσέ με διὰ σοῦ, ἐκ φθορᾶς ὡς Θεὸς καὶ φιλάνθρωπος.

Κοντάκ. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Μαθητὴς γενόμενος τοῦ Θεοῦ Λόγου, σὺν τῷ Παύλῳ ἅπασαν, ἐφωταγώγησας τὴν γῆν, καὶ τὴν ἀχλὺν ἀπεδίωξας, τὸ θεῖον γράψας Χριστοῦ Εὐαγγέλιον.

Ὁ Οἶκος.

Ὡς Ἰατρὸς καὶ μαθητὴς, Λουκᾶ ἠγαπημένος, μυστικῇ χειρουργίᾳ, τὰ πάθη τῆς ψυχῆς μου, καὶ τὰ τοῦ σώματος ὁμοῦ ἴασαι, καὶ δός μοι κατὰ πάντα ἐκτενεῖν. καὶ σοῦ τὴν πανσοίδιμον γηθόμενος γεραίρειν πανήγυριν, ὄμβροις τε δακρύων, ἀντὶ μύρων τὸ σεπτόν σου καὶ πάντιμον σῶμα καταβρέχειν· ὡς στήλη γὰρ ζωῆς ἐγγεγραμμένη, τῷ μανῷ τῷ θαύματι τῶν Ἀποστόλων, πᾶσιν ἐκφωνεῖ, καθάπερ καὶ σὺ τὸ πρῶτον. τὸ θεῖον γράψας Χριστοῦ Εὐαγγέλιον.

Τῷ αὐτῷ Μηνὶ ΙΗ΄. Τοῦ Ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ.

Εἰς Ἐμμαοῦς βλέπειν σε καὶ πρὶν εἰρχόμην,

Λουκᾶς λέγει, τρανῶς σε νῦν Χριστὲ βλέπω.

Ὀγδοάτῃ δεκάτῃ πέρατος βίου ἔμμορε Λουκᾶς.

Λουκᾶς ὁ μέγας Εὐαγγελιστὴς, ἦν ἀπὸ Ἀντιοχείας τῆς Συρίας τῆς μεγάλης. Ἰατρὸς τὴν τέχνην, καὶ ἄκρως τὴν ζωγραφικὴν ἐπιστάμενος ἐπιστήμην. οὗτος ἐν Θήβαις τῆς Βοιωτίας διάγων, καὶ ἰατρεύων ἐπὶ Τραϊανοῦ Βασιλέως, ἐνέτυχε τῷ Ἁγίῳ Παύλῳ τῷ Ἀποστόλῳ, καὶ πιστεύσας τῷ Χριστῷ, ἀπώσατο τὴν πατρῴαν πλάνην, καὶ τὴν περὶ τὰ σώματα θεραπείαν ἀφεὶς, τῶν ψυχῶν προσελάβετο. συνεγράψατο δὲ καὶ τὸ κατ᾽ αὐτὸν Εὐαγγέλιον, πρὸς Θεόφιλον τινὰ Ἡγεμόνα πιστεύσαντα εἰς Χριστὸν, ὑπαγορεύσαντος αὐτῷ τοῦ Ἁγίου Ἀποστόλου Παύλου. ἔπειτα ἐξέθηκε καὶ τὰς πράξεις τῶν Ἀποστόλων πρὸς τὸν αὐτὸν Θεόφιλον. μετὰ δὲ τὸ ἐγκαταλιπεῖν τὸν Παῦλον, πᾶσαν τὴν Ἑλλάδα διδάξας, ἐν Θήβαις τῆς Βοιωτίας, ὡς φασὶν, ὀγδοήκοντα ἐτῶν γενόμενος, ἐν εἰρήνῃ ἀνεπαύσατο. ἐν ᾧ δὲ τόπῳ κατετέθη

τεθῆ τὸ σῶμα αὐτοῦ, δοξάζων ὁ Θεὸς τὸν ἴδιον θεράποντα καὶ ἐργάτην, κολλύρια ἔβρεξαν ἐπάνω τοῦ μνήματος αὐτοῦ, σύμβολον τῆς ἑαυτοῦ ἐπιστήμης. ὅθεν καὶ γνωριμώτερος γέγονεν ὁ τάφος αὐτοῦ τοῖς πᾶσιν. ὁ δὲ Κωνστάντιος, ὁ τοῦ μεγάλου Κωνσταντίνου Υἱὸς, μετακομίζει ἐκ Θηβῶν τὸ λείψανον αὐτοῦ, δι' Ἀρτεμίου τοῦ μεγάλου Δουκὸς Αἰγύπτου καὶ Μάρτυρος, καὶ κατατίθησιν αὐτὸ ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων, ὑπὸ τὴν ἱερὰν τράπεζαν, μετὰ Ἀνδρέου καὶ Τιμοθέου. φασὶ δὲ αὐτὸν, πρῶτον τὴν Εἰκόνα τῆς Ἁγίας Θεοτόκου, ἐν ἀγκάλαις φέρουσαν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, διὰ ζωγραφικῆς τέχνης ἐκ κηροῦ, καὶ ἑτέρας δύο ζωγραφῆσαι. προσφέροντε αὐτὰς τὸν Ἀπόστολον τῇ Μητρὶ τοῦ Κυρίου, εἰ ἀρεστόν ἐστιν αὐτῇ, καὶ αὐτὴν φάναι καὶ εἰπεῖν, τὸ, ἡ χάρις τοῦ ἐξ ἐμοῦ τεχθέντος δι' ἐμοῦ μετ' αὐτῶν, ὡσαύτως, καὶ τῶν Ἁγίων Ἀποστόλων καὶ Κορυφαίων τῆς ἁγίας Εἰκόνας. Καὶ ἐξ ἐκείνου εἰς πᾶσαν τὴν Οἰκουμένην διενεχθῆναι τὸ τοιοῦτον, καλὸν καὶ εὐσεβὲς, καὶ πάντιμον ἔργον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Μαρίνου τοῦ γέροντος.

Στίχ. Γέρων Μαρῖνος ἐξελέγχει χρυσῶν πλάνην,
Τόλμῃ νεάζων, καὶ τελειοῦται ξίφει.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰουλιανοῦ, τοῦ ἐν τῷ Εὐφράτῃ.

Οὗτος ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Ἰουλιανὸς, καταλιπὼν τὸν Κόσμον ἀπῆλθεν ἐν ταῖς ὄχθαις τοῦ Εὐφράτου ποταμοῦ, καὶ εὑρὼν ἐκεῖσε σπήλαιον, τὸν μοναστὴν ἐν τούτῳ διῆγε βίον. τοῦτον πολλοὶ ζηλώσαντες, προσεῤῥύησαν τῷ σμικροτάτῳ σπηλαίῳ, καὶ καλύβας πηξάμενοι γύρωθεν, μέχρι τῶν ἑκατὸν γεγόνασι, ἀτιζόμενοι τὰ παραπλήσια τῷ διδασκάλῳ. οὗτος ὁ θαυμάσιος καὶ δράκοντα ἀπέκτεινε, καὶ ὕδωρ ἐν γῇ ἀνύδρῳ βλύσαι πεποίηκεν. οὗτος καὶ εἰς τὸ Σίναιον ὄρος ἐλθὼν, ἐν τῇ Πέτρᾳ, ἣ Μωσῆς ὁ νομοθέτης εἶδε τὸν Θεὸν ὡς ἦν δυνατὸν ἰδεῖν, Ἐκκλησίαν ᾠκοδόμησε, καὶ μέχρι τῆς νῦν περίεστιν. ἀλλὰ καὶ τὴν τοῦ δυσσεβοῦς καὶ ἀποστάτου Ἰουλιανοῦ ὑποστροφὴν ἀπὸ τῶν Περσῶν πολλοὶ δεδιότες, ἐπεὶ παρεκάλουν γινώσκοντες αὐτὸν τοῦ Θεοῦ δοῦλον γνήσιον, οὗτος ἐπὶ δεκάτην ἡμέραν τὴν πρὸς Θεὸν αὐτοῦ ἁγίαν προσευχὴν ἐπεκτείνας, οὐ μόνον διὰ σὲ, ἤκουσεν, ἀλλὰ καὶ δι' ἑτέρων πολλῶν παννυχίους παρακλήσεις καὶ δεήσεις, ὁ μιαρὸς καὶ δυσσεβὴς Ἰουλιανὸς ἀποσφάττεται. μετὰ δὲ χρόνους τινὰς τοῦ μακαρίου Μελετίου ἐξ Ἀντιοχείας διωχθέντος, προσεκαλέσαντό τινες τὸν μακάριον τοῦτον, εὐχῆς καὶ παρακλήσεως, καὶ παρηγορίας πολλῶν ἕνεκα. καὶ συνθέμενος καὶ ἀπερχόμενος, προσεδέχθη ἐν ὁδῷ παρὰ γυναικὸς φιλοθέου. καὶ ἐπεὶ κατακλιθέντος εἰς δεῖπνον τοῦ Ἁγίου ὅπερ εἶχεν ἑπταετὲς Παιδίον ἡ γυνὴ μονογενὲς, ἐν τῇ τραπέζῃ ἀσχολούμενον, μικρὸν ἐξ ὀφθαλμῶν παρελθὸν, συνέβη πεσεῖν ἐν τῷ φρέατι. ἡ τιμία γυνὴ γνοῦσα μὲν τοῦτο, μηδὲν δὲ τὸ παράπαν ἀλλοιωθεῖσα, ἀλλὰ μᾶλλον τὸ φρέαρ σκεπάσασα, μεγαλοψύχως διηκόνει. καὶ τὸν ἅγιον τὸ παιδίον ἐπιζητοῦντα, παρεκρύψατο διὰ μέσον ἐπισυμβᾶσαν, τοῦ δὲ ἐπιμελῶς τὸ παιδίον ἐπιζητοῦντος ἐπὶ τῆς τραπέζης ἐλθεῖν, καὶ εὐλογίας ἀπολαῦσαι, γνωστὸν ἐγένετο τὸ πραχθέν. εὐθέως δὲ τῆς τραπέζης ἐξαναστὰς, καὶ τὸ κάλυμμα τοῦ φρέατος ἀποῤῥίψας, ὡς εἶδε τὸ παιδίον ἀλλόμενον ἐν τοῖς ὕδασιν ὑγιὲς, καὶ οἷα παίζοντι τῇ χειρὶ προσεοικὸς, ἀχθῆναι τοῦτο διά τινος τῶν παρευρεθέντων ἐκέλευσε. καὶ τούτου γενομένου, καὶ τὸ παιδίον ἐρωτώμενον, οὐδέν τι δεινὸν παθεῖν ἔφασκε, διὰ τὸ κουφίζεσθαι τοῦτο, καὶ ἀνέχεσθαι ὑπὸ τοῦ προσομιλοῦντος αὐτῷ ἐν τοῖς ὕδασι καὶ προσπαίζοντος γέροντος. ἀφικόμενος δὲ εἰς Ἀντιόχειαν κατήχθη εἰς τὸ σπήλαιον, ἐν ᾧ ὁ Ἅγιος Ἀπόστολος Παῦλος ποτὲ ἐναπεκρύπτετο, καὶ πλήθους οὐκ ὀλίγου συῤῥεύσαντος πρὸς τὸ σπήλαιον, χάριν τῆς ἐκ τοῦ Ἁγίου ὠφελείας καὶ εὐλογίας, λαύρῳ πυρετῷ συσχεθεὶς οὗτος, ἐκεῖ-



Digitized by Google

τὸ ἀδρανὲς τι πνέων καὶ σχεδὸν ἄπνους. ὡς δὲ οἱ περὶ αὐτὸν ὄχλον πολλοὺς εἶναι τοὺς ἔξωθεν προσμένοντας λέγοντες, καὶ ἐπιδεομένους τῆς εὐλογίας, ἐὰν συμφέρῃ ἡμῖν ἡ ὑγεία ἀπεκρίνατο, δῴη ταύτην πάντων ὁ Κύριος. καὶ προσευξάμενος, ἀνέστησεν αὐτὸς αὐτὸν ἐκ τοῦ λαυροτάτου πυρετοῦ, διὰ τὴν τοῦ πλήθους ὠφέλειαν. Ὁδεύοντι δὲ αὐτῷ ἐν τῇ ὁδῷ ποτὲ, καὶ ἐπὶ τὰ Βασίλεια ἀπερχομένῳ, τὶς κατακείμενος ὢν, προσεγγίσας τῇ σισύρᾳ αὐτοῦ, εὐθέως ἀνέστη, ἀκολουθῶν αὐτῷ ὡς ὁ πάλαι χωλὸς τῷ Πέτρῳ καὶ Ἰωάννῃ. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ εἰς τὴν ὀρθόδοξον πίστιν ὑποστηρίξας, ὑπέστρεψεν ἐπὶ τὴν ἀσκητικὴν αὐτοῦ παλαίστραν, διὰ τῆς Κύρου τὴν πορείαν ποιούμενος. οἱ δὲ τῆς πόλεως Κύρου κρατήσαντες τὸν Ἅγιον εἰς παράκλησιν, ἔλεγον· τοῦ Θεοῦ δοῦλε, Ἀστέριον τινὰ ἀντὶ τοῦ Ἐπισκόπου ἡμῶν προσδοκῶμεν, δυσσεβῆ καὶ ὀλέθριον. πρόσμεινον μεθ' ἡμῶν, καὶ βοήθησον εἴτι δύνασαι, μήποτε τῇ στωμύλῳ αὐτοῦ γλώσσῃ αὐτοὺς ἐν λόγοις τισὶ διαστρέψῃ ἡμᾶς. ὁ δὲ προσμείνας, καὶ εὐχὴν παννύχιον ὀλίγων συνελθόντων ἐκτελέσας, θεηλάτῳ ὀργῇ τοῦτον ἀπέκτεινε, μιᾶς καὶ μόνης ἡμέρας ζωὴν ἐπώδυνον ἐάσας τούτῳ. ὑποστρέψας δὲ πρὸς τοὺς Μαθητὰς αὐτοῦ, καὶ χρόνους ἱκανοὺς διαρκέσας σὺν αὐτοῖς, πρὸς Κύριον ἐξεδήμησεν.

Ταῖς αὐτοῦ Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„ Παῖδες Ἑβραίων ἐν καμίνῳ, κατεπάτησαν τὴν φλόγα θαρσαλέως, καὶ εἰς δρόσον τὸ πῦρ, μετέβαλλον βοῶντες· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὢ πῶς Λουκᾷ τε καὶ Κλεόπᾳ, ἐμφανίζεται Δεσπότης ἐκ τοῦ τάφου. ἀναστὰς γὰρ αὐτοὺς, ἐδίδασκε κραυγάζειν· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Τρίβον τοῦ βίου διατρέχων, συνοδεύοντα τὸν Λόγον εὗρες μάκαρ, Οὐρανίων σκηνῶν ἀνοίγοντα σοι πύλας· εὐλογητὸς εἶ κράζοντι, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Λύρα τοῦ Πνεύματος ἐδείχθης, μελῳδήματα θεόθεν φθεγγομένη, τοὺς ἀνθρώπους Λουκᾶ φωτίζουσα βοῶντας· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Χαῖρε Μαρία Θεοτόκε, ὁ Ἀσώματος ἐβόα σοι Παρθένε, σὺν αὐτῷ δὲ πιστοὶ, βοῶμέν σου τῷ τόκῳ. εὐλογημένος Πανάγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ὠδὴ η'. Ὁ Εἱρμός.

„ Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα, καὶ ἐν βάτῳ, πυρὶ τὸ τῆς Παρθένου, τῷ Μωσεῖ μυστήριον γνωρίσαντα, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεογράφους ὡς πλάκας δεδεγμένοι, τὰς σὰς βίβλους πιστῶς κατατρυφῶμεν, τοῦ φωτισμοῦ τῆς χάριτος Πανόλβιε· Κύριον ὑμνοῦντες, καὶ ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Ὡς ὀργάνῳ τὸ πνεῦμά σου τῇ γλώττῃ, κεχρημένον, φωτίζει τοὺς ἀνθρώπους, μυσταγωγῶν τῆς χάριτος τὰ δόγματα. Κύριον ὑμνοῦντας, καὶ ὑπερυψοῦντας, εἰς πάντας τοὺς αἰῶνας.

Συνεδέθης τῇ σχέσει μετὰ Παύλου, θεορρήμον, Λουκᾶ τῷ θεηγόρῳ, καὶ ξυνωρὶς πανέντιμος ἐδείχθητε. Κύριον ὑμνοῦντες, καὶ ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Θεοπλόκῳ σαγήνῃ σου τῶν λόγων, ἐξαπλώσας, τοὺς πλάνῃ κρατουμένους, τῷ φωτισμῷ τῆς πίστεως ἐζώγρησας. Κύριον ὑμνοῦντας, καὶ ὑπερυψοῦντας, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐλισάβετ Μητέρα σε Κυρίου, προσεφώνει Προφήτις δεδεγμένη, τὸν Βαπτιστὴν καὶ Πρόδρομον βαστάζουσα. Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„ Ὄρους παρῆλθες τῆς φύσεως, τὸν Δημιουργὸν συλλαβοῦσα καὶ Κύριον, καὶ πύλη σωτηρίας τῷ κόσμῳ γέγονας. διό σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνομεν.

Ἔστης Λουκᾶ τῆς ἐφέσεως, τὸ τῶν ὀρεκτῶν οἷα φθάσας τὸ ἔσχατον, καὶ τέλους μα-

καρίου

Digitized by Google

καρὶν σαφῶς ἐπέτυχες, λυθέντων τῶν ἐσόπτρων, τῆς ἀληθείας ταῖς ἐμφάσεσι.

Λάμψας τῷ Κόσμῳ ὡς ἥλιος, ἐνθεαστικῶς τῇ Τριάδι παρίστασαι, σὺν Παύλῳ τῷ θεόπτῃ, Λουκᾶ πανεύφημε. μεθ' οὗ σε θεοφάντορ, ἀκαταπαύστως μεγαλύνομεν.

Πύλη Λουκᾶ τῇ φωσφόρῳ σου, τοὺς σοὺς ὑμνητὰς φαιδρυνθῆναι δυσώπησον, καὶ Κόσμῳ τὴν εἰρήνην παμμάκαρ βράβευσον. ὅπως σε θεηγόρε, ἀκαταπαύστως μεγαλύνωμεν.

Χαίρων Λουκᾶ νῦν παρίστασαι, τῷ Παμβασιλεῖ, τῷ στεφάνῳ κοσμούμενος, τῆς θείας εὐπρεπείας καὶ ὡραιότητος. διό σε θεοῤῥῆμον ἀκαταπαύστως μεγαλύνομεν.

Θεοτοκίον.

Λόγον ἐδέξω τὸν ἄσαρκον, φύσιν τὴν ἐμὴν ἀναπλάσαι βουλόμενον, καὶ τοῦτον σαρκωθέντα Παρθένε τέτοκας. διό σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Λουκᾶ Χριστοῦ Ἀπόστολε, μύστα τῶν ἀπορρήτων, καὶ τῶν ἐθνῶν Διδάσκαλε, μετὰ Παύλου τοῦ Θείου, καὶ τῆς Ἁγνῆς Θεοτόκου, ἧς τὴν θείαν Εἰκόνα, ἐκ πόθου ἀνιστόρησας, ἐκδυσώπει θεόπτα, ὑπὲρ ἡμῶν, τῶν μακαριζόντων σε καὶ τελούντων, τὴν ἱερὰν σου κοίμησιν, πάνσοφε μυστολέκτα.

Θεοτοκίον. Ὅμοιον.

Δέσποινα πάντων Ἄνασσα, πρόφθασον ἐν κινδύνοις, πρόφθασον ἐν ταῖς θλίψεσι, πάρεσο ἐν ἀνάγκαις, τῆς τελευταίας ἡμέρας, μὴ Σατᾶν ἡμᾶς λάβῃ, μὴ ᾅδης μὴ ἀπώλεια. Βῆμα τὸ τοῦ Υἱοῦ σου, τὸ φοβερὸν, ἀνάθου ἵνα ἅπαντας παραστῆναι, ὡς Θεομήτωρ δέσποινα, ὅσα θέλεις ἀνύεις.

Εἰς τοὺς αἴνους στιχ. προσόμοια, ἱστῶμεν στιχ. δ'.

Ἦχος α'.

Νεφέλην σε φωτός.

Χριστοῦ τὸν Μαθητὴν, τὸν τοῦ Εὐαγγελίου συγγραφέα σοφώτατον, σκεῦος τῆς ἐκλογῆς τὸν ὡραῖον, χαρακτῆρα ἔμψυχον πιστοί, οὗ ἐν ταῖς ἐκκλησίαις ἁπάσαις ὁ ἔπαινος, Λουκᾶν τὸν Ἀπόστολον ἐν ὕμνοις τιμήσωμεν. αὐτὸς γὰρ ἐκήρυξε τοῦ Θεοῦ τὰ παράδοξα θαύματα, φωτίσας τοὺς ἐπὶ γῆς, θεολογίας ἀκτῖσι διὰ τῆς χάριτος.

Ψυχῶν ἰατρικὴν, ὑπὲρ τὴν τῶν σωμάτων ἐκμαθὼν, ἐπιστήμην σοφὲ, καὶ κατ' ἄμφω παγκάλλης ἀναδειχθεὶς, τὴν τοῦ Θεοῦ σοφίαν ἐμπνευσθεὶς, ἐν ᾗ θεραπεύων ψυχὰς καὶ τὰ σώματα, Λουκᾶ παμμακάριστε καλεῖς πρὸς ἐπίγνωσιν, πτεροῖς πρὸς τὸν ἔρωτα τοῦ Θεοῦ, τοὺς ἀνθρώπους ἑκάστοτε. ἀνάγεις εἰς Οὐρανὸν, καὶ ὑπὲρ πάντων πρεσβεύεις τῶν εὐφημούντων σε.

Ἀγκιστρολογικῶς, τοὺς ἐν βάθει ἀγνοίας, ὡς ἰχθύας εἰσδύσαντας, ἑλκύσας εἰς ἐπίγνωσιν θείαν, τῷ Χριστῷ ὀψώνιον καλὸν, προσηγάγω παμμάκαρ, τιμὴν ἀξιόχρεων, ζωὴν τὴν ἀκήρατον, Λουκᾶ ἱερώτατε. διὸ καὶ Ἀπόστολος τοῦ Χριστοῦ ἐχρημάτισας, σοφὸς Εὐαγγελιστὴς, ἐξηγητὴς τῶν πρακτέων ἔργων τῆς χάριτος.

Ἦχος πλ. α'. Εἰς πᾶσαν τὴν γῆν.

Λέοντος Μαΐστορος.

Δεῦτε πᾶσα κτίσις, τὸν ἀληθῶς ἰατρὸν πνευματικὸν, καὶ τοῦ Σωτῆρος Μαθητὴν, Λουκᾶν τὸν ἀοίδιμον ἐν ᾠδαῖς εὐφημήσωμεν. οὗτος γὰρ ἀθείας τὴν νόσον, τῷ ἐπιχρίσματι τῆς Χριστοῦ κολυμβήθρας ἐθεράπευσε, καὶ ποταμοὺς θεοβρύτων ναμάτων ἐκ στόματος, ἐμψυχωμέναις χώραις, τοῦ Εὐαγγελίου κατήρδευσεν. ὅθεν ἐξῆλθε προφητικῶς ὁ φθόγγος αὐτοῦ, εἰς τὴν οἰκουμένην, καὶ πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος ὁ αὐτός.

Δαβιτικῶς συνελθόντες, οἱ πιστοὶ ἐν ᾄσμασι τῷ μυστικῷ ῥήτορι τοῦ λόγου, Λουκᾶ ἐκβοήσωμεν· ἡ γλῶσσά σου κάλαμος γραμματέως ἐδείχθη, Χριστοῦ τοῦ ὀξυγράφου, ὡραΐζων τὰς ὄψεις, πρὸς τὴν γνῶσιν τῶν ἐθνῶν, τῆς θείας ἐπιγνώσεως, ἐν ᾗ ἀνεκήρυξας τὸ Εὐαγγέλιον, καὶ τῶν συναποστόλων σου τὰς πράξεις συνεγράψω. διὸ παριστάμενοι τῇ Τριάδι καὶ Θεῷ, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.



Digitized by Google

Καὶ νῦν. Θεοτ. Οἱ Μάρτυρές σου Κύριε.

Ἐγὼ εἰμὶ τὸ ἄκαρπον δένδρον παμάμωμε, τὸ μὴ καρπεῦον καρπὸν σωτήριον. διὸ καὶ τρέμω τὴν ἐκκοπὴν, μήπως βληθῶ εἰς τὸ πῦρ τὸ ἄσβεστον ὁ ἄθλιος. ὅθεν σοὶ προσπίπτω τοῦτο ῥῦσαί με, καὶ καρποφόρον δεῖξον, ἄχραντε τῷ Υἱῷ σου καὶ μετανοίᾳ σου.

Εἰ βούληται ὁ προεστὼς,

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικά. Καὶ ἀπὸ τοῦ Κανόνος τοῦ Ἀποστόλου ᾠδὴ γ΄. καὶ ς΄. Προκείμενον. Ἦχος πλ. δ΄. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. Στ. Οἱ Οὐρανοὶ διηγοῦνται. Ὁ Ἀπόστολος πρὸς Κολοσσαεῖς. Ἀδελφοὶ ἐν σοφίᾳ περιπατεῖτε. Ζήτει τῇ ε΄. τῆς κβ΄. Ἑβδομάδος Ἀλληλούϊα. Ἦχος α΄. Ἐξομολογήσονται οἱ Οὐρανοί. Εὐαγγέλιον κατὰ Λουκᾶν. Εἶπεν ὁ Κύριος. ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος.

Τῷ αὐτῷ Μηνὶ ΙΘ΄.

Τοῦ Ἁγίου Προφήτου Ἰωὴλ, καὶ τοῦ Ἁγίου Μάρτυρος Οὐάρου. Στιχ. τοῦ Προφήτου Ἦχος Πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Τὸ θεῖον πνεῦμα ἐκκέχυται, ὡς ὁ σεπτὸς Ἰωὴλ, προφητεύων ἐθέσπισε. παρ᾽ αὐτοῦ κινούμενος, ἐφ᾽ ἡμᾶς τοὺς πιστεύοντας. καὶ μυστηρίων θείων φανέρωσιν, ἀποκαλύπτει καὶ προφητεύουσιν, οἱ τὴν ἐνέργειαν, τὴν αὐτοῦ δεξάμενοι καὶ θεϊκῇ, αἴγλῃ φωτιζόμενοι, καὶ θείᾳ χάριτι.

Θεηγορίας ἀνάπλεως, ὁ θαυμαστὸς Ἰωὴλ, ὡς πηγὴ ἐκπορεύεται, τὰς ψυχὰς ἀρδεύουσα, ἐκ τοῦ οἴκου σου Δέσποτα, καὶ γλυκασμὸν ἡμῖν ἀποστάλαξε, τὰς διανοίας καταγλυκαίνουσα. ὅλος μετάρσιος, γεγονὼς τῷ πνεύματι δι᾽ ἀρετῆς, ἀνακουφιζόμενος, πρὸς θεῖον ὕψωμα.

Προφητικῇ παῤῥησίᾳ σου, καὶ νοερᾷ πρὸς Θεὸν, Ἰωὴλ οἰκειότητι, δι᾽ ἧς τὰ Οὐράνια, κατοπτεύεις θεάματα, ὑπὲρ ἡμῶν τῶν τὸν ζῆλον ζηλώσαι, τῶν ἐκτελούντων πίστει τὴν μνήμην σου, λύσιν αἰτούμενος, τῶν πταισμάτων ἔνδοξε, καὶ μετοχὴν, θείων ἀπολαύσεων, καὶ μέγα ἔλεος.

Ἕτερα τοῦ Μάρτυρος. Ἦχος Πλ. β΄.

Ὅλην ἀποθέμενοι.

Ἄθλους θεασάμενος, τῶν καλλινίκων μαρτύρων, θάρσους θείου ἔμπλεως, γεγονὼς εἰσέδραμες εἰς τὸ στάδιον. καὶ Χριστὸν Οὔαρε, δι᾽ ἡμᾶς ἄνθρωπον, γεγονότα ἀνεκήρυξας, μὴ πτήξας θάνατον, μηδὲ τὰ προκείμενα βάσανα. διὰ καταικιζόμενος, καὶ ἀνηλεῶς συγκοπτόμενος, ἔχαιρες τελείως, νοὶ ἀποσκοπούμενος σοφὲ, τὴν διαμένουσαν εὔκλειαν, τοῖς Θεὸν ποθήσασιν.

Σάρκας σου τοῖς αἵμασι, καταπιπτούσας ἐώρας, καὶ ὡς ἄλλου πάσχοντος, ἀθλητὰ διέκεισο γενναιότατε. προσδεθεὶς ξύλῳ δὲ, σπαραγμοὺς ἤνεγκας, τῶν ἀμόμων καρτερώτατα. Θεοῦ εἰς χεῖρας δὲ, πνεῦμά σου τὸ θεῖον παρέδωκας. ἐκπλήξας τοὺς ὁρῶντάς σε, ταῖς ἀπεράντοις ἐνστάσεσιν. ὅθεν σε τιμῶμεν, μεγάλως ἀγωνισάμενον σοφὲ, καὶ καθελόντα τὸν Τύραννον, Οὔαρε τοῖς πόνοις σου.

Ἀλείψασα μύροις σε, ἡ θαυμαστὴ Κλεοπάτρα, ὑπὸ γῆν κατέθετο, καὶ ναὸν πανάγιον ἀνεδείματο. ἑορτὴν ἄγουσα, θαυμαστὴν Οὔαρε, καὶ πιστῶς σε λιτανεύσασα. ἧς τὸ παιδάριον, μονῆς στρατείας κατηλέξας. καὶ δόξῃ κατεκάλλυνας, καὶ χοροῖς Ἁγίων συνέταξας. ὑπὲρ τῆς μερίδος, ἀξίωσον ἡμᾶς τοὺς εὐσεβῶς, τὴν σὴν τελοῦντας πανήγυριν, Μάρτυς ἀξιάγαστε.

Δόξα, καὶ νῦν. Θεοτ. Ὅμοιον.

Μέτρον ὑπὲρ ἅπαντας, τοὺς ἀνθρώπων ὁ τάλας, μόνος ἐπλημμέλησα, τὰ καὶ λόγῳ ἄφθεγκτα καὶ ἀκούσματι, μηδαμῶς ἄχραντε, φορητὰ πέλοντα. διὰ τοῦτό σου καὶ δέομαι· σύγγνωθι Δέσποινα, σύγγνωθι, καὶ δὸς μοι μετάνοιαν, δὸς μοι ἐξομολόγησιν, δὸς μοι στεναγμούς τε καὶ δάκρυα. ἵνα διὰ τούτων, συντρίβων τὴν καρδίαν μου ἀεὶ, κράζω τὸ, ἥμαρτον Κύριε, ἱλάσθητι σῶσόν με.



Digitized by Google

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐπήξατο τῷ ξύλῳ ποτὲ, καιρῷ τῷ τῆς σταυρώσεως, ἡ Παρθένος, σὺν Παρθένῳ Μαθητῇ, καὶ κλαίουσα ἐβόα· οἴμοι πῶς πάσχεις πάντων, Χριστὲ ὑπάρχων ἡ ἀπάθεια.

Εἰς τὸν Ὄρθρον. ἡ συνήθης στιχολ. Οἱ Κανόνες τῆς Ὀκτωήχου εἷς, καὶ τῶν Ἁγίων. Ὁ Κανὼν τοῦ Προφήτου.

Οὗ ἡ ἀκροστιχίς.

Χρησμοὺς Ἰωὴλ, τοῦ Προφήτου θαυμάσω. Θεοφάνους. Ὠδὴ α΄. Ἦχος β΄.

Δεῦτε λαοὶ ᾄσωμεν.

Χορὸς ἡμῖν, τῶν Προφητῶν συνευφραίνεται, ἐγκωμιαζομένου σου, τοῦ ὑψηλόφρονος, Ἰωὴλ θεοφάντορ. μεθ᾽ ὧν ἡμᾶς σωθῆναι μάκαρ δυσώπησον.

Ῥῆμα Θεοῦ, προκαταγγέλλων θεσπέσιε, τὴν χαλεπὴν ἐμήνυσας, ὀργὴν καὶ ἔνδικον, τὴν ἐκ τῆς ἀσεβείας συμβᾶσαν τῷ λαῷ σου, τῷ ματαιόφρονι.

Ἡ θαυμαστὴ, καὶ φωτοφόρος τοῦ Πνεύματος, ζωοποιὸς ἐπίπνοια, σοὶ ἐπεσκίασε. καὶ μελλόντων τὴν γνῶσιν, ἐνέπνευσε Προφῆτα μακαριώτατε.

Θεοτοκίον.

Σὲ ἡ σκηνὴ, τοῦ μαρτυρίου προέγραψε, πολυειδῶς τυπούμενον, ἀποδεικνύουσα, τὸν ἐκ σοῦ σαρκωθέντα, ἀτρέπτως Θεομῆτορ, πάναγνε Δέσποινα.

Ἕτερος Κανὼν τοῦ Μάρτυρος. Οὗ ἡ ἀκροστιχίς.

Ἄθλους ἐπαινῶ ἐν Οὐάρου κλέος μέγα. Ἰωσήφ. Ὠδὴ α΄. Ἦχος πλ. β΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Ἀναφανεὶς ἐν τῷ ὕψει τῆς τοῦ Χριστοῦ, Ἐκκλησίας Οὐάρε, ὥσπερ ἥλιος φαιδρὸς, ἀστραπαῖς ἐλάμπρυνας τῶν σῶν, παλαισμάτων τὰ τῆς γῆς μάκαρ πληρώματα.

Θείας ἀγάπης παμμάκαρ καταχεθεὶς, τῷ γλυκείῳ ἔρωτι, ἀπηρνήσω σεαυτὸν, καὶ πρὸς πᾶσαν βάσανον σαρκὸς, προσεχώρησας στεῤῥῶς ἀγωνισάμενος.

Λελογισμένος τῶν θείων ἀγωνιστῶν, τοῖς δεσμοῖς συνέδησας, ἀθλοφόρε σεαυτὸν, καὶ τῆς πλάνης ἔλυσας δεσμὰ, στεῤῥᾷ ὑπομονῇ πολλῶν κολάσεων.

Θεοτοκίον.

Ὁ ὑπεράναρχος Λόγος σοῦ ἐν γαστρὶ, ὑπὲρ λόγον ᾤκησε, καὶ τεχθεὶς θεοπρεπῶς, τῶν Μαρτύρων ἄχραντε χορὸς, ἐπεσπάσατο μεθ᾽ ὧν ὑμνολογοῦμέν σε.

Ὠδὴ γ΄. Στερέωσον ἡμᾶς.

Μυούμενοι τοῖς σοῖς σοφοῖς δόγμασι, νηστείαν Προφῆτα καὶ θεραπείαν, εὐσεβῶς ἀνακηρύττομεν, εἰς τὸν οἶκον Κυρίου πορευόμενοι.

Οἱ ταῖς σαῖς διδαχαῖς ἀκολουθήσαντες, ἐξ ὅλης καρδίας καὶ διανοίας, ἐν κλαυθμῷ τε καὶ δεήσει, τὸν Θεὸν ἐκζητοῦμεν ἀξιάγαστε.

Ὑπέδειξας ἡμῖν τοῦ Παντοκράτορος, Δεσπότου Προφῆτα μακροθυμίαν, καὶ τὴν θείαν ἀγαθότητα, διετράνωσας τούτου καὶ χρηστότητα.

Θεοτοκίον.

Συνέλαβες Ἁγνὴ Θεὸν καὶ ἔτεκες, τὸν Λόγον ἀφράστως σεσαρκωμένον, ὃν Προφῆται τὸν λαλήσαντα, καὶ τελέσαντα τούτων τὰ κηρύγματα.

Ἄλλος. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Ὑπῆλθες γνώμῃ στεῤῥᾷ, τοὺς ἀνδρικοὺς ἀγῶνας, νευρωθεὶς ταῖς ἐλπίσι, τῶν μελλόντων ἀγαθῶν, καὶ τῶν Μαρτύρων Χριστοῦ, ταῖς πανσόφοις, μάκαρ παραινέσεσι.

Στρατὸν Ἁγίων ἀθλητῶν, ἐναθλοῦντα νομίμως, καθορῶν τὴν ἐκείνων, ἐπεδείξω ἀνδρικῶς, στεῤῥότητα ὁμιλῶν, πολυτρόποις Οὐάρε κολάσεσι.

Ἐν παρατάξει ἱερᾷ, Οὐάρε ὡς γενναῖος, στρατιώτης ἀρέθης, καὶ κατέσφαξας πληθὺν, ἀνδρείας ξίφει σοφὲ, πολεμίων, νίκαις κλεϊζόμενος. Θεοτοκίον.

Παρθένε Μήτηρ τοῦ Θεοῦ, τῆς ἐμῆς ῥᾳθυμίας, τὸ βαρύτατον σκότος, καὶ τὰ νέφη τῶν παθῶν, τῷ φωτισμῷ τῆς ἐν σοὶ, δυσωπῶ σε, χάριτος ἀπέλασον.

Ὁ Εἱρμός.

„Οὐκ ἔστιν Ἅγιος ὡς σὺ, Κύριε ὁ Θεός
„μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν



Digitized by Google

„ σε ἀγαθὲ, ἢ στερεώσας ἡμᾶς, ἐν τῇ πέ-
„ τρᾳ, τῆς ὁμολογίας σε.

ᾠδὴ γ΄. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τῶν μολυσμῶν προκαθαρθεὶς τῆς καρδίας, δοχεῖον ὤφθης καθαρὸν θεορρήμων, τοῦ Παναγίου Πνεύματος Προφῆτα Ἰωὴλ. ὅθεν καθυπέδειξας, ἀληθείας τὴν γνῶσιν, καὶ προανεκήρυξας, τοῦ Σωτῆρος ἢ Κτίστου, τὴν ἐν σαρκὶ ἔλευσιν ἐν γῇ, τὴν ἐπ᾽ ἐσχάτων φανεῖσαν τοῖς ἔθνεσιν. Δόξα. τοῦ Μάρτυρος. Ἦχος α΄.

Τὸν τάφον σε Σωτήρ.

Τοὺς ἄθλους τῶν σεπτῶν, θεωρήσας Μαρτύρων, ἢ τούτων τὰ δεσμὰ, ἀσπαζόμενος πόθῳ, εἰς ὕψος ἀνέδραμες, μαρτυρίου πανθαύμαστε. ἐπὶ ξύλου γὰρ, ἀναρτηθεὶς τὰς αἰκίσεις, ἐκαρτέρησας, ἕως εἰς χεῖρας Κυρίου, τὸ Πνεῦμα παρέδωκας.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Ἁγνὴ, Θεοτόκε Μαρία, ἡ μόνη τῶν πιστῶν, προστασία ἢ σκέπη, κινδύνων ἢ θλίψεων, ἢ δεινῶν περιστάσεων, πάντας λύτρωσαι, τοὺς ἐπὶ σοὶ τὰς ἐλπίδας, Κόρη ἔχοντας, ἢ τὰς ψυχὰς ἡμῶν σῶσον, ταῖς θείαις πρεσβείαις σε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἄσπιλος ἀμνὰς, τὸν ἀμνὸν ἢ Ποιμένα, κρεμάμενον νεκρὸν, ἐπὶ ξύλου ὁρῶσα, θρηνοῦσα ἐφθέγγετο, μητρικῶς ὀλολύζουσα. πῶς ἐνέγκω σε, τὴν ὑπὲρ λόγον Υἱέ μου, συγκατάβασιν, ἢ τὸ ἑκούσιον πάθος, Θεὲ ὑπεράγαθε;

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἵλεως γενοῦ Κύριε, τοῖς ἀσεβῶς, πρὸς σὲ μετανοοῦσιν, ὡς μόνος οἰκτίρμων ἢ πολυέλεος.

Ὡς προηγγείλας ἔνδοξε, παρὰ Θεοῦ, ἐκκέχυται τὸ Πνεῦμα, ἐπὶ πᾶσαν σάρκα ἤδη πιστεύσασαν.

Ἡ τοῦ Πνεύματος κάθοδος, τοὺς Μαθητὰς, σοφίσασα Κυρίου, τοὺς σοὺς θεηγόρους λόγους ἐτέλεσε. Θεοτοκίον.

Λελυτρωμένοι Πάναγνε, τῶν ζοφερῶν, τοῦ ᾅδου κευθμεώνων, τῷ θείῳ σου τόκῳ, σὲ μακαρίζομεν.

Ἄλλος. Χριστός μου δύναμις.

Ἁγίοις στίγμασι καλλωπιζόμενος, ὡραιότατος ὤφθης ἢ τῷ Θεῷ, Οὔαρε ποθούμενος, τῷ στεφανώσαντι τὴν σὴν, κορυφὴν ἀξιοθαύμαστε.

Ἐν ξύλῳ ἔνδοξε προσαναρτώμενος, καὶ εἰς γῆν τεταμένος τοὺς χαλεποὺς, πόνους ἐκαρτέρησας. δι᾽ ὧν τὴν ἄπονον ζωὴν, ἐκληρώσω ἀγαλλόμενος.

Νομίμως βλέποντες οἱ θεῖοι Μάρτυρες, ἐναθλοῦντά σε μάκαρ ὑπομονῆς, λόγοις παρεθάῤῥυνον. μεθ᾽ ὧν τοὺς πόνους τοὺς μακροὺς, διανύσας μεμακάρισαι. Θτ.

Ἐκλύος Δέσποινα παθῶν ἀνάγαγε, ἢ τῆς ταλαιπωρίας τῶν λογισμῶν, τῶν ἀλλοτριούντων με, Θεοῦ τοῦ μόνου καθαροῦ, ἵνα πίστει μακαρίζω σε.

Ὠδὴ ε΄. Τῆς νυκτὸς διελθούσης.

Τοῦ Χριστοῦ ὁ Προφήτης, τὴν ἔλευσιν πᾶσι, τοῖς πιστοῖς προλέγων ἐκήρυττεν, ὅτι ἥξει ἢ σώσει, ἀνθρώπων τὸ γένος, ἐκ τῆς τῶν εἰδώλων πλανήσεως.

Ὁλικῶς ἀναμάξας, ἔνδοξε Προφῆτα, πρὸς τὰ ὑπὲρ νοῦν ἢ διάνοιαν, Προφητείας τὴν χάριν, εἵλκυσας ἐκεῖθεν, καὶ δικαιοσύνην ἐκήρυξας.

Ὑπὲρ τῶν σὲ ὑμνούντων, πρέσβευε σωθῆναι, πάσης ἐπηρείας πανόλβιε, Ἰωὴλ καὶ τῆς θείας, χάριτος καὶ αἴγλης, καταξιωθῆναι δυσώπησον.

Θεοτοκίον.

Παναγία Παρθένε, Δέσποινα τοῦ Κόσμου, τοὺς σὲ Θεοτόκον κηρύττοντας, ἐξ ἀμέτρων πταισμάτων, ῥυσθῆναι δυσώπει, ἢ βιωτικῶν περιστάσεων.

Ἄλλος. Τῷ θείῳ φέγγει σε.

Νευρώσας νεύσεσι Θεϊκαῖς, ἢ τοὺς ἀνενδότους σπαραγμοὺς, φέρεις γενναίῳ φρονήματι, Οὔαρε σπαράττων τὴν τοῦ ἀλάστορος, καρδίαν τοῦ κακίαν δημιουργήσαντος.

Ὁ περιδέξιος ἀθλητὴς, βλέπων ἐκπιπτούσας εἰς τὴν γῆν, τὰς ἑαυτοῦ σάρκας ἔχαιρε, τὰς αἰωνιζούσας νοὸς λαμπρότητι, ἢ θείας ἀντιδόσεις προφανταζόμενος.

Ὑμνῶ-

Digitized by Google

Υμνῶ σε Κύριε ὁ Θεὸς, καὶ δοξολογῶ καὶ προσκυνῶ, τῶν ἀγαθῶν ἀξιούμενος, τῶν ἡτοιμασμένων τοῖς σε ποθήσασιν ὁ Μάρτυς ἐν τῷ πάσχειν, Οὔαρος ἔκραζεν.

Θεοτοκίον.

Ὑπεραφθεῖσα τῶν Χερουβὶμ, καὶ τῶν Σεραφὶμ ὡς ἀληθῶς, ἁγιωτέρα Παρθένε, μακαρίζομέν σε, πάντας τοὺς πιστῶς σε νῦν μακαρίζοντας, ἁγίασον καὶ σῶσον, τοὺς ἀνυμνοῦντάς σε.

Ὠδὴ ς'. Ἄβυσσος ἁμαρτημάτων.

Ῥέουσι τῶν σῶν δογμάτων πηγαὶ τῆς θεηγορίας, καὶ τὸν ψυχοτρόφον γλυκασμὸν, στάζουσιν ἔνδοξε. ἀρδεύουσαι, τοὺς πιστῶς σε τιμῶντας.

Ὄρος σε τῆς Προφητείας γλυκύτητα ἀποστάζον, καὶ θεοσεβείας Ἰωὴλ, κήρυκα πάνσοφον, γνωρίζομεν, θεηγόρε Προφῆτα.

Φρούρησον ταῖς ἱκεσίαις Θεοῦ Προφῆτα ὡς ἔχων, θείαν παῤῥησίαν πρὸς Θεὸν, τοὺς πόθῳ ὑμνοῦντάς σου, τὴν ἔνδοξον, καὶ ἀοίδιμον μνήμην. Θεοτοκίον.

Φώτισον ἡ φῶς τεκοῦσα τὸ ἄδυτον τὰς καρδίας, τῶν δοξολογούντων σε πιστῶς ἄχραντε Δέσποινα, καὶ τὸν ἐκ σοῦ, ἀποῤῥήτως τεχθέντα.

Ἄλλος. Τοῦ βίου τὴν θάλασσαν.

Ῥημάτων ἠλόγησας, παρανόμου δικαστοῦ, καὶ τὴν πυρὰν ὑπέμεινας, τῶν ἀμυθοποιστῶν πόνων καρτερικῶς, πολύαθλε Οὔαρε, πρεσβεύτα τῶν ἐν πίστει ἀνυμνούντων σε.

Οὐκ ἔληξε τύραννος, ὁ παράφρων ταῖς πληγαῖς, ἀνηλεῶς συγκόπτων σε, ἕως Θεοῦ εἰς χεῖρας τὴν ἱερὰν, ψυχὴν ἐναπέθωκας, καλλοναῖς λαμπρυνθεῖσαν τῶν ἀγώνων σου.

Υψώθης μιμούμενος, ἐπὶ ξύλου τὸν Χριστὸν καὶ ἐν αὐτῷ κρεμάμενος, τὴν σὴν ψυχὴν παρέδωκας τῷ Θεῷ, τῷ σε στεφανώσαντι, ἀθλοφόρε μονίμως ἀειστάσαντα. Θεοτοκίον.

Κυβέρνησον Δέσποινα, ἐν πελάγει τῶν δεινῶν, χειμαζομένην πάντοτε, τὴν ταπεινὴν ψυχήν μου. καὶ γαλήνιον, πρὸς ὅρμον ἀνάγαγε, ἀδιστάκτῳ σε γνώμῃ μακαρίζουσαν.

Ὁ Εἱρμός.

„Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καὶ θορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ ἀδίῳ λιμένι σου προσδραμὼν, βοῶ σοι ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου πολυέλεε.

Τῷ αὐτῷ Μηνὶ ΙΘ'. Τοῦ Ἁγίου Προφήτου Ἰωήλ.

Στ. Ὁ γῆς Ἰωὴλ ἐκτραγῳδήσας πάθη,
Μετῆλθεν ἐκ γῆς, εἰς τόπον κρείττω πάθους.

Ἐννεακαιδεκάτῃ μόρος ἀμφ' ἐκάλυψεν Ἰωήλ.

Ὅς ἑρμηνεύεται ἀγάπη Κυρίου, ἢ ἀρχὴ, ἢ ἀπαρχὴ Θεοῦ. οὗτος ἦν ἐκ σπέρματος Ῥουβὶμ. ἀγροῦ τοῦ Μεθομοῤῥῶν. καὶ προφητεύσας περὶ λιμοῦ καὶ ἐκλείψεως θυσιῶν, καὶ πάθους Δικαίου Προφήτου, δι' αὐτῶν ἀνακαινιζομένης εἰς σωτηρίαν πάσης τῆς γῆς, ἀπέθανε καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Οὐάρου, καὶ τῶν σὺν αὐτῷ.

Στ. Δεσμοὺς ἀπείρους καρτεροῦντος Οὐάρου,
Σατὰν πλάνης ἔξαρχος οὐαί μοι λέγει.

Οὗτος ἐπὶ Μαξιμιανοῦ τοῦ Βασιλέως στρατευόμενος ἐν Αἰγύπτῳ, γένους ὢν ἐπισήμου καὶ λαμπροῦ καὶ εὐσεβοῦς. ἐγκλεισθέντων δέ τινων Ἁγίων ἑπτὰ τὸν ἀριθμὸν ἐπὶ χρόνον πολὺν, ἐπεμελεῖτο αὐτῶν ὁ Ἅγιος Οὔαρος καθ' ἑκάστην. ἑνὸς δὲ τῶν ἑπτὰ ἀναπαυσαμένου, προσέταξεν ἑαυτὸν ὁ Ἅγιος ἀντ' ἐκείνου, καὶ πρὸς τὸν Ἡγεμόνα μετὰ τῶν λοιπῶν ἀχθεὶς, τύπτεται ῥοπάλοις, καὶ ἐπὶ πολὺ ξέεται τὰς πλευρὰς, καὶ ἐν αὐταῖς ταῖς βασάνοις, ἐπὶ πέντε ὥραις παραταθείσαις, τὴν ψυχὴν τῷ Κυρίῳ ἀποδίδωσι.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Σαδὼθ, καὶ τῶν σὺν αὐτῷ, κ'. καὶ ρ'. Μαρτύρων, ἐν Περσίδι τελειωθέντων.

Στ. Σαδὼθ ὁ θεῖος τὴν κάραν τμηθεὶς ξίφει.
Θεοῦ Σαβαὼθ, νῦν παρίσταται θρόνῳ,



Digitized by Google

Δεκὰς δεκαπλῆ μαρτύρων συμμαρτύρων,
Καὶ δὶς δέκα θνήσκουσι πληγέντες ξίφει.

Βασιλεύοντος Σαβωρίου ἐν τῇ τῶν Περσῶν χώρᾳ, ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν οὗτος Ἐπίσκοπος ἐκεῖσε ὤν, ἐν μιᾷ τῶν ὑπὸ τὴν Βασιλείαν αὐτοῦ ἐνορίᾳ, καὶ τὸν τοῦ Χριστοῦ λαὸν ἐκδιδάσκων τὰ εἰς ψυχικὴν ὠφέλειαν συντείνοντα, τινὰς δὲ καὶ τῶν Περσῶν ἀπερισκέπτως βαπτίζων, διεβλήθη τῷ Βασιλεῖ, καὶ προσαχθεὶς αὐτῷ, καὶ μὴ πεισθεὶς προσκυνῆσαι τῷ ἡλίῳ καὶ τῇ Σελήνῃ, τῷ τε ὕδατι καὶ τῷ πυρί, πρῶτον μέν, τύπτεται ῥάβδοις. εἶτα τέμνεται ἀπὸ τοῦ μετώπου ἄχρι τῶν ὀνύχων, καὶ ἀφαιρεῖται ἀπὸ τοῦ δέρματος αὐτοῦ λῶρον ἕνα, ἔχοντα δακτύλου πλάτος, καὶ αὖθις βουνεύροις τύπτεται, καὶ ἐπ' ἀκανθῶν καὶ σκολόπων κυλίεται, καὶ εἰς κοχλίαν αὐτὸν ἀποσφίγγουσι. ταῦτα δὲ πάντα γενναίως ὑπομείνας, τὸν βασιλέα πλέον ἐξέμηνε. βληθεὶς δὲ εἰς φυλακήν, πάλιν ἄγεται εἰς ἐρώτησιν. ὑγιὴς δὲ εὑρεθεὶς ἐν ὅλῳ τῷ σώματι, ἐκρεμάσθη κατὰ κεφαλῆς, καὶ ὀβελίσκοις πεπυρακτωμένοις κατατιτρώσκεται ὅλον τὸ σῶμα. καὶ ἐπεὶ ὁ μὲν Ἅγιος εἰς οὐδὲν ταῦτα ἐλογίζετο. ἤκουσε καὶ τοῦ Βασιλέως ἐπαπειλοῦντος σκορπίσαι τὰ μέλη τούτου, πιστεύω τῷ Θεῷ μου ἀντέφησε. διαμερίζονται οἱ Χριστιανοὶ τὰ λείψανά μου, καὶ ὃς ἐὰν ἐπικαλέσηται τὸν Θεὸν ἐν τῷ ὀνόματί μου, σωτηρίαν εὑρήσει. καὶ παρευθὺς τὴν γλῶτταν τέμνεται. ὄμματα δὲ καὶ χεῖρας εἰς Οὐρανὸν ἐκτείνας, καὶ καθ' ἑαυτὸν προσευξάμενος, φωνῆς τῆς οὐρανοῦ ἤκουσε λεγούσης· ἡ αἴτησίς σου πεπλήρωται, καὶ ἰδοὺ ἔσῃ λαλῶν. καὶ φυείσης αὐτῷ γλώσσης ἑτέρας, ἐδόξαζε τὸν Θεόν. ταῦτα βλέποντες οἱ λαοί, ἐξεπλήσσοντο, καὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἄνδρες χίλιοι ἑβδομήκοντα, καὶ ἕτεροι διακόσιοι. ἰδὼν δὲ ὁ Βασιλεὺς ὅτι πολλοὶ δι' αὐτοῦ προσέρχονται τῷ Χριστῷ, ξίφει τὴν κεφαλὴν αὐτοῦ ἀποτμηθῆναι προσέταξεν. ἐπεὶ δὲ καὶ ἕτεροι οὐκ ὀλίγοι ἀνεβόησαν λέγοντες· Βασιλεῦ, καὶ ἡμεῖς Χριστιανοί ἐσμεν, καὶ κατ' αὐτῶν ἀπεφήνατο. καὶ λαβόντες αὐτοὺς οἱ στρατιῶται, ἀπήγαγον ἐπὶ τὸν τῆς σφαγῆς τόπον. καὶ προσευξάμενος ὁ Ἅγιος, καὶ κατασφραγίσας αὐτούς, ὄντας τὸν ἀριθμὸν ἑκατὸν εἴκοσι, αὐτὸς πρῶτος ἀπετμήθη τὴν κεφαλήν, καὶ καθεξῆς οἱ λοιποί.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Ὁ τὴν κάμινον.

Ἡ ἐκπορευομένη, ἐκ τοῦ οἴκου Κυρίου, καὶ ποτίζουσα κρήνη, ὡς προέφης προῆλθε, Προφῆτα πανσεβάσμιε.

Τὸν χειμάρρουν τῶν σχοίνων, σιτοφόρον εἰργάσω, τῆς τρυφῆς ὁ χειμάρρους, Ἰωὴλ ὡς προεῖπεν· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ὁ τὰ πάντα ποιήσας, γεννηθεὶς ἐκ Παρθένου, διεσώσατο Κόσμον, εὐσεβῶς ἀνυμνοῦντα· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Δροσοβόλον μέν.

Λαμπρυνθέντα σε ἀγώνων ἐπιδόσεσιν, ἡ Κλεοπάτρα ἔνδοξε, συνεκόμισεν, εὑραμένη κλέος διὰ σοῦ, τῆς πίστεως ἄξιον σαφῶς, ἣν ἀνεδείξατο θερμῶς, εἰς σὲ τελείῳ νοΐ.

Ἐπιχέουσά σοι δάκρυα, καὶ μύροις ἐντίμως ὑπαλείφουσα, κατακρύπτει σε, ὑπὸ γῆν ἡ πάνσεμνος γυνή, ἐνθάψαντα γνώμην πονηράν, ταῖς ἐκ τάφου ἀστραπαῖς, φωταγωγοῦντα ἡμᾶς.

Οὐκ ἐνέδωκεν ὁσίως θεραπεύσασα, σὲ τὸν Χριστοῦ θεράποντα ἡ ἀείμνηστος, ἕως ὤφθης πρόξενος αὐτῇ, σοφὲ Βασιλείας Οὐρανῶν. ἧς ἠξιώθη διὰ σοῦ, σὺν τῷ φιλτάτῳ Υἱῷ.

Θεοτοκίον.

Συντριβέντα με ἀμέτροις παραβάσεσι, Παρθένε μεσιτείᾳ σου, καινοποίησον, ἰατρεύουσά μου τὴν ψυχήν, καὶ λόγον παρέχουσα βοᾷν· εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ὠδὴ η΄. Τὸν πάλαι δροσίσαντα.

Ὑπέδειξας ἔνδοξε, μετανοίας τοὺς τρόπους ἐμφανῶς, τὸν εὔσπλαγχνον Κύριον,

Digitized by Google

σιον, ἐγγυώμενον τὰς πίστει πρὸς αὐτὸν, προσιόντας ἢ ψάλλοντας· εὐλογεῖτε ἢ ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Θεράπων γενόμενος, τοῦ Κυρίου Προφῆτα Ἰωὴλ, τὰ τούτου μυστήρια, ἐπιστώθης προφητείων τοῖς λαοῖς, σὺν ἡμῖν ἢ λέγουσιν. εὐλογεῖτε ἢ ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἀφέσεις προχέουσι, τοῦ Ἰούδα θαυμάτων ποταμοὺς, Ἀπόστολοι εὔδοξοι, τοῦ Κυρίου ὡς προέφης Ἰωὴλ, τοὺς βοῶντας ἀρδεύοντες· εὐλογεῖτε ἢ ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Ὑπόστασιν σύνθετον, ἐν δυσὶ ταῖς οὐσίαις τὸν Χριστὸν, Παναμώμε τέτοκας, διαμείνασα Παρθένος καθαρά. ὃν ὑμνοῦντες κραυγάζομεν· εὐλογεῖτε καὶ ὑπερυψοῦτε, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἄλλος. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Μητρικῶν ὑπακούσας Μάρτυς δεήσεων, οὐρανίῳ στρατείᾳ λαμπρῶς ἐστρατεύσας, Παῖδα τὸν σεπτὸν, καὶ τῆς σῆς συμμεθέξοντα, ἔδειξας εὐκλείας, ἀρρήτῳ συμπαθείᾳ.

Ἐξ Αἰγύπτου σε ὄλβον ὥσπερ πολύτιμον, μετηγάγετο Μάρτυς καταπλουτίζοντα, θείαις δωρεαῖς, Κλεοπάτρα ἰάσεων, πᾶσαν Παλαιστίνην, τὴν πόθῳ σε τιμῶσαν.

Γενναίως τοὺς ἀγῶνας τοὺς σοὺς διήνυσας, στρατιῶτα γενναῖε τοῦ Παντοκράτορος. ἢ ὡς νικητὴς, παρ' αὐτοῦ ἐστεφάνωσε, Οὔαρε πανμάκαρ, τῶν ἀθλοφόρων κλέος.

Θεοτοκίον.

Ἁμαρτίας συνάπτω ἐφ' ἁμαρτήμασι. ἢ τὸ μέλλον οὐ φρίττω φρικτὸν κριτήριον. νέκρωσον Ἁγνὴ, τῆς ψυχῆς μου τὴν πώρωσιν, ἢ τῇ σῇ πρεσβείᾳ, ἐπίστρεψόν με σῶσον.

Ὁ Εἱρμός.

„ Ἐκ φλογὸς τοῖς Ὁσίοις δρόσον ἐπί-
„ γασας. ἢ Δικαίου θυσίαν ὕδατι ἔφ-
„ λεξας. ἅπαντα γὰρ δρᾷς Χριστὲ, μόνῳ
„ τῷ βούλεσθαι. σὲ ὑπερυψοῦμεν, εἰς πάν-
„ τας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἡ ἐν οὐρανοῖς εὐλογημένη.

Μετὰ Προφητῶν ὡς ὑποφήτης, χαρμονικῶς ἐν ἐπουρανίοις, νῦν εὐφραίνῃ σκηνώμασιν.

Ἀξίωσον ἡμᾶς νῦν ἐποπτείας, τοὺς εὐσεβῶς σε δοξολογοῦντας, θεηγόρε πανόλβιε.

Σύντομον ὁδὸν τῆς σωτηρίας, ὁ Ἰωὴλ διὰ μετανοίας, θεοφρόνως ὑπέδειξεν.

Θεοτοκίον.

Ὤρθωσας ἡμᾶς τοὺς πεπτωκότας, Μήτηρ Θεοῦ εὔσπλαγχνον Δεσπότην, σωτῆρα γεννήσασα.

Ἄλλος. Θεὸν ἀνθρώποις ἰδεῖν.

Ἰσχὺν καθεῖλες τοῦ πολεμήτορος, τὴν θείκην σαφῶς, περιζωσάμενος δύναμιν, ἀθλητὰ γενναιότατε Οὔαρε. ὅθεν σε εὐφημοῦμεν, ἴασιν ἄφθονον, ἐκ τῆς σῆς λειψάνων οἱ πιστοὶ ἀπαρυόμενοι.

Ὡς φῶς ὡς ὄρθρος ὡς μέγας Ἥλιος, πάσῃ τῇ γῇ, ἡ μνήμη σου ἐξήπλωται Οὔαρε. σελασφόροις φωτίζουσα λάμψεσι, σοῦ τῶν σεπτῶν ἀγώνων, πάντας πανεύφημε, καὶ τὸν σκοτασμὸν τῶν καρδιῶν ἀποδιώκουσα.

Σὺν σοὶ ἀστράπτοντα θεασάμενον, δόξῃ πολλῇ, τὸν ἴδιον Υἱὸν ἡ φιλόμαρτυς, τὸν τῶν ὅλων Θεὸν ἐμεγάλυνον, ὃν καὶ γνησιωτάτως, Μάρτυς ἐδόξασε, μέγιστον πρὸς αὐτὴν εὐμενῶς καταπλουτίσασα.

Ἡ γῆ ἐν ᾗ σου τὸ καρτερώτατον, σῶμα σοφὲ, κατάκειται ἐνθέως ἡγίασαι. ἀλλὰ δίδου ἡμῖν ταῖς πρεσβείαις σου, λύσιν ἁμαρτημάτων, βίου διόρθωσιν, Οὔαρε καὶ πάντων δυσχερῶν τὴν ἀπολύτρωσιν.

Θεοτοκίον.

Φανεὶς Παρθένε ἐκ σοῦ ὁ Κύριος, τῆς φωτεινῆς νεφέλης, τῆς Αἰγύπτου τὰ ξόανα, παντελεῖ ἀπωλείᾳ παρέδωκε. πλῆθος δὲ ἀθλοφόρων, ταύτην ἠξίωσε, φέρειν μιμουμένους τὰ αὐτοῦ σεπτὰ παθήματα.

Ὁ Εἱρμός.

„ Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ
„ τολμᾷ, Ἀγγέλων ἀτενίσαι τὰ
„ τάγματα. διὰ σοῦ δὲ Πανάγνε ὡράθη βρο-
τοῖς,



Digitized by Google

„ τοῖς, Λόγος σεσαρκωμένος. ὃν μεγαλύ-
„ νοντες, σὺν ταῖς οὐρανίαις στρατιαῖς σὲ
„ μακαρίζωμεν.

Καὶ εἰς τὴν Λειτουργίαν ὡς σύνηθες.

Τῷ αὐτῷ Μηνὶ Κ΄.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἀρτεμίου.

Στ. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Οὐρανίαις ἐλλάμψεσι, φωτισθεὶς τὴν διάνοιαν, τὰ τῆς πλάνης ἔφυγες σκότος ἔνδοξε. καὶ τῷ φωτὶ προσεπέλασας, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. καὶ ταῖς χάρισιν αὐτοῦ, καταυγάζεις τὰ πέρατα. διὸ πρέσβευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀσέβαστον μνήμην σου.

Ἐπιπνοίᾳ τοῦ Πνεύματος, μυηθεὶς γνῶσιν ἔνθεον, τὸν τῶν ὅλων κτίστην ἔγνως Ἀρτέμιε. καὶ τοὺς τῇ κτίσει λατρεύοντας, πανσόφως διήλεγξας. καὶ ὡδήγησας λαοὺς, εἰς Θεοῦ τὴν ἐπίγνωσιν. δι᾽ ὃν ἤθλησας, καὶ τὸ στέφος ἐδέξω τῶν καμάτων, λυτρωθῆναι ἱκετεύων, διαφθορᾶς τοὺς ὑμνοῦντάς σε.

Πολυτρόποις κολάσεσι, χαλεπαῖς μαστιγώσεσι, παραδοὺς αἰκίζεσθαι τὸ πολύαθλον, καὶ καρτερώτατον σῶμά σου, θεόφρον Ἀρτέμιε, οὐκ ἠρνήσω τὸν Χριστὸν, οὐ ξοάνοις ἐπέθυσας. ἀλλ᾽ ὑπέμεινας, ὥσπερ πάσχοντος ἄλλου ἀνάμενων, τὰς μελλούσας ἀντιδόσεις, καὶ τὴν ἀθάνατον εὔκλειαν.

Δόξα. Ἦχος β΄. Τοῦ Στουδίτου.

Τὸν νοερὸν φωστῆρα τῆς πίστεως, Ἀρτέμιον τιμήσωμεν, ὅτι ἤλεγξε Βασιλέα τὸν ἔχθιστον. καὶ τῷ αἵματι τοῦ μαρτυρίου αὐτοῦ, τὴν Ἐκκλησίαν Θεοῦ ἐπορφύρωσεν. ὅθεν καὶ ἀπέλαβε, τῶν ἰαμάτων τὴν χάριν τὴν ἄφθονον, τοῦ ἰᾶσθαι τὰς νόσους, τῶν πιστῶς προστρεχόντων, ἐν τῇ σορῷ τῶν λειψάνων αὐτοῦ.

Καὶ νῦν. Θτ. Ὅτι ἐκ τοῦ ξύλου σε.

Σκέπη, καὶ ἀντίληψις ἡμῶν, τῶν Χριστιανῶν σὺ ὑπάρχεις, καὶ προσφυγὴ κραταιὰ, Μήτηρ τοῦ Θεοῦ ἡμῶν. ἀλλὰ καὶ νῦν καὶ ἀεὶ, τῇ ἀγρύπνῳ δεήσει σου, μὴ παύσῃ πρεσβεύειν, σώζεσθαι τοὺς δούλους σου, ἐκ περιστάσεως, πάντας ὅτι σὲ μετὰ Θεὸν, ἔχομεν ἀντίληψιν μόνην, οἱ Χριστιανοὶ καὶ καταφύγιον.

Σταυροθεοτ. Ὅμοιον.

Ὅτε ἡ παμάμωμος ἀμνὰς, ἄρνα τὸν αὐτῆς ἐθεώρει, ἑλκόμενον πρὸς σφαγὴν, θρήνοις ἐνεκόπτετο, βοῶσα ὀλολυγμοῖς. τί σοι δῆμος ἀχάριστος, γλυκύτατον τέκνον, πάλαι ἀνταπεδωκεν, ὁ ἀπολαύσας σου, οἴμοι τῶν πολλῶν δωρημάτων; πῶς δὲ καὶ τὸν πόνον ὑποίσω; ὅτι θέλων ταῦτα νῦν ὑφίστασαι.

Εἰς τὸν στ. τὰ τῆς Ὀκτωήχου.

Ἀπολυτ. Ἦχος δ΄. Ὁ Μάρτυς σου Κύριε.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. Οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου, εἰς ς΄.

Ὠδὴ α΄. Ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε.

Τὸν ἀγῶνα Μάρτυς τὸν καλὸν, ὡς ἀγωνισάμενος, καὶ τοὺς λαμπροὺς στεφάνους κομισάμενος, τῷ φωτὶ παρίστασαι, φωτιζόμενος κατὰ μέθεξιν ἄϋλον. ὅθεν δυσωποῦμεν, φώτισον ἡμᾶς ταῖς ἱκεσίαις σου.

Ἡ φαιδρά σου, Μάρτυς ἑορτὴ, πάντας συνεκάλεσε, χαρμονικῶς εἰς πανδαισίαν σήμερον, προθεῖσα τοὺς ἄθλους σου, τὰ παλαίσματα, τὴν ἀνδρείαν τὴν ἔντασιν. ὧν κατατρυφῶντες, πίστει σε καὶ πόθῳ μακαρίζομεν.

Νεκρωθεὶς τὰ μάκαρ ἐν σταυρῷ, τὸν ἀκατανόητον, σωματικῶς κατανοήσας Κύριον, τῆς ζωῆς τὸν αἴτιον, ἐθελούσιον ἐπεπόθησας νέκρωσιν, τὴν διὰ βασάνων. ὅθεν ἀθανάτου δόξης ἔτυχες.

Θεοτ.

Σαρκωθεὶς ἐκ σοῦ θεοπρεπῶς, Λόγος ὁ ἀσώματος, ὑπερβολῇ φιλανθρωπίας πάναγνε, πάθει προσωμίλησε, καὶ ἀπάθειαν τοῖς ἀνθρώποις ἐπήγασεν, ὁ δεδοξασμένος Κύριος· ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ΄. Ἐξήνθησεν ἡ ἔρημος.

Μαρτύρων καλλωπίζεσθαι, τοῖς στεφάνοις ἔνδοξε, ἐπιποθῶν ὑπήνεγκας, τῶν μαστίγων καὶ τῶν στρεβλώσεων, τὰς πικρὰς ἀλγηδόνας θείᾳ χάριτι.

Οὐκ

Οὐκ ἔσεισε τὸν πύργον σου, τῆς καρδίας παρέσαφε, ἡ σφοδροτάτη πρόσρηξις, τῶν βασάνων· καὶ γὰρ ἐστήρικτο, μονὴν ἐπὶ πέτραν τὴν ἀσάλευτον.

Τ' κόφῳ ἀναπτομένας, καὶ νιφάσι πάντοθεν, τῶν στεναγμῶν κυκλουμένας, σοῦ τὸ ὄμμα πρὸς τὸν δυνάμενον, ἐνητένιζες σώζειν ἀξιώγας σε. Θεοτοκίον.

Σεσάρκωται βουλήματι, τῶν αἱμάτων Δέσποινα, σοῦ παναχράντων Κύριος, διασώζων τὴν ἀνθρωπότητα, καὶ Μαρτύρων τοὺς δήμους ἐπεσπάσατο. Ὁ Εἱρμός.

„Ἐξηνθήσεν ἡ ἔρημος, ὡσεὶ κρίνον Κύριε, ἡ τῶν ἐθνῶν στεῖρα Ἐκκλησία τῇ παρουσίᾳ σου, ἐν ᾗ ἐστερεώθη ἡ καρδία μου.

Κα. Ἦχος δ'. Ὁ ὑψωθείς.

Τὸν στρατιώτην τοῦ Χριστοῦ τὸν ἀήττητον, καὶ καθαιρέτην τοῦ ἐχθροῦ γενναιότατον, τὸν ἐν μεγίστοις τέρασιν ἐκλάμψαντα, ἅπαντες Ἀρτέμιον, εὐφημήσωμεν πίστει. βρύει γὰρ ἰάματα, τοῖς προστρέχουσι πόθῳ. καὶ καταπαύει πάθη χαλεπά, καὶ τῶν ἐν θλίψει ἀνθρώπων προΐσταται.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θτ. Ὅμοιον.

Ὁ ἐπὶ θρόνου Χερουβὶμ καθεζόμενος, καὶ ἐν τοῖς κόλποις τοῦ Πατρὸς αὐλιζόμενος. ὡς ἐπὶ θρόνου κάθηται ἁγίου αὐτοῦ Δέσποινα ἐν κόλποις σου, σαρκικῶς ὁ Θεός γάρ, ὄντως ἐβασίλευσεν, ἐπὶ πάντα τὰ ἔθνη. καὶ συνετῶς νῦν ψάλλομεν αὐτῷ· ὃν ἐκδυσώπει σωθῆναι τοὺς δούλους σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἐξ ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα, ἡ ἐπ' ἐσχάτων σε σαρκὶ τετοκυῖα, ἐπὶ σταυροῦ κρεμάμενον ὁρῶσά σε Χριστέ, οἴμοι ποθεινότατε, Ἰησοῦ ἀνεβόα· πῶς ὁ δοξαζόμενος, ὡς Θεὸς ὑπ' Ἀγγέλων, ὑπὸ ἀνόμων νῦν βροτῶν Υἱέ, θέλων σταυροῦσαι, ὑμνῶ σε μακρόθυμε.

Ὠδὴ δ'. Ἐλήλυθας.

Μεμιμημένος, τὸν ταθέντα ἐν ξύλῳ θελήματι, ὑψώθης τειμόμενος, καὶ ὡλοτάτως ἐρώμενος, καὶ ἀποδυόμενος, τοὺς δερματίνους χιτῶνας τῆς νεκρώσεως.

Οἱ πόνοι σου, τῆς σαρκὸς καὶ δεινῶν ἡ ἐπίτασις, τὴν ἄπονον λῆξίν σοι, Μάρτυς, σαφῶς προεξένησαν, ἧς νῦν ἐμφορούμενος ἅπαντα πόνον κουφίζεις τῶν ψυχῶν ἡμῶν.

Ἐσαγγέλῳ, γενομένῳ τῶν ἄθλων λαμπρότητι, χειρὸς δι' ἀγγέλου σοι, πέμπει τροφὴν τὴν οὐράνιον, ἄρτος ἡ ζωὴ ἡμῶν, ἀνδρωνεύσαντι σε Μάρτυς πανοίδιμε.

Θεοτοκίον.

Παρθένον σε, μετὰ τόκον ἀμίαντε ἄφθορε, Θεὸς συνετήρησεν, ὁ εὐδοκήσας ἐν μήτρᾳ σου, ὅλον με τὸν ἄνθρωπον. ἀναλαβέσθαι δι' ἄκραν ἀγαθότητα.

Ὠδὴ ε'. Μεσίτης Θεοῦ.

Λαμπὰς φαταυγής, καθωράθης Πνεύματος Ἀρτέμιε, πιστοῖς [illegible]ταυγάζουσα. καὶ τῆς πονηρίας ἀπελαύνουσα, τὸ ζοφῶδες καὶ σκότους, πεπληρωμένα πνεύματα.

Ὀ πέτρᾳ ζωῆς, τῆς ψυχῆς τὰ βήματα πηξάμενος· ταῖς πέτραις σφιγγόμενος, καὶ τοῖς ἀλγεινοῖς περικυκλούμενος. ἀληθὴς ἀθλοφόρος, ἀκλόνητος διέμεινας.

Ὑπάρχων σεπτῶς, ὡπλισμένος Πνεύματος δυνάμεσι. τριβόλων ὀξύτητος, Μάρτυς ἀθλοφόρε κατεφρόνησας. ἐν αὐτοῖς συμπατήσας, τὰ κέντρα τοῦ ἀλάστορος.

Θεοτοκίον.

Σταυρὸν καὶ ταφήν, ὁ ἐκ σοῦ θελήματι τεχθεὶς δι' ἡμᾶς, ὑπομείνας Δέσποινα, Μάρτυρα στερρότατον Ἀρτέμιον, τῶν αὐτοῦ παθημάτων, ὡς κραταιὸς εἰργάσατο.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἱερεῖον καὶ θῦμα ὁλόκληρον, Μάρτυς προσενήνοχας σαυτὸν Ἀρτέμιε, τῷ ἐκούσιαν σταύρωσιν, εἰς ἡμῶν δεξαμένῳ ἀνάκλησιν.

Ἀμειδότοις πληγαῖς συντριβόμενον, σῶμά σου Ἀρτέμιε τὸ καρτερώτατον, τὴν ψυχὴν ἄτρεπτον, διετήρεις τῇ πίστει ἀλώβητον.

Νοσημάτων ἡμᾶς ἀπολύτρωσαι, Μάρτυς πειρασμῶν καὶ παθῶν τε καὶ θλίψεων, τοὺς ἐπὶ σοὶ προστρέχοντας, μιμητὰ τοῦ Σωτῆρος Ἀρτέμιε.

Digitized by Google

Θεοτοκίον.

Χειμαζόμενον σάλῳ τῶν θλίψεων, καὶ κλυδωνιζόμενον ἐπαναστάσεσι, τρικυμιῶν διάσωσον, Θεοτόκε Παρθένε τοὺς δούλους σου.

Ὁ Εἱρμός.

„Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος „τὴν ἀνεξιχνίαστον, τῆς εὐσπλαγ-„χνίας σου, ἐπικαλοῦμαι ἄβυσσον. ἐκ „φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Κοντάκιον. Ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Τὸν εὐσεβῆ καὶ στεφηφόρον Μάρτυρα, τὸν κατ' ἐχθρῶν νίκης ἀράμενον τρόπαια, συνελθόντες ἐπαξίως ἐν ὑμνῳδίαις εὐφημήσωμεν, Ἀρτέμιον τὸν μέγιστον ἐν μάρτυσι, θαυμάτων τε δοτῆρα πλουσιώτατον. πρεσβεύει γὰρ Κυρίῳ ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Τίς τοὺς ἀγῶνας ἐξαρκέσει ἐξειπεῖν ἀθλοφόρε; ἢ τοὺς πόνους τοὺς σοὺς, ὥσπερ ἀνδρείως ὑπέμεινας διὰ τῆς πίστεως τοῦ Κυρίου; καὶ τῆς χάριτος ἧς περ κατηξιώθης, οὐκ ἐξαρκεῖ διηγήσασθαι στόμα ἀνθρώπινον. σοφίαν γὰρ ἐνδεδυμένος καὶ ἀνδρείαν, τὸν πλοῦτον ἐμίσησας καὶ τὴν ἀξίαν τὴν πρόσκαιρον, στρατηγός τε φανεὶς γενναιότατος. Πρεσβεύεις γὰρ Κυρίῳ ὑπὲρ πάντων ἡμῶν.

Τῷ αὐτῷ Μηνὶ Κ'. Τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἀρτεμίου.

Στ. Ὁ πάντα λαμπρὸς Ἀρτέμιος ἐν βίῳ,
Τμηθεὶς ἀπῆλθεν εἰς ὑπέρτατον κλέος.
Εἰκάδι Ἀρτέμιος πυκινόφρων αὐχένα τμήθη.

Οὗτος ὁ μακάριος Ἀρτέμιος, Δοὺξ καὶ Αὐγουστάλιος Ἀλεξανδρείας γενόμενος, καὶ Πατρίκιος τιμηθεὶς ὑπὸ τοῦ μεγάλου Βασιλέως Κωνσταντίνου. τοῦ δὲ ἀποστάτου Ἰουλιανοῦ δραξαμένου τὴν Βασιλείαν, καὶ τοὺς Χριστιανοὺς τιμωρουμένου ἐν Ἀντιοχείᾳ, αὐτόκλητος εἰς τὸν ἀγῶνα ὁ μακάριος ἔρχεται. καὶ τὴν παρανομίαν αὐτοῦ διελέγξας, τύπτεται βουνεύροις ὤμοις, καὶ τριβόλοις ὀξέσι τὸν νῶτον ξέεται, καὶ ὀγκίνοις τὰς πλευρὰς καὶ τὰ βλέφαρα διαπείρεται, καὶ ὑπὸ λιθοξόων μεγίστης πέτρας διαιρεθείσης, μέσον ἐμβάλλεται, καὶ τῆς πέτρας μέσον ἀπολειφθεὶς, ὀφθαλμῶν στερεῖται, τὰ ἔγκατα τῇ γῇ συνελαύνεται. καὶ τελευταῖον, τὴν διὰ ξίφους δέχεται τελευτήν.

Ἐκ τῶν θαυμάτων τοῦ Ἁγίου μερικὴ διήγησις.

Ἀνήρ τις διδύμους ἔχων λίαν ἐξωγκωμένους, ἦλθε πρὸς τὸν ἅγιον κλαίων, καὶ τὴν ὑγείαν ἐπιζητῶν. ἔπεσεν δὲ ὡς ῥυπῶν μέσον τοῦ ναοῦ, καὶ μικρὸν ἀφυπνώσας, λέγει πρὸς αὐτὸν ὁ ἅγιος, ὑπόδειξόν μοι τὸ πάθος σου. ὁ δὲ, ἐσχημάτισεν ἑαυτὸν εἰς ὑπόδειξιν. καὶ τοῦ ὄγκου τῶν διδύμων ταῖς ἀμφοτέραις χερσὶν ἀφυῶς περιδραξάμενος, ἔσφιξεν ὅσης δυνάμεως εἶχεν. ὁ δὲ ἄνθρωπος μεγάλως ὀδυνηθεὶς, καὶ τὸ Οὐαὶ ἀνακράξας, ἔξυπνος γενόμενος, εὗρεν ἑαυτὸν ὑγιῆ, δοξάζων καὶ εὐλογῶν τὸν Θεόν.

Ἕτερος δὲ πάλιν κήλας ἔχων δύω ἐν τοῖς διδύμοις, ἐλθὼν πρὸς τὸν Ἅγιον, καὶ παννυχεύσας, ἀνεκλίθη πρὸς ὕπνον, καὶ φανεὶς αὐτῷ ὁ Ἅγιος, καὶ τὸ πάθος γυμνώσας, καὶ ψηλαφήσας ταῖς χερσὶ, κατεσφράγισεν αὐτὸν, καὶ νύξας τὴν πλευρὰν αὐτοῦ, ἀπῆλθεν. ὁ δὲ ἄνθρωπος ἔξυπνος γενόμενος, εὗρεν ἑαυτὸν ὑγιῆ.

Ἕτερος δὲ πάλιν ὑδροκήλην ἔχων μεγάλην, τῷ ἁγίῳ προσῆλθε. καὶ τούτῳ κατὰ τοὺς ὕπνους ὁ Ἅγιος μετὰ ξίφους τὸ πάθος περιχίσας, δυσωδίαν οὐ μικρὰν τοῦ ὑγροῦ κενωθέντος προσέφερεν. ἔξυπνος δὲ γενόμενος ὁ ἄνθρωπος, εὗρε μὲν ἑαυτὸν ὑγιῆ, τοὺς δὲ χιτῶνας αὐτοῦ, καὶ τὸ ἔδαφος, δυσωδίας καὶ σηψεως πολλῆς καὶ ὑγρότητος γέμοντα.

Ἄλλος δὲ πάλιν νεωστὶ ἀπὸ Ἀφρικῆς ἐλθὼν, τὸν κατάλογον τῶν θαυμάτων τοῦ Ἁγίου ἀπό τινος διηγουμένου ἠκροάσατο. καὶ ἐν τῇ Ἀφρικῇ συγγενῆ κεκτημένος, βάρει τῶν διδύμων τὸ ζῆν ἀπολεγόμενον, ἀδιστάκτως πιστεύσας, καὶ τὰ πρὸς παννυχίδα ἐπιτήδεια συλλέξας, ἔδραμε πρὸς τὸν Ἅγιον, καὶ πληρώσας τὴν παννυχίδα, καὶ ἔλαιον ἐκ τῆς φωταγωγοῦ λαβὼν, ὑπέστρε-

Digitized by Google

στρέψαι αὐθωρεὶ προσδεχθεὶς καταμένων ἦν. ὁ δὲ Ἅγιος τῇ νυκτὶ ἐκείνῃ καταλαβὼν τὴν Ἀφρικὴν, καὶ τῇ κλίνῃ τοῦ πάσχοντος ἐπιστὰς, φησὶ πρὸς αὐτόν. ἐπειδὴ ὁ σὸς συγγενὴς περὶ σοῦ ἐν τῷ Βυζαντίῳ με ἠξίωσεν, ἔσο ἀπὸ τοῦ νῦν ὑγιής. ὁ δὲ διυπνισθεὶς, εὗρεν ἑαυτὸν ἐν ἀληθείᾳ ὑγιῆ, καὶ τῷ παντοκράτορι Θεῷ ἐδίδου δόξαν. μηνυθεὶς δὲ παρά τινος τὸ τοῦ θαύματος γεγονὲν ἐξαίσιον, τὴν ἡμέραν σημειωσάμενος, καὶ τῷ μηνυθέντι προσγενεῖ τὴν αὐτοῦ ὑγείαν δηλώσας, ἐξέπληξε τοῦτον ἀκούσαντα. ὅτι ἐν αὐτῇ τῇ νυκτὶ, ἐν ᾗ ἡ παννυχὶς ἐγένετο ἐν τῷ Βυζαντίῳ, ἐν Ἀφρικῇ τὸν νοσοῦντα ἰάσατο, καὶ δραμὼν πρὸς τὸν Ἅγιον αὖθις, ἀξίαν ἐδίδου τὴν εὐχαριστίαν, καὶ τοῖς παροῦσι τὸ θαῦμα ἐκδιηγούμενος, γράφει παραυθὺς τῷ ἰαθέντι, τήν τε Ἀκολουθίαν τοῦ πράγματος, καὶ τὸ τοῦ Ἁγίου ὄνομα.

Ἕτερος πάλιν ἐν τοῖς αὐτοῖς παιδογόνοις βάρει οὐ φορητῷ πιεζόμενος, καὶ προσμένων τῷ τοῦ Ἁγίου Ναῷ, οὐ μικρῶς ὤχλει τὴν ἴασιν ἐπιζητῶν. ὁ δὲ Ἅγιος φανεὶς, λέγει πρὸς αὐτόν· ἄπελθε εἰς τὸν χαλκέα Ἰωάννην τὸν γειτονοῦντά σοι, καὶ τῆς κήλης σου τῷ ἄκμωνι τούτου ἐπιτεθείσης, αὐτὸς ἐκπυρώσας τὴν σφῦραν, καὶ δοὺς αὐτὴν μετὰ δυνάμεως εὐθέως ἰάσεταί σε. τοῦ δὲ, πρὸς τὴν ὀπτασίαν πάσχοντος, καὶ μὴ βουλομένου τοῦτο ποιῆσαι, ὁ Ἅγιος αὖθις αὐτῷ τὰ αὐτὰ ἐπισκήπτει. ὁ δὲ, καὶ ἔτι ἐδυσχέραινε. καὶ πάλιν φανεὶς ὁ Ἅγιος, ἔφη αὐτῷ· πίστευσόν μοι ἀδελφὲ, εἰ μὴ ποιήσεις ὅπερ σοι εἶπον, οὐκ ἄν ποτε ἰαθήσῃ. ὁ δὲ, μὴ θέλων, προσῆλθεν ἐξ ἀνάγκης τῷ χαλκεῖ. καὶ τῆς κήλης ἐπιτεθείσης τῷ ἄκμωνι, τῇ καταβάσει τῆς πεπυρωμένης σιδηρᾶς σφύρας, ἐπεὶ καὶ συνεστάλη πρὸς ἑαυτὸν, ἀφανὲς τὸ πάθος γέγονεν. ἐφ᾽ ᾧ τὸν ἄκμωνα καὶ μόνον ὑπὸ τῆς σφύρας κρουσθῆναι. κἀκεῖνοι τὸ παράδοξον ἐκπλαγέντες τοῦ θαύματος, δόξαν καὶ εὐχαριστίαν τῷ Θεῷ τῷ δοξάσαντι τὸν Μάρτυρα ἀνέπεμψαν.

Ἀλλὰ καὶ ἐκ πίστεώς τις κηροὺς λαβὼν καὶ ἔλαιον, τὴν πρὸς τὸν Ἅγιον διώδευε τρίβον, καὶ διερχόμενος, ἠρωτήθη παρά τινος τῶν τὴν ῥαπτικὴν τέχνην μετερχομένων, ποῦ πορεύῃ προσφιλέστατέ μοι, κηροὺς φέρων καὶ ἔλαιον; τοῦ δὲ, περιπαθῶς φήσαντος· εἰς τὸν Ἅγιον Ἀρτέμιον ἀπέρχομαι λειτουργήσων. μικρὸν ἐκείνου παρελθόντος ἀνέκραξεν ὁ ῥάπτης γελοίως λέγων. ὁ δεῖνα, ὑποστρέφων φέρε μοι μίαν κήλην. ὁ δὲ, ἀφικόμενος πρὸς τὸν Ἅγιον, καὶ τὴν Θείαν ἐκτελέσας Μυσταγωγίαν, ὑπέστρεφεν οἴκαδε. ἐν ὅσῳ δὲ τὴν προκειμένην αὐτῷ τρίβον ὥδευε, καὶ οἱ δίδυμοι τούτου ὑποχαλᾶν κάτω ἤρξαντο, καὶ διὰ τοῦ διαστήματος, δι᾽ οὗ τὸν προσφιλῆ ῥάπτην καταλαβεῖν ἔμελλε, τούτων ἐξογκωθέντων, μόλις ἠδυνήθη πρὸς αὐτὸν ἀφικέσθαι. καὶ ἐπεὶ ἄφωνος καὶ σχεδὸν ἄπνους ἦν, καὶ εἰς λόγους καὶ μάχας ἄμφω τὰ μέρη γεγόνασιν, ἐξ αἰτίας τοῦ γέλωτος τὴν κήλην τῷ ῥάπτῃ ἀποκομίσαι, τοῦ παθόντος ἐνισταμένου τηλικούτῳ βάρει πάθους ὑποπεσεῖν, καὶ διαβεβαιοῦντος, μὴ ἄλλως παθεῖν, εἰ μὴ τὰ ληρώδη ἐκεῖνα καὶ γέλωτος ἄξια ἐξεφωνήθησαν ῥήματα. καὶ τούτων οὕτω διαμαχομένων, καὶ τῶν παρευρεθέντων πυνθανομένων μαθεῖν περὶ τῆς μάχης, τοὺς διδύμους ἔχων βεβαρυμένους, διηγούμενος τὸν τρόπον καὶ τὴν αἰτίαν τοῦ πάθους, εἰς βεβαίωσιν τούτου καὶ τῆς ἀληθείας, κουφίσας ἃ ἐνεδέδυτο μετὰ θυμοῦ πρὸς τὸ ὑποδειχθῆναι τοῖς ὁρῶσιν ὃ πέπονθε διὰ τῆς ἐπιλαλιᾶς τοῦ ῥάπτου, εὗρεν ἑαυτὸν, ὑγιῆ. ὁ δὲ ἑταῖρος αὐτοῦ ῥάπτης τὸ οὐαὶ ἀνακράξας, ὑπέδειξε πᾶσι τὴν ἀθρόως ἐξόγκωσιν ἐπελθοῦσαν τῶν διδύμων. πάντες δὲ οἱ παρευρεθέντες τὴν ἀθρόαν μεταβολὴν καὶ διάβασιν εἰς ἐκεῖνον ἰδόντες τοῦ πάθους, ἔκθαμβοι γεγόνασιν. ἀνέπεμψαν δὲ τῷ Θεῷ καὶ τῷ θεράποντι αὐτοῦ τὴν εὐχαριστίαν, τῷ δὲ ἀναδεξαμένῳ τὸ πάθος, θάρσει ἔλεγον, καὶ μὴ λυποῦ ἀδελφὲ, δικαία ἡ κρίσις τοῦ Θεοῦ. ὃ γὰρ ἐζήτεις, ἔλαβες.

Ταῖς αὐτοῦ Ἁγίαις πρεσβείαις.



Digitized by Google

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

Ἀήττητον φρόνημα, ἀρραγεστάτην, ψυχῆς καρτερότητα, Ἀρτέμιε κτησάμενος, ἐχθρῶν πανουργεύματα, Μάρτυς κατήργησας, μέλπων ἐμμελέστατα. ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ῥοαῖς τῶν αἱμάτων σου, τὴν ἐπηρμένην, βασάνων κατέσβεσας, πυρὰν θεομακάριστε. καὶ δρόσῳ τοῦ Πνεύματος περιχεόμενος, χαίρων ἀνεκραύγαζες. ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ἰάσεων χάριτας, ἀναπηγάζων, παθῶν ὑπεκκαύματα, σβεννύεις θείᾳ χάριτι. διώκεις δὲ πνεύματα ἐπιστασίας σου, ἔνδοξε Ἀρτέμιε. διὸ μεγαλοφώνως σε μακαρίζομεν. Θεοτοκίον.

Νεκροῖς τὸν πηγάσαντα, ἀθανασίαν, Παρθένε Πανάμωμε, θεοπρεπῶς ἐκύησας. αὐτὸν οὖν ἱκέτευε, τοῦ θανατῶσαι ἡμῶν τὰ πάθη, τοῦ σώματος Ἁγνὴ, καὶ αἰωνίου καταξιῶσαι ζωῆς.

Ὠδὴ η'. Κάμινος ποτέ.

Μάστιξι σφοδραῖς, Ἀρτέμιε τὸ σῶμα, ἐκδαπανώμενος ὑπήνεγκας, ἀναποσκοπούμενος, τὴν ἀντίδοσιν τὴν μέλλουσαν. ἣν νέμει σοι κραυγάζοντι, ἔνδοξε ὁ δεσπότης, ὁ δι' αὐτὸν πάσχων Ἅγιε.

Αἵμασι τοῖς σοῖς, ἡ γῆ καθηγιάσθη, καὶ ἰατρεῖον ἀναδέδεικται, σῶμα τὸ πολύαθλον, πᾶσαν νόσον πᾶσαν κάκωσιν, πᾶσαν δαιμόνων πάντοτε, βλάβην ἀποδιῶκον, σοὶ προσφθεγγόντων Ἀρτέμιε.

Κόσμος ἀθλητῶν, ἐδείχθης τῷ ἐν Κόσμῳ, ἀσεβοφρόνως ἀπωσάμενος, καὶ τὰ ὑπερκόσμια, βραχυτάτῳ ἐξωνούμενος, τιμίῳ σου Ἀρτέμιε, αἵματι ἀνακράζων. πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἄκλυστος λιμὴν, χειμαζομένοις ὤφθης, καὶ θαλαττεύουσιν ἑκάστοτε, κινδύνοις καὶ θλίψεσι, καὶ παθήμασιν Ἀρτέμιε. ἐν ᾧ διασωζόμενοι, χάριτι ἀνυμνοῦμεν, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Ῥεύσαντας ἡμᾶς, πικρᾷ τοῦ ξύλου βρώσει, καὶ συμπτωθέντας ὀλισθήματι, Πάναγνε ἀνέπλασας, πλαστουργὸν ἀποκυήσασα, καὶ Λόγον ἐνυπόστατον, ἄχραντε ᾧ βοῶμεν. πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον. Ὁ Εἱρμός.

„ Κάμινος ποτὲ, πυρὸς ἐν Βαβυλῶνι,
„ τὰς ἐνεργείας διεμέριζε, τῷ Θείῳ
„ προστάγματι. τοὺς Χαλδαίους καταφλέ-
„ γουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα ψάλλον-
„ τας. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
„ τὸν Κύριον.

Ὠδὴ θ'. Ἀνάρχου Γεννήτορος.

Ἰδεῖν ἐφιέμενος, τὰ κάλλη τὰ οὐράνια. τὰ φαινόμενα Κόσμου κάλλη παρέδραμες, καὶ καλλοποιΐᾳ τῶν ἄθλων ὡραιωθεὶς, Ἀρτέμιε Μάρτυς, καλῶν τὸ ἀκρότατον, εὐφραινόμενος κατείληφας.

Ὡς ὄρθρος ὡς ἥλιος, ἡ μνήμη σου φωτίζουσα, τῶν πιστῶν τὰς καρδίας μάκαρ ἀνέτειλε. σὺ γὰρ καὶ φωτὸς καὶ ἡμέρας, φωτοειδὴς ὤφθης κληρονόμος, σκεδάζων Ἀρτέμιε, τὴν ὁμίχλην τῶν ψυχῶν ἡμῶν.

Σκιρτήσωμεν σήμερον, πνευματικῶς χαίροντες, Ἀρτεμίου τὴν μνήμην τοῦ θείου Μάρτυρος, ψάλλωμεν Θεῷ ἐν αἰνέσει, τῷ θαυμαστῷ, ὄντι ἐν ἁγίοις, καὶ καθαγιάζοντι, τοὺς ἐν πίστει τοῦτον σέβοντας.

Ἡ θήκη σου βρύουσα, ἀπαύστως τὰ ἰάματα, τοὺς πιστοὺς προσκαλεῖται πόθῳ ἀρρύσασθαι, εἰς σωματικὴν εὐρωστίαν, εἰς ψυχικὴν, ὄντως σωτηρίαν, παμμάκαρ Ἀρτέμιε, πρεσβεύοντα τῶν εὐφημούντων σε. Θεοτοκίον.

Φωτί με καταύγασον, τοῦ σοῦ προσώπου Κύριε, ῥαθυμίας τῷ σκότει συγκαλυπτόμενον, ἔχων δυσωποῦσάν σε Λόγε, τὴν ἀληθῆ, Ἁγνὴν σου Μητέρα, Ἀγγέλων λαμπρότητας, καὶ τὸν ἔνδοξον Ἀρτέμιον. Ὁ Εἱρμός.

„ Ἀνάρχου Γεννήτορος, Υἱὸς Θεὸς καὶ
„ Κύριος, σαρκωθεὶς ἐκ Παρθένου,
„ ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα φωτί-
„ σαι, συναγαγεῖν τὰ ἐσκορπισμένα. διὸ
„ τὴν πανύμνητον Θεοτόκον μεγαλύ-
„ νομεν.



Digitized by Google

Ἐξαπος. Τοῖς Μαθηταῖς.

Παρεστηκὼς Ἀρτέμιε, τῇ Ἁγίᾳ Τριάδι, καὶ ἀστραπαῖς λαμπόμενος, ταῖς ἐκεῖθεν πλουσίως, ἐξ Οὐρανοῦ ἐποπτεύσεις, τοὺς τιμῶντάς σε πόθῳ, Μεγαλομάρτυς ἔνδοξε, συμμαχῶν θείοις ὅπλοις, ὡς τοῦ Χριστοῦ, στρατιώτης ἄριστος ἀθλοφόρε, τῷ Σταυροφόρῳ Ἄνακτι, κατ' ἐχθρῶν πολεμίων.

Θεοτοκίον.

Εὐλογημένη Πάναγνε, Θεοτόκε Παρθένε, Χριστιανῶν τὸ καύχημα, τῶν Ἀγγέλων ἡ δόξα, καὶ ἀθλοφόρων τὸ κλέος, κράτος τεῖχος καὶ σκέπη, καὶ ὀχυρὸν προπύργιον, φύλαξ τε καὶ προστάτις, καὶ βοηθὸς, ἐν κινδύνοις φάνηθι τοῖς σοῖς δούλοις, ἐν σοὶ γὰρ ἐγκαυχώμεθα, προστασία τοῦ Κόσμου.

Εἰς τὸν στ. π. τῆς Ὀκτωήχου.

Εἰς τὴν Λειτουργίαν, ἡ Ἀκολουθία εἰς Μεγαλομάρτυρας πάντας.

---

Τῷ αὐτῷ Μηνὶ ΚΑ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἱλαρίωνος τοῦ Μεγάλου. Στ. Ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ ἱλαρὸν τὴν ψυχὴν καὶ τὴν καρδίαν, ὅτε σε ὁ ἔνθεος ἔρως κατέτρωσε, καὶ ἱεραῖς ἀναβάσεσιν, ἐπαναστῆναι, τῶν κοσμικῶν σε θορύβων ἔπεισε. τότε ὁπλισάμενος σταυροῦ τὴν δύναμιν, κατὰ δαιμόνων ἐχώρησας, παμμάκαρ πάλης, καὶ ἀνεπλέξω νίκης διάδημα, καὶ νῦν αὐλίζῃ ταῖς λαμπρότησι, τῶν ἁγίων μεθ' ὧν ἡμῖν, αἴτησαι, φωτισμὸν καὶ εἰρήνην, καὶ πταισμάτων ἀπολύτρωσιν.

Ταῖς φωτοβόλοις ἀκτῖσι παραδόξως, Πάτερ ἀξιάγαστε τῶν ἰαμάτων σου, φωταγωγεῖς τὴν ὑφήλιον, τῶν νοσημάτων, διασκεδάζων σκότος βαθύτατον. ἐντεῦθεν σε Ἥλιον ἄλλον γνωρίζομεν, καὶ μοναζόντων ἑδραίωμα, καὶ ποδηγέτην τῶν σωζομένων Θείῳ ἐν Πνεύματι, καὶ νῦν τὴν μνήμην ἐκτελοῦμέν σου, τὴν φωταυγῆ καὶ σωτήριον Ὅσιε, Ἱλαρίων πταισμάτων, διὰ σοῦ λύσιν λαμβάνοντες.

Αἱ ἐγκρατείας τοῦ σώματος τὰ πάθη, Πάτερ καθυπέταξας τῷ νοερῷ τῆς ψυχῆς, καὶ ἀπαθείας ταῖς πτέρυξι, κεκοσμημένος, χάριν ἐδέξω ἰᾶσθαι ὅσιε, ἀνθρώπων ἐν Πνεύματι τὰ ἀῤῥωστήματα, καὶ ἀπελαύνειν τὰ πνεύματα, τῆς πονηρίας, καὶ διασώζειν τοὺς προσιόντας σοι. ὅθεν χοροί σε μακαρίζουσι, μοναζόντων σοφὲ ἀξιάγαστε, καὶ τιμᾷ πᾶσα κτίσις, Ἱλαρίων τοὺς ἀγῶνάς σου.

Δόξα. Ἦχος β΄. Ἀνατολίου.

Ἐκ νεότητός σου φέρων τελειότητος φρόνημα, ὑπέθου σεαυτὸν Ἱλαρίων τῷ ζυγῷ τοῦ Χριστοῦ, καὶ τὸν βίον ζηλώσας τοῦ Θείου Ἀντωνίου, τοῖς ἴσοις μέτροις τῆς ἀρετῆς ἀφομοιούμενος. κατέτηξας τὴν σάρκα σκιρτῶσαν ὥσπερ πῶλον, ὡς ὄφελον τῇ ψυχῇ καθυποτάσσεσθαι, τὸν τῆς ἀσκήσεως δρόμον ἐξετέλεσας. ἀλλ' ὦ μακαριώτατε Πάτερ, καὶ θαυματουργὲ θεοφόρε, τοῖς τὴν μνήμην σου ἐκ πόθου τελοῦσιν, αἴτησαι ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Σταυροθ. Ὅτε ἐκ τοῦ ξύλου σε.

Ὅλην, τὴν ζωήν μου ἐν κακοῖς, καταδαπανήσας ὁ τάλας, νῦν κατελείφθην Ἁγνὴ, πάσης ὄντως ἔρημος, ἀγαθῆς πράξεως. προσεγγίζοντα βλέπων δὲ, τὸν θάνατον οἴμοι, τρέμω τὸ κριτήριον τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ, ὅπερ, ἐξελοῦ με Παρθένε, καὶ πρὸ τῆς ἀνάγκης ἐκείνης, Δέσποινα ἐπίστρεψον καὶ σῶσόν με. Σταυροθ. Ὅμοιον.

Ἄνθραξ, ὃν προεῖδεν ὁ κλεινὸς, πρώην Ἡσαΐας σαρκοῦται, ἐξ ἀπειράνδρου μητρὸς, νεύματι τοῦ φύσαντος αὐτὸν γεννήτορος, καὶ τεχθεὶς σφαγιάζεται, ἑκὼν ὁ τοῦ Κόσμου, αἴρων ἁμαρτήματα ἀμνὸς ὡς ἄμωμος. ὅθεν, ἡ ἀμνὰς καὶ Παρθένος, τοῦτον ἐν σταυρῷ καθορῶσα, λύπης τῇ ῥομφαίᾳ ἐτιτρώσκετο.

Εἰς τὸν στ. π. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος Πλ. δ΄.

Πνεύματος Ἁγίου πλήρης γενόμενος, ὁ Ὅσιος Ἱλαρίων, τὰς τῶν δαιμόνων

νων

Digitized by Google

γων ἐπινοίας κατήργησε. τῷ Σταυρῷ γὰρ ὁπλισάμενος, καὶ ἐν τούτῳ θαῤῥῶν, πάσας τὰς νόσους λόγῳ ἐθεράπευε, ψυχῶν μὲν, τὰ πάθη, σωμάτων δὲ, πᾶσαν μαλακίαν. αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ, κατάπεμψον καὶ ἡμῖν τὴν εἰρήνην σου, ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτ. Οἱ Μάρτυρές σου Κύριε.

Ἐγώ εἰμι τὸ ἄκαρπον, δένδρον Παμάμωμε, τὸ μὴ καρπεῦον καρπὸν σωτήριον. διὸ καὶ τρέμω τὴν ἐκτομὴν, μήπως βληθῶ, εἰς τὸ πῦρ τὸ ἄσβεστον ὁ ἄθλιος· ὅθεν σοι προσπίπτω τοῦτο ῥῦσαί με, καὶ καρποφόρον, δεῖξον ἄχραντε τῷ Υἱῷ σου, τῇ μεσιτείᾳ σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Οὐ φέρω τέκνον βλέπειν σε, τὸν τὴν ἐγρήγορσιν πᾶσι διδόντα, ξύλῳ ὑπνώσαντα, ὅπως τοὺς πάλαι, ἐκ παραβάσεως καρποῦ, ὕπνῳ ὀλεθρίῳ ἀφυπνώσαντας, θείαν καὶ σωτήριον ἐγρήγορσιν παράσχῃς, ἡ Παρθένος ἔλεγε θρηνῳδοῦσα· ἣν μεγαλύνομεν.

Ἀπολυτίκιον. Ἦχος Πλ. δ'.

Ταῖς τῶν δακρύων σου ῥοαῖς.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. Οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου, εἰς ϛ'.

Οὗ ἡ ἀκροστιχίς.

Τὸ φαιδρὸν ὑμνῶ, παμμάκαρ, σῶν θαυμάτων.

Ὠδὴ α'. Ἦχος β'. Ἐν βυθῷ.

Τὸν φωσφόρον καὶ φωτοειδῆ, βίον σου μακάριε, περιχαρῶς ἀφηνιάζειν προθυμούμενος, τῇ τῆς σῆς λαμπρότητος, ἱλαρότητι φαιδρυνθῆναί με πρέσβευε, καὶ τῆς ἁμαρτίας, Πάτερ τὴν κατήφειαν ἀπέλασον.

Ὁλοτρόπως μάκαρ τῷ Θεῷ, χαίρων προσεχώρησας, ἔξω σαρκὸς καὶ τοῦ Κόσμου γενόμενος, καὶ τὸν νοῦν ἀθόλωτον, τεταμένης δι' ἐγκρατείας ἐτήρησας, τὸ τῆς ἀπαθείας, ἔνθεον ἐντεῦθεν μνηστευσάμενος.

Φαεινοτάταις συνμαρμαρυγαῖς, περιαυγαζόμενος, τῆς ἀρχικῆς καὶ ἀκτίστου Θεότητος, πατρικῆς ἠλόγησας, ἀθείας καὶ πολυταράχου ἀγνοίας, ταύτης ἀπεστράφης, μόνῃ τῇ Τριάδι συντασσόμενος.

Θεοτοκίον.

Ἀνατείλας ἥλιος ἐκ σοῦ, μῆτερ ἀειπάρθενε, ὁ ἐκ Πατρὸς πρὸ αἰώνων μονούμενος, καὶ τῷ ὁρωμένῳ δὲ, παραδόξως περιγραφόμενος σώματι, τῷ τῆς ἀσεβείας, φέγγει τοὺς ἀνθρώπους κατεφώτισεν.

Ὠδὴ γ'. Ἐν πέτρᾳ με.

Γυμνούμενος παθῶν τὰς ἐπαναστάσεις, θεραπόντων ἀσκήσεσιν Ἱλαρίων, ἐμάστιγας ἀοίδιμε ἀνακράζων. οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλὴν σου Κύριε.

Δερματίνους νεκρώσεως τοὺς χιτῶνας, ἀπεξύσας τῷ ξίφει τῆς ἐγκρατείας. ἐνεδύσω ἱμάτιον σωτηρίου, βοῶν τῷ κτίστῃ σου. σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλὴν σου Κύριε.

Ῥωννύμενος ἐλπίδι τῶν αἰωνίων, καὶ Θεῷ προσαγόμενος θεοφόρε, παλάμαις τοῦ θεόφρονος Ἀντωνίου. ὃν ἐκμιμούμενος, φωστὴρ γεγένησαι, Ἱλαρίων θαύμασι, λάμπων Ὅσιε. Θεοτ.

Ὁ πάντα τῇ βουλήσει μόνῃ μορφώσας, τὸν ἄνθρωπον ἠξίωσε μορφωθῆναι, πλαττόμενος ἐν μήτρᾳ σου Θεομήτωρ. ᾧ νῦν κραυγάζομεν· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος, πλὴν σου Κύριε.

Ὁ Εἱρμός:

„Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας, ἐ„πλάτυνας τὸ στόμα μου ἐπ' ἐχθρούς „μου. εὐφράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ „ψάλλειν· οὐκ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡ„μῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν σου Κύριε.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἀντωνίου τοῦ θείου ἐζηλωκὼς, τὸν ἐνάρετον βίον πνευματικῶς, ἐπ' ὤμων σου ἔλαβες, τὸν Σταυρὸν τοῦ Κυρίου σου. καταλιπὼν τοῦ βίου, ἅπασαν τὴν μέριμναν, τῇ τῶν παθῶν νεκρώσει, τῷ Πνεύματι ἔζησας. ὅθεν καὶ τὴν κτίσιν, παραδόξων θαυμάτων, ἐπλήρωσας Ὅσιε, τῇ τοῦ Πνεύματος χάριτι, Ἱλαρίων

Digitized by Google

ρίων Πατὴρ ἡμῶν, πρέσβευε Χριστῷ τῷ Θεῷ.

Δόξα. τὸ αὐτό. Καὶ νῦν. Θεοτ. Ὅμοιον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτὸν, τὸ πανάγιον ὄρος τὴν φωτεινὴν, νεφέλην ὑμνήσωμεν, τὴν ἀκατάφλεκτον βάτον, τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν ἀνάκλησιν, τῆς Οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον, ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ Κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων. διὸ καὶ βοῶμεν αὐτῇ· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν πανάγιον Τόκον σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν τῷ ξύλῳ ὁρῶσα τῷ Σταυρικῷ, ἡ παναμώμητος Μήτηρ τὸν λυτρωτὴν, ἐθρήνει δακρύουσα, καὶ πικρῶς ἀπεφθέγγετο, καὶ συνοχῇ καρδίας, τὰς κόμας ἐσπάραττε, καὶ πρὸς αὐτὸν ἐβόα, Υἱέ μου καὶ Κύριε, πῶς ὁ ἀνομώτατος, Ἑβραίων δῆμος, ἀδίκως προσπήγνυσι, τῷ σταυρῷ σε μακρόθυμε; πῶς καὶ θέλων ὑφίστασαι, τοῦ προσώπου ῥαπίσματα; ὄξος καὶ τὴν πλευρὰν λόγχῃ, χολήν τε οἴμοι καὶ ἥλους μακρόθυμε; ἀλλὰ δόξα τῇ Θείᾳ βουλήσει σου.

Ὠδὴ δ'. Ὑμνῶ σε, ἀκοὴ γὰρ Κύριε.

Νεκρώσας, τῆς σαρκὸς τὸ φρόνημα τὸν χειμάῤῥουν, τῆς ἀνομίας Ἱλαρίων Ὅσιε. δαιμόνων τε τὰς μεθοδείας φυγὼν, ἐν γαλήνῃ Θείου Πνεύματος, μετὰ δικαίων Πάτερ ἀναπέπαυσαι.

Ὑδάτων, ἐπιῤῥοίαις ὅσιε ἀρδευόμενος Ἱλαρίων, τὴν τῆς ψυχῆς ἄρουραν, πολύκαρπον τῇ γεωργίᾳ σαφῶς, τοῦ Σωτῆρος πᾶσιν ἔδειξας, τῶν ἀσκητῶν πληθύνας τὰ συστήματα.

Μεθέξει, τοῦ Ἁγίου Πνεύματος κρατυνόμενος Ἱλαρίων, πονηρίας πνεύματα, κατέῤῥαξας, καὶ τῇ δυνάμει Χριστοῦ, ἀθεμίτους ἐθεράπευσας, προφητικὴν πλουτίσας καθαρότητα. Θεοτοκίον.

Ναόν σε, καὶ παστάδα ἔμψυχον Θεομήτωρ εὐλογημένη, καὶ νοητὴν τράπεζαν, καὶ λυχνίαν καταγγέλλομεν. ἐξ ἧς, τοῖς ἐν σκότει ἐξανέτειλε, τῆς Πατρικῆς Οὐσίας τὸ ἀπαύγασμα.

Ὠδὴ ε'. Ὁ Φωτισμός.

Ὡς ἀστραπὴ, καθαρότητι βίου καὶ πολιτείᾳ, τῇ τῶν Ἀσωμάτων ὁμοιουμένη, λάμψει ἐν Κόσμῳ, τὸν τοῦ σκότους προστάτην, ἀπελαύνεις θεομακάριστε, τῷ τῆς εὐσεβείας φωτὶ λαμπρυνόμενος.

Παντοδαπαῖς, διαλάμπων θεόφρον θαυματουργίαις, καὶ χάριτι θείᾳ πεφωτισμένος, πᾶσιν ἐγνώσθης, θησαυρὸς Ἱλαρίων, ἰαμάτων Πάτερ θεόληπτε. ἄλλος τις Προφήτης Θεοῦ γνωριζόμενος.

Λύχνῳ τῶν σῶν, ἱλαρώτατε Πάτερ κατορθωμάτων, τὰς ἐσκοτισμένας ἐχθροῦ δυνάμεις καταδιώξας, καὶ τῆς τούτων μανίας, ἁρπάσας τοὺς σοὶ προστρέχοντας, θείαις δαδουχίαις, πρὸς πίστιν ἐφώτισας.

Θεοτοκίον.

Μίαν ἡμῖν, ἐν δυσὶ ταῖς οὐσίαις καθορωμένην, ὑπόστασιν μόνη εὐλογημένη, τίκτεις ἀφράστως, τὸν Θεοῦ Θεὸν Λόγον, σαρκωθέντα δι' οἶκτον ἄφατον. τοῦτον οὖν δυσώπει, φρουρῆσαι τοὺς δούλους σου.

Ὠδὴ ϛ'. Ἐν ἀβύσσῳ πταισμάτων.

Μοναρχίαν λατρεύων Θεότητος τὸ τῆς ἀναρχίας πολύαρχον ἤλεγξας, εἰδωλικὴν δυσσέβειαν, καταργήσας θεόφρον τῇ χάριτι.

Στρατείας ὡς φοῖνιξ ἐξήνθησας, ἐν τῇ Ἐκκλησίᾳ Πατὴρ ἡμῶν Ὅσιε, τῇ τῶν καρπῶν γλυκύτητι, κατευφραίνων πιστῶν τὰ πληρώματα.

Καθαιρέτης ἐδείχθης ἀήττητος, τῶν τῆς πονηρίας πνευμάτων ἀοίδιμε, πλουτοποιὰ χαρίσματα, πρὸς Θεοῦ Ἱλαρίων δεξάμενος.

Θεοτοκίον.

Ἀπειράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς Θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Ὁ Εἱρμός.

„ Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος,
„ τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας



Digitized by Google

„ χρείας σου, ἐπικαλοῦμαι ἄβυσσον· ἐκ φθο-
„ ρᾶς ὁ Θεός με ἀνάγαγε.

Κοντάκ. Ἦχος γ΄. Ἡ Παρθένος.

Ὡς φωστῆρα ἄδυτον, τοῦ νοητοῦ σε Ἡλίου, συνελθοῦσαι σήμερον, ἀνευφημοῦμεν ἐν ὕμνοις. ἔλαμψας τοῖς ἐν τῷ σκότει τῆς ἀγνωσίας. ἅπαντας ἀναβιβάζων πρὸς θεῖον ὕψος, Ἱλαρίων. διὸ βοῶμεν, ὦ Πάτερ χαίροις, τῶν ἀσκητῶν ἡ κρηπίς.

Ὁ Οἶκος.

Ἐρασθεὶς τοῦ Χριστοῦ τὰ θεῖα παραγγέλματα, μισήσας σαρκὸς καὶ Κόσμου τὴν ἀπόλαυσιν, προσῆλθες προθύμως αὐτῷ, καὶ ἐγένου ἀστὴρ, φωτίζων τὰ πέρατα, τῇ αἴγλῃ τοῦ Πνεύματος. διὸ προσπίπτων, καθικετεύω σε, φώτισον κἀμοῦ τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς, τοῦ ἀνυμνῆσαι τοὺς σοὺς ἀγῶνας, οὓς ἐπεδείξω ἐπὶ γῆς διὰ τὴν μέλλουσαν ζωήν. ἧς περ νῦν ἀπολαύων, μνήσθητι τῶν ἐκβοώντων· ὦ Πάτερ χαίροις, τῶν ἀσκητῶν ἡ κρηπίς.

Τῷ αὐτῷ Μηνὶ ΚΑ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἱλαρίωνος τοῦ Μεγάλου.

Στίχ. Ἐν δάκρυσι πρὶν καὶ πόνοις σπείρας κάτω,
Ἱλαρίων θέριζε νῦν χαίρων ἄνω.
Ὕστατα Ἱλαρίων κοιμήσατο εἰκάδι πρώτῃ.

Οὗτος ὁ Ὅσιος οὗτος ἦν ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου τοῦ μεγάλου, ἐν τῇ Γαζέων πόλει γεννηθεὶς καὶ ἀνατραφεὶς, Υἱὸς γεννητόρων ἀπίστων. ἔρωτι δὲ παιδεύσεως ἀφίκετο εἰς Ἀλεξάνδρειαν. καὶ παιδευθεὶς, καὶ τὴν εἰς Χριστὸν πίστιν δεξάμενος, ζηλωτὴς τοῦ μεγάλου Ἀντωνίου γέγονε, καὶ ἔμεινε παρ' αὐτῷ χρόνον οὐκ ὀλίγον. καὶ ὑποστρέψας ἐν τῇ Πατρίδι μετὰ τὴν τῶν γονέων αὐτοῦ τελευτὴν, τὰ προσόντα αὐτῷ πάντα τοῖς πτωχοῖς διένειμεν. εἶτα καταλαβὼν τὴν ἔρημον, καὶ ἄκραν ἄσκησιν ὑπελθὼν, πολλῶν θαυμάτων γέγονεν αὐτουργός. καὶ πολλὰς διαμείψας Πόλεις καὶ τόπους καὶ χώρας, οὕτω τὸν βίον διήνυσε, βιοὺς τὰ ὅλα ἔτη ὀγδοήκοντα.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Γαΐου, Δασίου, καὶ Ζωτικοῦ.

Στίχ. Εἰς ἅλμυρὸν θανόντες ἄνδρες τρεῖς ὕδωρ,
Γλυκὺν τρυφῆς πίνουσι χειμάῤῥουν ἄνω.

Οὗτοι οἱ Ἅγιοι ἐν Νικομηδείᾳ διάγοντες, καὶ παῤῥησιασάμενοι, τὰ ἐν τοῖς βωμοῖς ἐπικείμενα κατέστρεψαν. ὡς δὲ ἐγνώσθησαν, πᾶσαν πεῖραν βασάνων ὑπέμειναν, ἐπὶ ξύλου ἀναρτηθέντες, καὶ τὰς πλευρὰς καταξανθέντες τριχίνοις ὑφάσμασιν, εἶθ' οὕτω λίθων ἐν τοῖς τραχήλοις αὐτῶν ἐξαρτηθέντων, ἐν τῇ θαλάσσῃ ἀπεῤῥίφησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων καὶ Θεοφανῶν Μαρτύρων, Ἀνδρέου, Στεφάνου, Παύλου, καὶ Πέτρου.

Στίχ. Τρεῖς ὁ Στέφανος στεφανίτας νῦν ἔχεις,
Τοὺς σοὶ συναθλήσαντας ἐξ ἑνὸς ξίφους.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Θεοδότης, καὶ Σωκράτους Πρεσβυτέρου.

Στίχ. Ὁ Σωκράτης ἔσπευδε ὀφθῆναι Λόγε,
Τετμημένος σοι Σωκράτης στεφοκράτης.

Ἕτεροι τῆς Μάρτυρος.

Τὴν Θεοδότην ἐκ ξίφους τετμημένην.
Θεῷ δοτὴν ἔγνωμεν Ἁγνὴν θυσίαν.

Ἡ Ἁγία Θεοδότη ὑπῆρχεν ἐπὶ Ἀλεξάνδρου τοῦ Βασιλέως, ἀγενῶν γονέων ὑπάρχουσα, ἐκ τῆς χώρας τοῦ Πόντου, ἐν ἀσκητηρίῳ δέ τινι ἀπελθοῦσα, καὶ ἡσυχάζουσα, διεγνώσθη. καὶ κρατηθεῖσα παρὰ τοῦ Ἄρχοντος τῆς Καππαδοκίας, διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, ἐκ δευτέρου κρεμασθεῖσα, ξέεται, καὶ εἰς φοῦρνον ἐκπυρωθέντα ἐμβάλλεται. τῇ τοῦ Χριστοῦ δὲ χάριτι διασωθεῖσα, ἄγεται παρὰ τοῦ ἄρχοντος ἐπὶ τὸ Βυζάντιον. εἶτα ἐν Ἀγκύρᾳ, ἔνθα ἦν ὁ Πρεσβύτερος Σωκράτης· ὃς, τῶν Ἑλλήνων πάνδημον ἑορτὴν ἐκτελούντων τοῖς δαίμοσι, καὶ προσκυνούντων τοῖς εἰδώλοις, ζήλου πλησθεὶς, καὶ τὸν βωμὸν καταστρέψας τῶν θυσιῶν, ἀπετμήθη τὴν κεφαλήν. ἡ δὲ ἁγία Θεοδότη ἀναγκασθεῖσα θῦσαι τοῖς εἰδώλοις, καὶ μὴ πεισθεῖσα, διὰ ξίφους τρωθεῖσα, τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Εὐκράτης, ξίφει τελειοῦται.

Στίχ.

Digitized by Google

Στίχ. Αἷμα κάχηλυ τοῖς πρὶν ὄμβροις δακρύων.
Κιρνῶν, συνιςᾷς εὔκρατον κρᾶσιν Μάκαρ.
Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Ἀντίθεον πρόςαγμα.

Ρημάτων ὁ φθόγγος σου, καὶ τῶν θαυμάτων, ἡ χάρις ἡ ἔνθεος, εἰς πᾶσαν ἐξελήλυθε, τὴν γῆν Πάτερ Ὅσιε. θεοσεβείας πυρσῷ, πᾶσιν ἐπιπέμπουσα πιςοῖς, τῶν ἰαμάτων τὴν ἱλαρότητα.

Σταυρῷ τειχιζόμενος, τῷ τοῦ Σωτῆρος, ἁλωθεὶς, ἔμεινας, ἀλόγως ἐφορμήσαντος, δαιμόνων φρυάγματος ἐπὶ σὲ πάνσοφε. οἶδε γὰρ ὁ ὕψιςος Θεὸς, περιφρουρεῖν τὸν ἑαυτοῦ θεράποντα.

Ὡς ςῦλος ἀκράδαντος, Οὐρανομήκης, ὡς πύργος ἀσάλευτος, ὡράθης διὰ ἀσκήσεως, καὶ πυρσεύων τὰ θαύματα διδοὺς ἰάματα. βρύων θεῖα δόγματα πηγῆς, ἐξ ἀενάου τῶν θεοπνεύςων Γραφῶν. Θκ.

Νεφέλη Παρθένος σε δικαιοσύνης, τὸν Ἥλιον ἔτεχε, Παρθένος διαμείνασα, τῷ πάθει τοῦ σώματος προσομιλήσαντα, ἄνθρωπον γενόμενον Χριςὲ, διὰ εὐσπλαγχνίαν καὶ συγκατάβασιν.

Ὠδὴ η'. Κάμινος ποτέ.

Θρόνος ἀληθῶς, αἰσθήσεως ἐγένου, θεία συνέσει λαμπρυνόμενος. καὶ θείοις προςάγμασι, θεοφρόνως ὁδηγούμενος, καὶ ἀρετῇ λαμπόμενος, Ὅσιε Ἱλαρίων, τῶν ἀσκητῶν ἐγκαλλώπισμα.

Ἅρμα μυςικὸν, τὸ ὄνομα βαςάζων, τὸ τοῦ Κυρίου ὤφθης Ὅσιε, διὰ ἔργων λαμπρότητος, καὶ θαυμάτων ἐπιδείξεων, καὶ καθαρᾶς βιώσεως, Ὅσιε Ἱλαρίων, τῶν Ἀσωμάτων ὁμόσκηνε.

Υἱοθετηθεὶς, τῇ χάριτι τῇ θεία, συγκληρονόμος Θεοῦ γέγονας. καὶ πλοῦτον Οὐράνιον, Βασιλείας ἀδιάδοχον, ἀπείληφας θεσπέσιε, κράζων ὑπερυψοῦτε, πάντα τὰ ἔργα τὸν Κόσμον. Θεοτοκίον.

Μῦρον νοητὸν, ἐκκενωθὲν Παρθένε, ὠνομασμένον Υἱὸν τέτοκας. ἀτμοῖς τῆς Θεότητος, τοὺς βροτοὺς εὐωδιάζοντα, καὶ τῆς φθορᾶς ῥυόμενον, κράζοντας εὐλογεῖτε, πάντα τὰ ἔργα τὸν Κύριον. Ὁ Εἱρμός.

„ Κάμινος ποτὲ, πυρὸς ἐν Βαβυλῶνι,
„ τὰς ἐνεργείας διεμέριζε, τῷ θείῳ
„ προςάγματι, τοὺς Χαλδαίους καταφλέ-
„ γουσα, τοὺς δὲ πιςοὺς δροσίζουσα, ψάλλον-
„ τας· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
„ τὸν Κύριον.

Ὠδὴ θ'. Ἀνάρχου Γεννήτορος.

Ἁγίων σκηνώματα, χοροβατῶν ἠξίωσαι, τὴν ζωὴν διανύσας ἁγίως Ὅσιε, ὄντως πεφυκὼς Ἱλαρίων, σοὶ τριλαμπὲς ἀνέτειλε φέγγος, καὶ ἡ τούτου σύζυγος, Εὐφροσύνη σε ἐδέξατο.

Πόνων ἄθλων τὰ ἔπαθλα, παρὰ Θεοῦ δεξάμενος, καὶ ζωῆς αἰωνίου σαφῶς λαβόμενος· καὶ τῆς καλλονῆς Ἱλαρίων, τῆς ὑπὲρ νοῦν, Πάτερ ἀμοιρήσας, ὑπὲρ τῶν ὑμνούντων σε, τὸν Δεσπότην καθικέτευε.

Ὡς κέδρος ὑψηκόμος, διὰ ἀρετῆς ὑψούμενος, ἐν αὐλαῖς Ἱλαρίων Θεοῦ πεφύτευσαι, καὶ ὡς κεκλεισμένος δὲ κῆπος, ὡς εὐθαλὴς, Παράδεισος ὤφθης, ὡς πηγὴ ἰάματα, Ἱλαρίων ἀναβλύζουσα.

Θεοτοκίον.

Νυμφῶν ἐχρημάτισας, τῆς ὑπὲρ νοῦν σαρκώσεως, τῆς τοῦ Λόγου Παρθένε Θεογεννήτρια, περιβεβλημένη ἐν δόξῃ τῶν ἀρετῶν, καὶ πεποικιλμένη. διό σε πανάμωμε, Θεοτόκον καταγγέλλομεν.

Ὁ Εἱρμός.

„ Ἀνάρχου Γεννήτορος, Υἱὸς Θεὸς καὶ
„ Κύριος, σαρκωθεὶς ἐκ Παρθένου
„ ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα φωτί-
„ σαι, συναγαγεῖν τὰ ἐσκορπισμένα. διὸ τὴν
„ πανύμνητον, Θεοτόκον μεγαλύνομεν.

Ἐξαποςειλάριον. Ὁ Οὐρανόν.

Τὸ ἱλαρόν σου Πάτερ, καὶ καθαρώτατον ὁρῶν, τῆς διανοίας ὁ πάντων, γινώσκων τὰς ἐνθυμήσεις· φωςῆρα Κόσμῳ δεικνύει, σὲ μονάζόντων τὸ κλέος.

Θεοτοκίον.

Τὸν ποιητὴν τῶν αἰώνων, καὶ τῶν Ἀγγέλων Δεσπότην, ἀποτεκοῦσα Παρθένε, τοῦτον ἱκέτευε δεῖξαι, τῆς δε-



Digitized by Google

ξίας παραςάτας, μερίδος τοὺς σοὺς οἰκέτας.

Εἰς τοὺς Αἴνους, ἱςῶμεν ϛ΄. δ΄. καὶ ψάλλομεν ϛ΄. Ἦχος Πλ. β΄.

Ὅλην ἀποθέμενοι.

Ὅλος ἀνακείμενος, διὰ παντὸς τῷ Κυρίῳ, σάρκα μὲν ἐνέκρωσας, ἀρετῶν ἀσκήσεσιν ἐκ νεότητος. τῆς ψυχῆς ὄμμα δὲ, θεωρίαις Πάτερ, φωτοβόλοις ἀνεπτέρωσας. διὸ γενόμενος, θείων δεκτικὸς διαδόσεων, ἰάσεων χαρίσματα, καὶ θεοσημείας ἐπλούτησας, πᾶσι διανέμων, τοῖς χρήζουσι πλουσίως δωρεὰς, καὶ παρρησίᾳ δεόμενος, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Αἴγλην τὴν τηλαύγη, φωτιςικῶς δεδεγμένος, Ἱλαρίων Ὅσιε, αἰσθητῶς ὡς Ἥλιος διελήλυθας, τὰ τῆς γῆς πέρατα, διασπείρων πᾶσι, τὰς ἀκτῖνας τῶν θαυμάτων σου. διὸ Προφήτην σε, καὶ θαυματουργὸν ἀνεκήρυττον, καὶ Θεῖον καὶ θεόληπτον, οἱ τῆς δ'ποιίας μετέχοντες, καὶ τῶν ἰαμάτων, θεόφρων ἀπολαύοντες τῶν σῶν, καὶ σωτηρίαν καρπούμενοι, ταῖς διδασκαλίαις σου.

Βίου τὴν τερπνότητα, καὶ τὰ ὁρώμενα πάντα, ὑπερβὰς τῇ χάριτι, καὶ πρὸς τὰ νοούμενα καὶ ἀσάλευτα, μεταβὰς Ὅσιε, καθαρῶς τῷ μόνῳ, καθαρῷ τε προσωμίλησας, νοὸς ὀξύτητι, καὶ τῇ τῆς ψυχῆς καθαρότητι. ὡς Ἄγγελος ἐβίωσας, καὶ μετὰ τῆς ὕλης ὁρώμενος· καὶ νῦν τῷ Δεσπότῃ, τῶν ὅλων παριςάμενος Χριςῷ, ἐν παρρησίᾳ ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος β΄.

Τὸ ἱλαρόν σου Πάτερ, καὶ καθαρὸν τοῦ βίου ἰδὼν ὁ Χριςὸς, τὸ πρᾶον καὶ ἡσύχιον, μονὴν πεποίηται ἐν σοί. καὶ γέγονας οἰκητήριον Θεῖον. καὶ διὰ τοῦτο σὺν Ἀγγέλοις ἐν Οὐρανοῖς αὐλίζῃ μακάριε.

Καὶ νῦν. Θτ. Ὅτε ἐκ τοῦ ξύλου σε.

Ὅλος ἡδονῶν φθοροποιῶν, ὅλος πεπλησμένος παντοίων, κακῶν γεγένημαι, ὅλος ὁ ταλαίπωρος, ἐκ παίδων βέβηλος, ἕως γήρως ἀνέμδοτος, κακῶν τῶν συνήθων. ἀλλ' ἡ τὸν αἴροντα τὰ ἁμαρτήματα, Κόσμου, ἀπορρήτως τεκοῦσα, τοῦτον καθικέτευε δοῦναι, τῶν πλημμελημάτων μοι τὴν ἄφεσιν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ξύλῳ, τοῦ Σταυροῦ σε Ἰησοῦ, προσαναρτηθέντα ὁρῶσα ἡ ἀπειρόγαμος, ἔκλαιε καὶ ἔλεγε· τέκνον γλυκύτατον, ἵνα τί ἐγκατέλιπες, ἐμὲ τὴν τεκοῦσαν, μόνην φῶς ἀπρόσιτον, τοῦ προανάρχου Πατρός; σπεῦσον, καὶ δοξάσθητι ὅπως, δόξης ἐπιτύχωσι θείας, οἱ τὰ θεῖα Πάθη σου δοξάζοντες.

Εἰς τὸν ϛ΄. ϛ΄. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος Πλ. δ΄.

Τῶν Μοναςῶν τὰ πλήθη, τὸν καθηγητήν σε τιμῶμεν, Ἱλαρίων Πατὴρ ἡμῶν. διὰ γὰρ σοῦ τὴν τρίβον τὴν ὄντως εὐθεῖαν, πορεύεσθαι ἔγνωμεν. μακάριος εἶ, τῷ Χριςῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν. Ἀγγέλων συνόμιλε, Ὁσίων συμμέτοχε καὶ Δικαίων. μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θτ. Οἱ Μάρτυρές σου Κύριε.

Οἱ λόγοι μου ἀκάθαρτοι, τὰ χείλη δόλια, τὰ ἔργα δέ μου εἰσὶ παμμίαρα. καὶ τί ποιήσω; πῶς ὑπαντήσω τῷ Κριτῇ, Δέσποινα Παρθένε καθικέτευσον, τὸν Υἱόν καὶ πλάςην σου καὶ Κύριον. ὅπως ἐν μετανοίᾳ, δέξηταί μου τὸ πνεῦμα, ὡς μόνος εὔσπλαγχνος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Πάναγνος ὡς εἶδέ σε, ςαυρῷ κρεμάμενον ἐθελουσίως, καταμοῦσα τὴν δυναςείαν, λύπῃ συνείχετο Χριςέ. καὶ ὀδυρομένη ἀνεβόα σοι· τέκνον μή με λίπῃς τὴν τεκοῦσάν σε. δός μοι λόγον Υἱὲ μου, μή με σιγῶν παρέλθῃς, Λόγε Θεοῦ τὴν δούλην σου.

Εἰς τὴν Λειτουργίαν. Προκείμενον. Ἦχος Βαρύς. Τίμιος ἐναντίον Κυρίου. ϛ΄. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ. Ὁ Ἀπόςολος, πρὸς Κορινθίους β΄. Ἀδελφοὶ ὁ σπείρων φει-

Digitized by Google

φειδομένως. Ζήτει Κυριακῇ ιη΄. Ἀλληλούϊα, Ἦχος πλ. β΄. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον. Εὐαγγέλιον κατὰ Λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ. Ζήτει Δεκεμβρίῳ ϛ΄. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

## Τῷ αὐτῷ Μηνὶ ΚΒ΄.

Τοῦ Ἁγίου καὶ Ἰσαποστόλου Ἀβερκίου, Ἐπισκόπου Ἱεραπόλεως τοῦ Θαυματουργοῦ. Καὶ τῶν Ἁγίων Ἑπτὰ Παίδων τῶν ἐν Ἐφέσῳ.

Στιχηρά. Ἦχος β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅλος, ἀνακείμενος Θεῷ, θείων πληρωτὴς προσταγμάτων ὤφθης Ἀβέρκιε. χάριν δὲ δεξάμενος ἐξ ὕψους Ἅγιε, νοσημάτων ἀπήλλαξας, ποικίλων ἀνθρώπους, δαίμονας ἀπήλασας, βωμοὺς κατέαξας. γνῶσιν ἐνεφύτευσας θείαν, τοῖς τῇ ἀγνωσίᾳ ἀθλίως, πρώην κινδυνεύουσι μακάριε.

Θείων, διδαγμάτων ἀστραπαῖς, ἔλυσας πολύθεον νύκτα Πάτερ Ἀβέρκιε, ὄρθρος δὲ ἀνέτειλας, Υἱοὺς ἡμέρας τελῶν, τοὺς ἐν ζόφῳ ὑπάρχοντας, τὸ πρὶν Ἱεράρχα, θαύματα παράδοξα ἐπιδεικνύμενος. ὅθεν τὴν ἁγίαν σου μνήμην, πίστει ἑορτάζομεν πάντες, ἀνυμνολογοῦντές σε θεόπνευστε.

Ἔχεις, ἐν ἐμοὶ θαυματουργῶν, οἶνόν τε καὶ ἔλαιον Πάτερ, καὶ εἶδος ἕτερον, ἑνώσας τηρούμενα ἐν τῷ προέρχεσθαι, ἀμιγῆ θείᾳ χάριτι. θερμῶν δὲ ὑδάτων, χάριν δι' ἐντεύξεως, βλύσαι πεποίηκας, νόσους θεραπεύοντα πάσας, τῶν προσερχομένων ἐν πίστει, καὶ μακαριζόντων σε Ἀβέρκιε.

Ἕτερα τῶν Ἁγίων. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Παρανόμου προστάγματος, τῷ Θεῷ πειθαρχήσαντες, Παῖδες οἱ Μακάριοι κατεφρόνησαν. καὶ δεσμευθέντες διέλυσαν, τῆς πλάνης τὸν σύνδεσμον, καὶ ἀξίαν κοσμικὴν, ἀπωσάμενοι ἔλαβον, τὸ ἀξίωμα, τὸ αὐτοὺς περιδόξους ἐκτελέσαν, καὶ τὴν ἄνω προξενῆσαν, τῆς Βασιλείας ἀπόλαυσιν.

Ἐν αὐτοὺς πρὸς τὰ σκάμματα, τῆς ἀθλήσεως Ἅγιοι, καρτερῶς γυμνάζοντες κατεκρύπτεσθε, ἐν τῷ σπηλαίῳ δεήσεσιν, ἀπαύστοις τὸν Κύριον, ἱκετεύοντες ἰσχὺν, χορηγῆσαι καὶ δύναμιν. οἷς δὲ κείμασιν, ὁ φιλάνθρωπος οἶδεν ἀφυπνῶσαι, ἐν εἰρήνῃ ὑμᾶς πάντας, θεαρχικῶς ἐγκελεύεται.

Μυστηρίῳ μυστήριον, τοῖς Ἁγίοις προστίθεται. ὡς γὰρ τελευτήσαντες, οὐκ ᾐσθάνοντο, οὕτω καὶ νῦν ἐγειρόμενοι, σαφῶς κατεπλήττοντο. εἰς γὰρ πίστωσιν νεκρῶν, ἀναστάσεως γέγονε, τὸ τελούμενον. ὅπερ γνόντες οἱ ταύτην ἀθετοῦντες, ἀποφράττονται ἐν πίστει, δοξολογοῦντες τοὺς Μάρτυρας.

Δόξα. Ἦχος γ΄. Ἰωάννου Μοναχοῦ.

Ἀρχιερεῦ Ὅσιε, Παμμακάριστε Πάτερ, θαυματουργὲ θεράπον Χριστοῦ Ἀβέρκιε, προφητικῷ ἐκλάμψας βίῳ, καὶ ἀποστολικῶν ἀξιωθεὶς χαρισμάτων, τῷ Σωτῆρι λειτουργῶν, σὺν Ἀγγέλοις ἀπαύστως, πρέσβευε ῥυσθῆναι ἀπὸ πάσης ἀπειλῆς τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μεγάλη τοῦ Σταυροῦ σου.

Ἀγγέλων χαρμονὴ τῶν Θείων Κόρη πέφυκας, τῶν Ἀποστόλων δόξα, καὶ Προφητῶν ἐκσφράγισμα, τῶν ἀνθρώπων τε πιστῶν ἡ προστασία, καὶ ὁδηγὸς σωτήριος. διὰ τοῦτό σε προσκυνοῦμεν Παρθένε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὁρῶσα τὸν ἐκ σοῦ τεχθέντα παναμώμητε, κρεμάμενον ἐν ξύλῳ, ἠλάλαζες βοῶσα· ποθεινότατόν μου Τέκνον, ποῦ σου ἔδυ τὸ κάλλος τὸ φωσφόρον, τοῦ καλλωπίσαντος, τῶν ἀνθρώπων τὸ γένος;

Εἰς τὸν Στ. Ἤ. Ὀκτωήχου.

Δόξα. Ἦχος Πλ. δ΄.

Δεῦτε πᾶσα Κτίσις, ἐν κυμβάλοις ψαλμικοῖς, καὶ ἐν φωναῖς ἀλαλαγμοῦ, αἶνον Θεῷ ἀναπέμψωμεν, τῷ πρὸ τῆς κοινῆς Ἀναστάσεως, τὴν Ἀνάστασιν ἡμῖν ἐμφα-



Digitized by Google

φανίσαντι. καὶ τοὺς πρὸ τριακοσίων δύω καὶ ἑβδομήκοντα τετελευτηκότας χρόνων, Ἁγίους Παῖδας ἑπτὰ, δι' ἱκεσίας ἀσεβοῦς Βασιλέως ἀναστήσαντι ἐκ χοὸς, εἰς πτῶσιν ἀπίστοις ἐχθροῖς, καὶ αἰσχύνην αἰώνιον· δόξαν δὲ καὶ ἔπαινον τοῖς φοβουμένοις αὐτόν. οἶδε γὰρ Κύριος, δοξάζειν τοὺς αὐτὸν ἀντιδοξάζοντας. θέλημα γὰρ ποιεῖ τῶν φοβουμένων αὐτὸν ἐν ἀληθείᾳ, ὁ μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Καὶ νῦν. Θτ. Ὢ τοῦ Παραδόξου.

Χαῖρε Θεοτόκε Δέσποινα. χαῖρε Θεοῦ καθαρὸν, οἰκητήριον ἄχραντε. χαῖρε θεῖον ὄχημα, τοῦ Λόγου θεοχώρητε. τὸ θεότευκτον χαῖρε παλάτιον, θεοπάροχον χαῖρε θησαύρισμα. θάλαμος ἔμψυχος. Θεοῦ θεία τράπεζα, καὶ κιβωτὲ, καὶ δοχεῖον ἄμωμον, τοῦ Θείου Πνεύματος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὢ τοῦ παραδόξου θαύματος. ὢ μυστηρίου καινοῦ. ὢ φρικτῆς ἐγχειρήσεως. ἡ Παρθένος ἔλεγεν, ἐν Σταυρῷ θεωροῦσά σε, ἐν μέσῳ δύω λῃστῶν κρεμάμενον, ὃν ἀνωδίνως φρικτῶς ἐκύησεν, ἔκλαιε κράζουσα· οἴμοι Τέκνον φίλτατον, πῶς σε δεινὸς, δῆμος καὶ ἀχάριστος, Σταυρῷ προσήλωσεν;

Ἀπολυτίκιον. Ἦχος δ'. Κανόνα πίστεως, Καὶ τὸ, Οἱ Μάρτυρές σου Κύριε.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχ. Κανὼν τῆς Ὀκτωήχου, εἷς, καὶ τῶν Ἁγίων, δύω.

Οὗ ἡ ἀκροστιχίς.

Ἀβερκίου μέγιστον ἐξᾴδω κλέος.

Ἰωσήφ.

Ὠδὴ α'. Ἦχος β'. Δεῦτε λαοί.

Αἴγλῃ φαιδρᾷ, τῆς Τρισηλίου Θεότητος, καταυγασθεὶς Ἀβέρκιε, φῶς ἐχρημάτισας, τοὺς ἐν σκότει φωτίζων, καὶ πᾶσαν τῶν δαιμόνων, λύων σκοτόμαιναν.

Βίον ἐν γῇ, ἔσχες παμμάκαρ Οὐράνιον, μετὰ σαρκὸς ὡς ἄσαρκος πολιτευσάμενος, καὶ τὰ πάθη νεκρώσας, καὶ τῆς Ἱερωσύνης, χάριν δεξάμενος.

Ἔχων ἐν σοὶ, Πάτερ τὸν λόγον φθεγγόμενον, τῆς ἀλογίας ἔλυσας, τοὺς ματαιόφρονας, τῶν δαιμόνων τεμένη, καὶ ξόανα τῆς πλάνης, καταστρεψάμενος.

Θεοτοκίον.

Ῥητορικαὶ, γλῶσσαι σοῦ λέγειν οὐ σθένουσι, τὴν ὑπὲρ λόγον σύλληψιν. Θεὸν γὰρ τέτοκας, ἐν σαρκὶ Παναγία, ἡμῖν ὁμοιωθέντα, δι' ἀγαθότητα.

Ἕτερος Κανὼν τῶν Μαρτύρων.

Οὗ ἡ ἀκροστιχίς.

Τὴν ἑπτάφωτον Μαρτύρων σέβω χάριν.

Ἰωσήφ. Ὠδὴ α'. Ἦχος δ'.

Θαλάσσης τὸ ἐρυθραῖον.

Τὴν θείαν καὶ φωταυγῆ πανήγυριν, ὑμῶν τοὺς σέβοντας, ὡς τῷ μεγάλῳ Μάρτυρες φωτὶ, παρεστῶτες δεόμεθα. περιφανῶς πρεσβεύσατε, παθῶν ἀχλύος ἐκλυτρώσασθαι.

Ἡνίκα τὸ δυσσεβὲς καὶ ἄλογον, ἔγνωτε πρόσταγμα, παρακελεῦον θῦσαι βδελυκτοῖς, τοῦ Θεοῦ τοῖς προστάγμασιν, ὠχυρωμένοι Μάρτυρες, ἀπαρασάλευτοι γεγόνατε.

Νηστείαις καὶ προσευχαῖς προσήχθητε, κατακρυπτόμενοι, καὶ ἑαυτοὺς πρὸς πάλην δυσμενῶν, ἑτοιμάζοντες Ἅγιοι. ὅθεν ὑμᾶς ὁ Κύριος, ἀπαρατρώτους διεφύλαξεν.

Θεοτοκίον.

Εὑρών σε καθαρωτέραν Πάναγνε, πάσης τῆς Κτίσεως, ὁ καθαρὸς ἐνῴκησεν ἐν σοὶ, ἐξοικῆσαι βουλόμενος, τὴν ἐν Ἀδὰμ οἰκήσασαν, παρανομίαν ὡς φιλάνθρωπος.

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς ἐν σοί.

Καὶ λόγοις ἱεροῖς καὶ ἀποδείξεσι, θαυμάτων Ἀβερκίου παραδόξων, τοὺς τῇ πλάνῃ θαλαττεύοντας, σωτηρίας πρὸς ὅρμον καθοδήγησον.

Ἰάσεις ἐνεργῶν τελῶν ἐξαίσια, δαιμόνων ἀπείργων τὰς φαντασίας, σωτηρίας πᾶσιν αἴτιος, τοῖς πλουτοῦσι προστάτην σε γεγένησαι.

Ὁ λόγος ἱερὸς, ὁ βίος ἔνθεος, ὁ τρόπος, τοῖς θαύμασι διαλάμπων, ἡ ζωή σου Πάτερ ἔνδοξος, καὶ ὁ θάνατος τίμιος γεγένηται.

Digitized by Google

Θεοτοκίον.

Ὑπάρχων ὁ Θεὸς τὸ πρὶν ἀόρατος, ὡράθη, Παρθένε δι' εὐσπλαγχνίαν, ἐκ γαστρός σου σωματούμενος. διὰ τοῦτό σε πίστει μακαρίζομεν.

Ἄλλος. Εὐφραίνεται ἐπὶ σοί.

Προσηνέχθητε Βασιλεῖ, ὁμολογοῦσαι δυσσεβεῖ Μάρτυρες, τὸ τοῦ Θεοῦ ὄνομα, τοῦ ἐν Οὐρανοῖς βασιλεύοντος.

Τὴν πίστιν περιφανῶς, ἐνδεδυμένοι ὡς φαιδρὸν θώρακα, τοῖς τοῦ ἐχθροῦ βέλεσιν, ἄτρωτοι ἐμείνατε Μάρτυρες.

Ἀντέστητε ἀνδρικῶς, τῷ παρανόμῳ Βασιλεῖ Ἅγιοι. σέβας ὑμῖν ἄλογον, φέρειν τοῖς εἰδώλοις προστάττοντι.

Θεοτοκίον.

Φορέσας με ἐκ τῶν σῶν, θείων αἱμάτων ὁ Χριστὸς ἄχραντε· καταστολὴν χάριτος, πάλαι γυμνωθέντα ἐνέδυσεν.

Ὁ Εἱρμός.

„Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου
„Χριστὲ κράζουσα· σύ μου ἰσχὺς Κύ-
„ριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Κά. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἱεράρχης ἐδείχθης χρίσμα σεπτόν, περικείμενος Πάτερ θεουργικῶς. καὶ πάντας ἐν χάριτι, τελειῶν ἱερώτατε. δωρεαῖς δὲ θείων, θαυμάτων κοσμούμενος, ἐνεργεῖς σημεῖα, καὶ θαύματα ἄπειρα. νόσους θεραπεύων, καὶ τοὺς δαίμονας φλέγων, καὶ πλήθη πλανώμενα ἐπιστρέφων Ἀβέρκιε. διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ. Δόξα. Τῶν Ἁγίων. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὡς στῦλοι ὑπάρχοντες τῆς Ἐκκλησίας Χριστοῦ, τὰ τείχη ἐρρήξατε τῆς ἀπιστίας σοφοί, ἑπτάφωτοι Μάρτυρες. ὅθεν πρὸ τοῦ θανάτου, τὴν Ἑλλήνων μανίαν, πάλιν δὲ μετὰ πότμον, τῆς αἱρέσεως ζάλην, ἐλάσαντες πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον. Ὅμοιον.

Ἐκαίνισας ἄχραντε τῷ Θείῳ Τόκῳ σου, φθαρεῖσαν ἐν πάθεσι, τῶν γηγενῶν τὴν θνητήν, οὐσίαν καὶ ἤγειρας, πάντας ἐκ τοῦ θανάτου πρὸς ζωὴν ἀφθαρσίας. ὅθεν σε κατὰ χρέος μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ὡς προεφήτευσας.

Σταυροθεοτοκίον. Ὅμοιον.

Παρθένε πανάμωμε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθέ σου τὴν παναγίαν ψυχήν, ἡνίκα σταυρούμενον, ἔβλεψας ἑκουσίως, τὸν Υἱὸν καὶ Θεόν σου. ὃν περ εὐλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων, ἡμῖν δωρήσασθαι.

Ὠδὴ δ'. Ὑμνῶ σε ἀκοῇ.

Μεγάλως, σὴν καθέδραν Ὅσιε κατεκόσμησας Ἱεράρχα. μεγάλως γὰρ θαύμασι διέπρεψας, καὶ πολιτείᾳ λαμπρᾷ. διὰ τοῦτό σε Ἀβέρκιε, ὁ Θεὸς ἡμῶν μεγάλως ἐδόξασεν.

Ἐλέους, θελητὴν τὸν Κύριον ἐπιστάμενος θεοφόρε, θερμῶς αὐτὸν ᾔτησας, εἰς ἴασιν καὶ σωτηρίαν πολλῶν, τῶν θερμῶν ὑδάτων ἔκβλυσιν, τὴν θαυμαστὴν ποιήσασθαι Ἀβέρκιε.

Γονίμους, τοὺς ἀγόνους χάριτι ἀπετέλεσας διανοίᾳ. ἐνθέμενος ταύταις γάρ, Ἀβέρκιε τοῦ λόγου σπόρον σαφῶς, ὡς καλῶν σποράς ἐθέρισας, στάχυν ἑκατοστεύοντα θεόπνευστε. Θεοτοκίον.

Ἴασαι, συντριβὴν Πανάμωμε καὶ τὴν πάλαι ταλαιπωρίαν, τῶν γηγενῶν τέξασα, τὸν βαστάσαντα τὰς νόσους ἡμῶν, δι' εὐσπλαγχνίαν ἄφατον Θεόνυμφε.

Ἄλλος. Δι' ἀγάπησιν οἰκτίρμων.

Ὡραιώθησαν οἱ Παῖδες ὡραιοτάτως, τῷ τοῦ παντὸς Δεσπότῃ, οἰκειούμενοι. ὅθεν, πᾶσαν ἀπεκρύψαντο, κακίαν τοῦ ὄφεως.

Ὡς πλουσίας ἐκδεχόμενοι ἀντιδόσεις, πάντα τὸν πλοῦτον πᾶσι, πενομένοις κενοῦσιν, ὄλβον ἀντικτώμενοι, οἱ Ἅγιοι ἄφθαρτον.

Οἱ εὐγένειαν τὴν ἄνω ἠγαπηκότες, ἐξ εὐγενῶν γονέων, γεννηθέντες οὐδόλως, εἵλοντο δυσγένειαν, κακῶν ἐπισύρεσθαι.

Θεοτοκίον.

Νέον βρέφος ἀπεκύησας τὸν προόντα, γεγηρακότα Κόσμον, νεουργοῦντα Παρ-



Digitized by Google

Παρθένε, θείαις ἐπιγνώσεσι. διό σε δοξάζομεν.

Ὠδὴ ε΄. Ὁ φωτισμός.

Ἐστήσας τοὺς σοὺς, ἐπὶ πέτραν καρδίας θεόφρον πόδας, τοὺς ὑποπεσόντας τῇ ἀπωλείᾳ, καὶ σέβας λίθοις ἀπονέμοντας μάκαρ, θείοις λόγοις σέβειν ἐδίδαξας, πέτραν Ἰησοῦν, τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν.

Τὸν ἰατρὸν, τῶν ποικίλως νοσούντων καὶ σωτηρίαν, πάντων πλανωμένων τὴν ὁδηγίαν, τὴν μυροθήκην, τῶν σεπτῶν χαρισμάτων, τὸ δοχεῖον τοῦ Θείου Πνεύματος, τὸν Ἱερομύστην, τιμῶμεν Ἀβέρκιον.

Οἶνος ἐμοὶ, τῇ προστάξει σου σκεύει μετ᾽ ἐλαίου, εἴδους τε ἑτέρου ἐμβεβλημένα, καιρῷ ἰδίῳ, ἀμιγῆ παραδόξως, ἐκκενοῦται τὴν ὑπερβάλλουσαν, χάριν σου δηλοῦντα, θεόφρον Ἀβέρκιε. Θεοτοκίον.

Νόμοι ἐν σοὶ, παραδόξως Παρθένε καινοτομοῦνται. τίκτεις γὰρ ἀσπόρως Θεὸν Σωτῆρα, καὶ διαμένεις, παρθενεύουσα πάλιν. ξένον θαῦμα· ὅθεν Μητέρα σε, τοῦ Ἐμμανουὴλ εὐσεβῶς καταγγέλλομεν.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Μαξιμιλιανὸν, Ἰωάννην Ἰάμβλιχον, Μαρτῖνόν τε τοὺς φωστῆρας, τοὺς τὰ πέρατα πάντα, φωτίζοντας τιμήσωμεν.

Τιμήσωμεν πιστοὶ, Ἀντωνῖνον τὸν ἔνδοξον, Ἐξακουστωδιανόν τε, Διονύσιον πόθῳ, τὸν πάνσοφον δοξάζοντες.

Ῥεόντων καὶ φθαρτῶν, ἀντηλλάξασθε Ἅγιοι, τὰ ἄφθαρτα καὶ μηδόλως, παλαιούμενα. ὅθεν ἀξίως μακαρίζεσθε.

Θεοτοκίον.

Τὴν πώρωσιν Ἁγνὴ, τῆς ψυχῆς μου διάλυσον, καὶ δίδου μοι ἀδιαθήτως, τοῦ Υἱοῦ σου προσέχειν, τοῖς θείοις ἐπιτάγμασιν.

Ὠδὴ ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἐξ Ἑῴας εἰς Δύσιν ἐπέδραμες, τῆς δαιμονικῆς καὶ δεινῆς ἐνοχλήσεως, τὴν Βασιλίδα Ὅσιε, ἀπολύων δυνάμει τοῦ Πνεύματος.

Ξένος Κόσμου ὀφθεὶς ἱερώτατε, ξένα καὶ φρικτὰ ἐπετέλεσας θαύματα, καὶ περιὼν ἐν σώματι, καὶ τῶν τῇδε ἀπάρας Ἀβέρκιε.

Ἀστραπόμορφος Πάτερ ὁρώμενος, τὰς δαιμονικὰς καθυπέταξας φάλαγγας, στέγειν τὴν σὴν Ἀβέρκιε, ἀπειλὴν μὴ σθενούσας θεόπνευστε. Θεοτοκ.

Διά σου Παναγία Θεόνυμφε, οἱ νενεκρωμένοι ζωῆς ἠξιώθημεν. καὶ τῇ φθορᾷ δουλεύοντες, ἀφθαρσίαν σαφῶς ἐπλουτήσαμεν.

Ἄλλος. Θύσω σοι, μετὰ φωνῆς.

Ὕπερθεν, εἰδωλικοῦ πελάγους ἐκπλέοντες, οἰακιζόμενοι ὅπλῳ, τοῦ Σταυροῦ λιμένας τοὺς αἰωνίους, ἀθλοφόροι, νῦν ἐφθάσατε θέσει θεούμενοι.

Ῥαίνοντες, σταλαγμοῖς τῶν δακρύων τὸ ἔδαφος, τῇ πρὸς Θεὸν ἱκεσίᾳ, ἐκοιμήθητε χρόνοις πλείοσι. καὶ τὴν πάντων, ἀναστάντες δηλοῦτε ἀνάστασιν.

Ὢ θαῦμα, πῶς οἱ χρόνοις ὑπνώσαντες πλείοσι, τὴν ἐσομένην ἐν πλείστοις, ἀνάστασιν ἀβεβαίαν, βεβαιοῦνται, αἱρετικῶν ἐμφράττοντες στόματα.

Θεοτοκίον.

Νέκρωσον, τῆς σαρκός μου Παρθένε τὸ φρόνημα, ἡ τὴν ζωὴν τετοκυῖα, τὴν θανάτῳ θάνατον καθελοῦσαν, καὶ τοὺς Παῖδας, παραδόξῳ ἐγέρσει δοξάσασαν.

Ὁ Εἱρμός.

„Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε,
„ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων
„λύθρου κεκαθαρμένη. τῷ δι᾽ οἶκτον, ἐκ
„τῆς πλευρᾶς σου ῥεύσαντι Αἵματι.

Κοντάκιον. Ἦχος Πλ. δ΄. Ὡς ἀπαρχάς.

Ὡς Ἱερέα μέγιστον, καὶ Ἀποστόλων σύσκηνον, ἡ Ἐκκλησία γεραίρει σε ἅπασα, ἡ τῶν πιστῶν Ἀβέρκιε. ταῖς σαῖς ἱκεσίαις, περιφύλαττε μάκαρ, ἀκαταγώνιστον καὶ ἀκλυδώνιστον, ἐξ αἱρέσεως πάσης ματαιόφρονος, πολυθαύμαστε.

Ὁ Οἶκος.

Ὡς πολύς σου ὁ πλοῦτος τῆς χάριτος, ἀριθμὸς δὲ οὐκ ἔστι τῆς δόξης σου. ἐκ μὴ ὄντων γὰρ πάντα παρήγαγες, ὁρατὰ καὶ ἀόρατα Κύριε. αὐτὸς ἂν φιλάνθρωπε δώρησαι τῇ βεβήλῳ καρδίᾳ μου αἴνεσιν θείαν, ὁ ὑπ᾽ Ἀγγέλων ἀπαύστως ὑμνούμενος, ἵ-

να

Digitized by Google

μα τὸν Ἱεράρχην τιμήσω, τὸν ὡς ἀληθῶς πολυθαύμαστον.

Τῷ αὐτῷ Μηνὶ ΚΒ'. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰσαποστόλου Ἀβερκίου Ἐπισκόπου Ἱεραπόλεως τοῦ Θαυματουργοῦ.

Στ. Δοὺς Ἀβέρκιος χοῦν χοῒ θνητῷ μόνῳ, Θεὸς Θεῷ πρόσεισι, τῷ φύσει θέσει.

Εἰκάδι δευτερίῃ Ἀβέρκιος ᾤχετο γαίης.

Οὗτος γέγονεν Ἱεραπόλεως Ἐπίσκοπος, Φρυγίας Σαλουταρίας, ἐπὶ τῆς Βασιλείας Μάρκου Ἀντωνίνου, θαυμάτων πολλῶν καὶ ἰάσεων αὐτουργός. οἶνον γὰρ καὶ ἐλαίου μετὰ καὶ ἑτέρου εἴδους ἐν ἀγγείῳ βληθέντος ἐν ἑνὶ, ἀσύγχυτον φυλαχθῆναι αὐτῶν τὴν κρᾶσιν πεποίηκε διὰ εὐχῆς. καὶ λίθον μέγιστον προσέταξεν ἀνακομισθῆναι παρὰ τοῦ δαίμονος ἀπὸ Ῥώμης εἰς Φρυγίαν. ὃν καὶ ἀντὶ στήλης τῷ τάφῳ αὐτοῦ προσέπηξε. καὶ θερμὰ ὕδατα διὰ προσευχῆς ἀπὸ τῶν τῆς γῆς λαγόνων ἐξήνεγκεν. Οὕτω βιώσας ἐν ὁσιότητι καὶ δικαιοσύνῃ τὸ λειπόμενον τῆς ζωῆς, πρὸς Κύριον ἐξεδήμησεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Ἑπτὰ Παίδων τῶν ἐν Ἐφέσῳ, Μαξιμιλιανοῦ, Ἰαμβλίχου, Μαρτινιανοῦ, Διονυσίου, Ἀντωνίνου, Ἐξακουστωδιανοῦ, καὶ Κωνσταντίνου.

Στίχ. Παῖδες λιπόντες πρὸς μικρὸν μακροὺς ὕπνους.

Ὕπνωσαν αὖθις τὸν μετ' εἰρήνης ὕπνον.

Οὗτοι οἱ Ἅγιοι ὑπῆρχον ἐπὶ Δεκίου Βασιλέως, καὶ καιρὸν λαβόντες βουλεύσασθαι, τὰ πάντα αὐτῶν πτωχοῖς διανείμαντες, ὑπέδυσαν ἐν σπηλαίῳ. εὐξάμενοί τε τοῦ δεσμοῦ λυθῆναι τοῦ σώματος, καὶ μὴ παραδοθῆναι τῷ Βασιλεῖ, ἀπέθεντο τὰς ψυχάς. Ὡς δὲ τοῦ Δεκίου ἀναζητήσαντος τούτους, πρὸς τὸ θῦσαι τοῖς εἰδώλοις, μετὰ τὸ ὑποστρέψαι εἰς Ἔφεσον, καὶ τὴν ἐν τῷ σπηλαίῳ τούτων τελευτὴν ἀναδιδαχθεὶς, ἐκέλευσεν, ἀναφραγῆναι τοῦ σπηλαίου τὸ στόμιον. Ἔκτοτε οὖν, τριακοσίων ἑβδομήκοντα δύω χρόνων παρεῤῥηκότων, ἐπὶ τῆς Βασιλείας Θεοδοσίου τοῦ μικροῦ, τῷ τριακοστῷ ὀγδόῳ ἔτει τῆς Βασιλείας αὐτοῦ, αἱρέσεως ἀναφυείσης, περὶ τοῦ μὴ εἶναι Ἀνάστασιν, ὁ Βασιλεὺς βλέπων τὴν τοῦ Θεοῦ Ἐκκλησίαν ταρασσομένην, διὰ τὸ καὶ Ἐπισκόπους τινὰς τῇ αὐτῇ αἱρέσει ἁλίσκεσθαι, διηπόρει τί διαπράξασθαι. ὅμως περιβαλλόμενος σάκκον, καὶ τῇ γῇ ἑαυτὸν ὑποστρώσας, ἐθρήνει, παρακαλῶν τὸν Θεὸν, ὅπως φανερώσηται αὐτῷ ζητούμενον. Οὐ παρεῖδεν οὖν ὁ Κύριος τὰ τούτου δάκρυα, ἀλλ' ἔπνευσε τοιῷδε τρόπῳ οἰκονομίας. Ὁ τοῦ ὄρους Κύριος, ἐν ᾧ τὸ σπήλαιον ἦν, ἠθέλησε ποιῆσαι κατὰ τὸν καιρὸν ἐκεῖνον μάνδραν τῷ ποιμνίῳ αὐτοῦ, καὶ κυλίσαντι λίθους ἐκ τοῦ σπηλαίου, καὶ συμβὰν οὕτω Θεοῦ προστάξει, ἀνέστησαν οἱ ἐκεῖσε τελευτήσαντες Ἅγιοι Παῖδες ἑπτά· καὶ ὡμίλουν πρὸς ἀλλήλους, ὡς ἤδη χθὲς ὑπνώσαντες, μὴ δ' ὁπωσοῦν ἀλλοιωθέντες, ὡς μηδὲ τῶν περιβλημάτων αὐτῶν ὧν ἐνεδέδυντο, τὸ σύμβολον ἐκ τῆς γῆς παραβλαβέντων. καὶ πλεῖον ὅτι καὶ Δέκιος ζητεῖ αὐτοὺς τιμωρήσασθαι. ἐπὶ μνήμης ἔχοντες περὶ τούτου, πρὸς ἑαυτοὺς ὡμίλουν, τοῦ Μαξιμιλιανοῦ πρὸς τοὺς ἑτέρους λέγοντος· εἰ καὶ κρατηθῶμεν ἀδελφοὶ, στῶμεν ἀνδρείως, καὶ μὴ προδώσωμεν ἡμῶν τὴν εὐγένειαν τῆς πίστεως. ἀλλὰ σὺ ἀδελφὲ Ἰάμβλιχε, ἄπελθε, ἐξώνησον ἄρτους, πλὴν περισσοτέρους. ὀψὲ γὰρ ὀλίγους ἤνεγκας, καὶ πρόσπεινοι ἐκοιμήθημεν. μάθε δὲ, καὶ τί βούλεται περὶ ἡμῶν ὁ Δέκιος; ἀπελθὼν δὲ ὁ Ἰάμβλιχος ἐν τῇ Πόλει, καὶ ἰδὼν τὸ σημεῖον τοῦ Σταυροῦ ἐν τῇ πύλῃ, ἐθαύμασεν. ἰδὼν δὲ τὸ αὐτὸ καὶ ἐν ἑτέροις τόποις, καὶ τὰ κτίσματα ἐνηλλαγμένα, καὶ τοὺς ἀνθρώπους παρηλλαγμένους, ἐδόκει ὄνειρον βλέπειν, ἢ ἐν ἐκστάσει γενομέναι. ἀπελθὼν δὲ ὅμως πρὸς τοὺς πωλοῦντας, ἔλαβε τοὺς ἄρτους. καὶ δοὺς τὸ ὑπὲρ αὐτῶν ἀργύριον τοῖς πωλοῦσιν, ὑποστρέφειν ἔσπευδεν. ὡς δὲ ἑώρα τοὺς πωλοῦντας ὑποδεικνύοντας ἀλλήλοις τε καὶ ἑτέροις τὸ ἀργύριον, καὶ πρὸς αὐτὸν ἀφορῶντας, καὶ φάσκοντας, θησαυρὸν εὑρεῖν, ὡς τοῦ ἀργυρίου προφανῶς ἐλέγχοντος τὸ λεγόμενον, τοῦ πρὸ χρόνων βασιλεύοντος οὐκ ὀλίγων τὴν τύπωσιν φέροντος, τρόμῳ συνεχε-



Digitized by Google

μετεχέθη καὶ ἀφωνία, νομίζων, ἀναγνωρισθῆναι παρ᾽ αὐτῶν, καὶ παραδοθῆναι κατασχεθεὶς Δεκίῳ τῷ Βασιλεῖ. καὶ τοίνυν προπεσών, ἀντιβόλει λέγων· δέομαι ὑμῶν Κύριοί μου, ἐπεὶ τὸ ἀργύριον ἐν χερσὶν ἔχετε, λάβετε καὶ τοὺς ἄρτους, μόνον ἄφετέ με ὑποχωρήσειν. οἱ δὲ, δεῖξον ἡμῖν ἔλεγον τὸν θησαυρὸν καὶ ποίησον κοινωνούς. εἰ δ᾽ οὔ, παραδίδομέν σε εἰς θάνατον. καὶ ἅμα τῷ λόγῳ συντόμως ὁρῶντες τοῦτον, τῷ τραχήλῳ κλοιὸν ἐπέθεντο, καὶ ἐπὶ τὴν λεωφόρον εἷλκον, καὶ ὡς πρὸς τὸν Ἀνθύπατον ἤγαγον, καὶ παρέστησαν εἰς ἐξέτασιν. ὃν οὗτος ἰδὼν ἤρετο· διήγησαι ἡμῖν ὦ νεανία, ὅπως τε τὸν θησαυρὸν εὗρες, καὶ ὅσος οὗτος, καὶ ποῦ; ὁ δὲ, ἀπεκρίνατο· εὕρημα μηδέ ποτε εὑρεῖν, ἀπὸ τῶν γονέων δὲ κεκτῆσθαι, καὶ τίνοι ἐστὶ τὸ συμβὰν οὐ γινώσκω. καὶ ὁ Ἀνθύπατος· καὶ ποίας Πόλεως εἶ; ὁ δὲ, ἐκ ταύτης ἔφησεν εἶναι, ἐὰν ἡ Ἔφεσος αὕτη ἐστί. καὶ ὁ Ἀνθύπατος· καὶ τίνες εἰσὶν οἱ γονεῖς σου; ἐλθέτωσαν πρὸς ἡμᾶς, καὶ τῆς ἀληθείας διαγνωσθείσης, πιστεύσομέν σοι. ὁ δὲ, ὁ δεῖνα ἐστὶν ὁ Πατήρ μου, ἔλεγε, καὶ ἡ δεῖνα ἡ Μήτηρ μου, καὶ ὁ δεῖνα προσγενής, καὶ ὁ δεῖνα πάππος. καὶ ὁ Ἀνθύπατος πρὸς αὐτόν· ξένα καὶ ἀνυπόστατα ὀνόματα, καὶ ἔξω τῶν κατὰ συνήθειαν ὀνομαζομένων λέγων, πιστευθῆναι οὐ δύνασαι. ὁ Ἰάμβλιχος εἶπεν· ἐὰν τὴν ἀλήθειαν λέγοντί μοι οὐ πιστεύεις, ἕτερον εἰπεῖν οὐ γινώσκω. ὁ Ἀνθύπατος εἶπεν· ἀσεβέστατε τὸ ἀργύριόν σου ἀπὸ τῆς ἐπιγραφῆς βοᾷ, πρὸ τριακοσίων χρόνων καὶ ἐπέκεινα, τυπωθῆναι ἐπὶ Δεκίου τοῦ Βασιλέως, καὶ σὺ νεώτερος ὤν, μήπω τριακοστὸν ἔτος φθάσας, σπουδάζεις ἀπατῆσαι ἡμᾶς; τότε ὁ Ἰάμβλιχος πεσὼν εἰς τοὺς πόδας αὐτῶν, παρεκάλει λέγων· δέομαι ὑμῶν Κύριοί μου, εἴπατέ μοι, ποῦ ἐστὶ Δέκιος ὁ Βασιλεύς, ὁ ὢν ἐν τῇ Πόλει ταύτῃ; οἱ δὲ πρὸς αὐτόν. ἐν τοῖς χρόνοις τούτοις Δέκιος οὐκ ἔστιν, ἀλλὰ πρὸ πολλῶν χρόνων γέγονε. καὶ ὁ Ἰάμβλιχος· καὶ διὰ τοῦτο Κύριοί μου ἐξεπλάγητε; ἀλλὰ ἀκολουθήσατέ μοι, καὶ δείξω πάντως τοὺς σὺν ἐμοὶ ἐν τῷ σπηλαίῳ, καὶ ἀπ᾽ αὐτῶν ἴσως πιστωθήσονται οἱ λόγοι μου. ἐγὼ γὰρ οἶδα, ὅτι ἀπὸ προσώπου Δεκίου τοῦ Βασιλέως ἐφύγομεν. καὶ τῇ χθὲς ἐλθὼν ἀγοράσαι ἄρτους, εἶδον, ὅτι εἰσῆλθε Δέκιος ἐν ταύτῃ τῇ πόλει. ταῦτα εἶπε. καὶ ὁ Ἐπίσκοπος Μαρῖνος ἀκούσας, λέγει τῷ Ἀνθυπάτῳ. ὑπολαμβάνω, ὅτι θαυμάσιόν τι συνέβη ἐν τῇ ὑποθέσει ταύτῃ. ἀλλὰ ἀπέλθωμεν ὁμοῦ σὺν αὐτῷ. καὶ πορευθέντες μετὰ τοῦ λαοῦ, εἰσῆλθε πρὸς τὸ σπήλαιον πρῶτος ὁ Ἰάμβλιχος. εἶθ᾽ οὕτως ὁ Ἐπίσκοπος. καὶ πρὸς τὰ δεξιὰ μέρη στραφεὶς τῆς θύρας εἶδε γλωσσόκομον ἐσφραγισμένον, δυσὶ σφραγῖσιν ἀργυραῖς, ὅπερ ἔθεντο Ῥουφῖνος καὶ Θεόδωρος ὡς χριστιανοί, ἀποσταλέντες μετὰ καὶ ἄλλων παρὰ Δεκίου, ἐπὶ τὸ ἀναφράξαι τὸ σπήλαιον, γράψαντες ἐν αὐτῷ τὰ τῶν Ἁγίων ὑπομνήματα, ὑποσημάναντες καὶ τὰ αὐτῶν ὀνόματα, ἐν πυξίσι μολυβδίναις. Συναχθέντων ἁπάντων τῶν Προκρίτων σὺν τῷ Ἀνθυπάτῳ, ὑπέδειξεν αὐτοῖς. καὶ ἀνοίξαντες εὗρον τὰς μολυβδίνας πυξίδας, καὶ ἀναγνόντες, ἐξέστησαν ἅπαντες. καὶ εἰσελθόντες ἔνδον τοῦ σπηλαίου, εὗρον τοὺς Ἁγίους, καὶ ἔπεσον εἰς τοὺς πόδας αὐτῶν. καὶ καθήσαντες, ἠρώτων αὐτούς· οἱ δὲ, διηγήσαντο ἐν πρώτοις μὲν περὶ αὐτῶν. εἶθ᾽ οὕτω τὰ τοῦ Βασιλέως Δεκίου ἀνδραγαθήματα. καὶ ἐξίσταντο ἅπαντες, καὶ ἐδόξαζον τὸν τῶν θαυμασίων Θεόν. Τότε ὁ Ἀνθύπατος σὺν τῷ Ἐπισκόπῳ δι᾽ ἀναφορᾶς δῆλα τῷ Βασιλεῖ Θεοδοσίῳ ταῦτα πεποιήκασιν. ὁ δὲ Βασιλεὺς χαρᾶς πλησθεὶς ἐπὶ τούτοις, σπουδῇ πολλῇ τὸν τόπον κατέλαβε, καὶ ἀνελθὼν ἐν τῷ σπηλαίῳ, τοὺς τῶν Ἁγίων πόδας, πεσὼν ἐπὶ τῆς γῆς, δάκρυσιν ἐναπέσμηχε. καὶ ἠγαλλιᾶτο, καὶ ἔχαιρεν ἡ ψυχὴ αὐτοῦ, ὅτι οὐ παρεῖδε Κύριος τὴν δέησιν αὐτοῦ, ἀλλ᾽ ὑπέδειξεν αὐτῷ ὀφθαλμοφανῶς τὴν τῶν νεκρῶν ἐξανάστασιν. Προσομιλοῦντος οὖν τοῦ Βασιλέως μετὰ τῶν Ἁγίων ἅμα τοῖς Ἐπισκόποις, καὶ ἑτέροις ἄρχουσιν οὐκ ὀλίγοις, οἱ Ἅγιοι μικρὸν ἐγκ-

πομυ-

Digitized by Google

πομυστάξαντες, τούτων ὁρώντων, πρὸς Κύριον αὖθις ἐξεδήμησαν. Τότε ὁ Βασιλεὺς δοὺς ἄμφια πολύτιμα, καὶ χρυσὸν καὶ ἀργύριον ἱκανὸν, ἐφ᾽ ᾧ γενέσθαι γλωσσόκομα ἑπτὰ εἰς τιμὴν τῶν Ἁγίων, ἐν τούτοις κατατεθῆναι ἐκέλευσεν. ἀλλὰ τῇ νυκτὶ ἐκείνῃ τῷ Βασιλεῖ ἐμφανισθέντες ἔλεγον· ἔασον ἡμᾶς ὦ Βασιλεῦ ἐν τῇ γῇ, ὅθεν ἅπαξ ἀνέστημεν. Γενομένης δὲ συνάξεως οὐκ ὀλίγας Ἐπισκόπων τε καὶ ἀρχόντων, ὁ Βασιλεὺς κατατεθεὶς τοὺς Ἁγίους ἐν τῇ γῇ, ὡς οὗτοι δι᾽ ἐπιτασίας ὑπέθεντο, καὶ χαρμόσυνον Ἑορτὴν ἐκτελέσας, ξενίαν οὐ μικρὰν τοῖς πτωχοῖς τῆς Πόλεως Ἐφεσίων πεποίηκε, καὶ πάντα τὸν λαὸν ἐχαροποίησε τὸν ὑπ᾽ αὐτὸν πολυτελῶς φιλοτιμησάμενος, καὶ τοὺς ἐν φυλακαῖς καθειρχθέντας Ἐπισκόπους, διὰ τὸ κηρύττειν τὴν ἀνάστασιν, ἀνεκαλέσατο, καὶ κοινὴ παρὰ πάντων γέγονεν Ἑορτὴ, εὐλογούντων τε καὶ δοξαζόντων τὸν Θεόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἀλεξάνδρου Ἐπισκόπου, καὶ Ἡρακλείου Μάρτυρος, Ἄμμης τε καὶ Ἐλισάβετ, Θεοδότης, καὶ Γλυκερίας.

Στίχ. Τμηθεὶς ὁ σεπτὸς Ἀλέξανδρος αὐχένα.
Καὶ Μάρτυς ἐστὶν, οὐ θύτης Χριστοῦ μόνον.
Θεοδότην ἄγχουσι καὶ Γλυκερίαν,
Θεοῦ γλυκείας ἠγαπηκυίας δόσεις.
Στῶμεν καλῶς, καὶ θῶμεν αὐχένας ξίφει,
Ἀθλοφόροι λέγουσιν, ἀλλήλαις δύω.

Οὗτος ὁ Ἅγιος Μάρτυς Ἀλέξανδρος Ἐπίσκοπος ὢν, καὶ πολλοὺς διδάσκων, καὶ ἐπιστρέφων καὶ βαπτίζων, ἐκρατήθη παρὰ τοῦ Ἡγεμόνος, καὶ πολλὰ τιμωρηθεὶς, καὶ ξεσθεὶς, καὶ ἀναγκασθεὶς θῦσαι τοῖς εἰδώλοις, οὐκ ἐπείσθη. Ἰδὼν δὲ τὴν καρτερίαν αὐτοῦ Ἡράκλειος ὁ στρατιώτης, ἐπίστευσε τῷ Χριστῷ. καὶ πολλὰ καὶ αὐτὸς τιμωρηθεὶς πρότερον, ἀπετμήθη τὴν κεφαλήν. θαυματουργήσας δὲ ὁ Ἅγιος Ἀλέξανδρος, ἔτι δὲ καὶ γενόμενος ἐκ τῶν πληγῶν ὑγιὴς, τῇ τοῦ Κυρίου ἐπισκέψει καὶ χάριτι, ἐπεσπάσατο πρὸς τὴν τοῦ Χριστοῦ πίστιν, καὶ γυναῖκας τιμίας τέσσαρας, Θεοδότην καὶ Γλυκερίαν, Ἄμμην καὶ Ἐλισάβετ, αἵτινες ὁρώντων τοῦ Ἡγεμόνος, ἐλέγξασαι τὴν τῶν εἰδώλων πλάνην, τὰς κεφαλὰς ἀπετμήθησαν. ὕστερον δὲ πάντων καὶ ὁ Ἅγιος Ἀλέξανδρος, τῷ ξίφει κρουσθεὶς, ἐτελειώθη. Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Ὡς θεῖος ποιμὴν, ὡς θαυμάτων αὐτουργὸς τυφλοῖς τὸ βλέπειν, ἀντάξια Πάτερ ἐχορήγησας, τὴν ἀκοὴν τοῖς κωφεύουσι, κάθαρσιν λεπροῖς, εὐδρομίαν τοῖς χωλοῖς, ἀναμέλπουσιν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Κηρύττει τὸ σὸν, τερατούργημα σοφὲ εἰς τὸν αἰῶνα, θερμῶν ὑδάτων ἡ ἀνάβλυσις, βωμὸς τῷ τάφῳ σου κείμενος, ὃν ἐκ τῆς Ῥωμαίων μεγίστης, μετηνέγκατο πόλεως, τὸ πονηρὸν ἐξελαθὲν πνεῦμα Ἀβέρκιε.

Λαοῦ ταπεινοῦ, προσηγήσω ὑψηλὸς ἐν θεωρίαις, καὶ ἐνεργείαις καὶ δυνάμεσιν, ἀποδειχθεὶς ἱερώτατε. καὶ τοῦ ὑψηλοῦ Βασιλέως, θεράπων τις ᾧ κραυγάζομεν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἐτέχθη ἐκ σοῦ, ὃν ἐγέννησε Πατὴρ πρὸ τῶν αἰώνων, διτταῖς οὐσίαις καὶ θελήσεσιν, οἷα Θεός τε καὶ ἄνθρωπος, Κόρη γνωριζόμενος πᾶσι, τοῖς ἐν πίστει κραυγάζουσιν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Ἄλλος. Ἐν τῇ καμίνῳ.

Σὺν Ἰαμβλίχῳ, Ἐξακουστωδιανὸν Μαρτινιανὸν, Ἀντωνῖνον καὶ τὸν εὐκλεῆ, Ἰωάννην Διονύσιον, Μαξιμιλιανὸν, τοὺς τοῦ Χριστοῦ τιμήσωμεν Μάρτυρας.

Ἐγκεκρυμμένοι, τῷ τὰ κρυπτὰ εἰδότι ηὔχεσθε, παῦσαι φθονερὸν τὸν φόνον τοῦ δυσσεβοῦς, κεκρυμμένως. ὅθεν θνήξαντες, τὴν φοβερὰν τυποῦτε ἀνάστασιν.

Βίαις οὐδ᾽ ὅλως, παραινούντων κατεκάμφθητε, σέβας τοῖς εἰδώλοις νέμαι θεοστυγές. διὰ τοῦτο πίστει σέβομεν, ὑμῶν τὰ λείψανα, ἁγιασμὸν λαμβάνοντες Ἅγιοι.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Ὤφθης Ἀγγέλων, Θεοκυῆτορ ὑπερέχουσα, ὤφθης Ἀθλητῶν κραταίωμα ἀληθῶς, ὤφθης Παρθένε διάσωσμα, τῶν γινωσκόντων σε, παναληθῆ τοῦ Λόγου λοχεύτριαν.

Ὠδὴ ή. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὁ περιδέξιος Ποιμήν, ἡ ἀκένωτος πηγὴ τῶν ἰαμάτων, Ἐκκλησίας ὁ στῦλος, ὁ τῶν πιστῶν στηριγμὸς, ὁ μέγας ἀστὴρ ὁ πολύφωτος, ὁ Ἱερομύστης, Ἀβέρκιος τιμάσθω.

Σὺ ὥσπερ φοῖνιξ ψαλμικῶς, ἐξανθήσας ἐν αὐλαῖς Θεοῦ τοῦ ζῶντος, ἐπληθύνθης ὡς κέδρος, καὶ ὡς ἐλαία σοφὲ, ἐφάνης ἐλαίῳ τῶν ἔργων σου, πάντων ἱλαρύνων, τὰ πρόσωπα ἐν πίστει.

Ὄρους ἐπάνω πρακτικῆς, πολιτείας ἐμφανῶς καθάπερ Πόλις, ἐγνωρίσθης κειμένη, καὶ βυθισθεῖσαν τὸ πρὶν τῇ πλάνῃ, Ὅσιε τὴν Πόλιν σου, Πόλεως τῆς ἄνω, δεικνύεις κληρονόμον.

Θεοτοκίον.

Ἰδοὺ ἡ κλίνη Σολομῶν, ἣν κυκλοῦσι δυνατοὶ τῆς θεοπνεύστου, νῦν γραφῆς αἱ προρρήσεις, ἐν ᾗ Χριστὸς ὁ Θεὸς, σαρκώσει θείᾳ ἀνεπαύσατο, ἡ εὐλογημένη καὶ κεχαριτωμένη.

Ἄλλος. Χεῖρας ἐκπετάσας Δανιήλ.

Χαίρει Ἐφεσίων ἡ λαμπρὰ, σαφῶς Μητρόπολις, ὑμᾶς πλουτήσασα, πρὸς τὸν παναγαθὸν Ἅγιοι, πρεσβευτὰς καὶ ἀντιλήπτορας, ξένον ὀφθέντας ἐπὶ γῆς, τοῖς πᾶσι θέαμα, τῇ ἐγέρσει τῇ παραδόξῳ, ἧς ἐδοξάσθητε.

Ἄγρυπνοι ὡράθητε ἡμῶν, μετὰ τὴν κοίμησιν, πάνσοφοι φύλακες, κατακοιμίσαντες κύματα, ἀπιστίας καὶ ἐμφράττοντες, αἱρετιζόντων ἐμφανῶς ἄθεα στόματα, παραδόξως, νεύσει Θεοῦ ἐκτελοῦντες θαυμάσια.

Ἔρριπται ὑμῶν πρὸ τῶν ποδῶν, ὁ πλάνος κείμενος, νεκρὸς ἀναίσθητος, ὁ πρὶν καυχώμενος ἄμετρα, καὶ οἰήσει σκοτιζόμενος. καὶ μεγαλύνεται Χριστὸς ὁ μεγαλύνας ἡμᾶς, ᾧ βοῶμεν, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἱερολογίαις ἱεραῖς, ὑμνολογήσωμεν τοὺς Παῖδας σήμερον, οὕσπερ κατέστεψε Κύριος, ἀμαράντοις διαδήμασι, καὶ ἐμεγάλυνε, πολλῶν θαυμάτων λάμψεσι, μελῳδοῦντας, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Νοσοῦσαν Παρθένε τὴν ἐμὴν, ψυχὴν θεράπευσον, καὶ τὸν ἐφάπτα μοι παθῶν, ἀπόλυμον βόρβορον. καὶ τῷ βήματι παράστησον, τοῦ Παντοκράτορος Θεοῦ, ὅλον σῳζόμενον, ἵνα μέλπω, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὁ Εἱρμός.

„ Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων
„ χάσματα ἐν λάκκῳ ἔφραξε. πυ-
„ ρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περι-
„ ζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ παῖδες
„ κραυγάζοντες. εὐλογεῖτε, πάντα τὰ ἔρ-
„ γα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ὡς φωταυγής σου ὁ βίος, ὡς ὡραῖοι οἱ πόδες. ὡς λίαν θαυμαστὴ ἡ πρὸς Θεὸν, μύησις ὁμοῦ καὶ οἰκείωσις. ὡς μεγίστη ἡ χάρις, ἡ ἄνωθεν δοθεῖσά σοι σοφέ. διὰ τοῦτο ἐν πίστει, τιμῶμέν σε Ἀβέρκιε.

Σὲ τὸν ὁμόσκηνον πάντων, τῶν Ἁγίων Μαρτύρων, τὸν σύνθρονον τῶν θείων Μαθητῶν, Πατριαρχῶν τὸν ὁμότιμον, Προφητῶν καὶ Ὁσίων, καὶ τῶν ἐπουρανίων λειτουργῶν, τὸν συνόμιλον πίστει, γεραίρομεν Ἀβέρκιον.

Ἡ παναγία σου μνήμη, ἀπλουμένη ἐν Κόσμῳ, φωτίζει τῶν ἀνθρώπων τὰς ψυχὰς, φέγγει πλουσίῳ ἐν χάριτι. ἣν τελοῦντες ἐκ πόθου, παθῶν ἡμᾶς καὶ σκότους πειρασμῶν, ταῖς πρεσβείαις σου ῥῦσαι, δεόμεθα Ἀβέρκιε.

Θεοτοκίον.

Φωτιστικήν σε λυχνίαν, ὁ Προφήτης προβλέπει, λαμπάδιον τὸ θεῖον ἀληθῶς, ἐν ἑαυτῇ ἐπιφέρουσαν, Παναγία Παρθένε, τὸν μόνον ὑπερούσιον Θεὸν, διὰ σπλάγχνα ἐλέους, ἐκ σοῦ ἐνανθρωπήσαντα.

Ἄλλος.

Digitized by Google

Ἄλλος. Λίθος ἀχειρότμητος ὄρους.

Ἴδε δὴ τί καλόν, ἢ τί τερπνόν, Δαβὶδ ὁ θεῖος ἀνεβόα. ἀλλ᾽ ἢ τὸ οἰκεῖν ἐν ὁμονοίᾳ, ἁγίους Παῖδας σεπτὰ σκηνώματα, τὴν πρὸς τὸν Κτίστην ἕνωσιν, τετηρηκότας ἀδιάσπαστον.

Ὤφθητε ἑπτάφωτος οἶκος, Μάρτυρες θεῖοι τῆς Τριάδος, ἔνδον ἐν σπηλαίῳ θανόντες, καὶ τῶν εἰδώλων ῥήγματα συμπτώσαντες, καὶ πρὸς ναὸν Οὐράνιον, ὁμοφρόνως μετοικήσαντες.

Ἐσκίρτησον Χριστοῦ Ἐκκλησία, στέφουσα ἑπτὰ βαστάζοντάς σε, ἔχουσα Κυρίου τοὺς Παῖδας, δι᾽ ὧν πεπτωκότα τείχη ἀνίδρυται, κακοπιστίας χάριτι, τοῦ τὴν ζωὴν νεκροῖς ἐμπνεύσαντος.

Ἠεροφαεῖς ὡς ἀστέρες, πᾶσαν τὴν γῆν φωταγωγεῖτε, θείων ἀρετῶν καὶ θαυμάτων, φαιδραῖς ἀκτῖσι Παῖδες μακάριοι. διὸ ἡμῶν φωτίσατε, τὰ τῆς καρδίας αἰσθητήρια.

Θεοτοκίον.

Φέρεις ἐν ἀγκάλαις τὸν πάντα, θείᾳ κατέχοντα παλάμῃ. ὅν περ ἐκδυσώπει Παρθένε, ἐμὲ τὸν μόνον ὄντα κατάκριτον, δι᾽ εὐσπλαγχνίαν ἄφατον, ἐναγκαλίσασθαι καὶ σῶσαί με.

Ὁ Εἱρμός.

„ Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας, τὰς διεστώσας φύσεις. διὸ ἐπαγαλλόμενοι σὲ Θεοτόκε μεγαλύνομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Ἐπιτελῶν Ἀβέρκιε, τέρατα καὶ σημεῖα, θερμῶν ὑδάτων ἔκβλυσιν, σαῖς εὐχαῖς ἀπειργάσω, καὶ τῇ προστάξει σου Πάτερ, ἐν ἑνὶ σκεύει οἶνος, μετ᾽ ἐλαίου εἶδος τε, βεβλημένου ἑτέρου, θείᾳ ῥοπῇ, ἀναγῆ προσέρχονται παραδόξως. καιρῷ ἰδίῳ ἕκαστον, εἰς Χριστοῦ δόξαν θείαν.

Ὅμοιον. Τῶν Ἁγίων.

Σὺν Ἰαμβλίχῳ μέλψωμεν, Ἰωάννην Μαρτῖνον, καὶ Ἀντωνῖνον ᾄσμασι, Μαξιμιλιανόν τε, καὶ Διονύσιον ἅμα, τῷ κλεινῷ Ἐξακουστῷ. φαιδρῶς πανηγυρίζοντες, τὴν λαμπρὰν αὐτῶν μνήμην, ὅπως εὐχαῖς, τούτων καὶ πρεσβείαις τῆς Θεοτόκου, πταισμάτων λύσιν εὕρωμεν, πρὸς Χριστοῦ τοῦ Σωτῆρος.

Εἰς τοὺς Αἴνους, ἵστ. προσόμοια τοῦ Ἱεράρχου.

Ἦχος πλ. δ. Κύριε, εἰ καὶ κριτηρίῳ παρέστης.

Ἔχρισέ σε Ἀρχιερέα ἡ χάρις ἡ τοῦ Πνεύματος Ἀβέρκιε, πλάνης καθαιρούμενα τεμένη, καὶ ἀνιστῶντα τῇ χάριτι, ναοὺς Θεοῦ ἱερούς, εἰς δόξαν τε καὶ αἴνεσιν, τοῦ τεχθέντος ἐκ Παρθένου, καὶ τὰ πάντα ἁγιάσαντος.

Θαύμασι, Πάτερ ἐβεβαίωσας πάντας, λόγους τοῦ θείου κηρύγματος, καὶ τοὺς πλανωμένους ἀνθρώπους, πρὸς θείαν γνῶσιν ἐπέστρεψας, φωταγωγὸς ἀπλανής, Ἀβέρκιε δεικνύμενος, καὶ δαιμόνων καθαιρέτης. διὰ τοῦτο εὐφημοῦμέν σε.

Μέγιστος, πᾶσιν ὡς Ἥλιος Πάτερ, τῇ Οἰκουμένῃ ἀνέτειλας, λάμψεσι τῶν πανσόφων σου λόγων, καὶ ἰαμάτων λαμπρότητι, φωταγωγῶν τοὺς πιστούς, καὶ σκότος παθῶν πάντοτε, ἐκδιώκων ἐνεργείᾳ, τοῦ Ἁγίου μόνου Πνεύματος.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις.

Ἐν τῇ Λειτουργίᾳ τὰ Τυπικά, καὶ ἐκ τοῦ Κανόνος, καὶ τ᾽ ἄλλα ὁμοίως ὡς σύνηθες.

---

## Τῷ αὐτῷ Μηνὶ ΚΓ΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος καὶ Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου. ἵστ. Ἦχος δ.

Ἔδωκας σημείωσιν.

Δεῦτε τὸ μνημόσυνον, τοῦ θεαδέλφου τιμήσωμεν, ἱερῶς οἱ θεόφρονες. ζυγὸν γὰρ δεξάμενος, τοῦ Χριστοῦ προθύμως, τοῦ Εὐαγγελίου, τῆς ἀγαθότητος αὐτοῦ, καὶ Βασιλείας κήρυξ γεγένηται, καὶ τούτου τὴν ἀνέκφραστον, οἰκονομίαν πιστεύεται. δι᾽ αὐτοῦ παντοδύναμε, ἱλασμὸν ἡμῖν δώρησαι.

Πάντα περιήχησε, τῆς Οἰκουμένης τὰ πέρατα, τῶν ῥημάτων ὁ φθόγγος σου, δι᾽ ὧν φωτιζόμεθα, ἀρετῆς ἐνθέου, πρὸς

Digitized by Google

πρὸς πᾶσαν ἰδέαν, καὶ ὁδηγούμεθα πιστῶς, πρὸς τῆς Τριάδος θείαν ἐπίγνωσιν. διὸ ἐκδυσωποῦμέν σε, ὡς Ἱεράρχης ἱκέτευε, Ἰησοῦν τὸν φιλάνθρωπον, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Πόρρωθεν προβλέπων σου, τὴν πολιτείαν Ἰάκωβε, ἀδελφὸν σε προσήκατο, Χριστὸς ὁ φιλάνθρωπος, ὁ σοφὸς προγνώστης, Ἱεροσολύμων, Ἱεροφάντορα πιστὸν, καὶ Ποιμενάρχην προχειρισάμενος, καὶ μύστην τὰ ἀπόρρητα, ἱερουργοῦντα μυστήρια. ὃν καὶ νῦν καθικέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος Πλ. δ'.

Αἵματι τοῦ Μαρτυρίου, τὴν Ἱερωσύνην κατεποίκιλας, Ἱερομάρτυς Ἀπόστολε. τῷ γὰρ πτερυγίῳ τοῦ Ἱεροῦ παρεστὼς, Θεὸν Λόγον ἐκήρυξας, δημιουργὸν ὄντα τοῦ παντός. ὅθεν ὑπὸ Ἰουδαίων ῥιφεὶς, Οὐρανίων θαλάμων ἠξίωσαι, ἀδελφόθεε Ἰάκωβε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτ. Τὴν ἡμέραν ἀνέστης.

Τὴν πᾶσαν μου ἐλπίδα εἰς σὲ, Παρθένε ἀνατίθημι. μὴ παρίδῃς, ἀλλὰ σπεῦσον ἀγαθὴ, ῥυσθῆναί με ἐν τάχει, παθῶν τῶν ἐνοχλούντων, καὶ καθ' ἑκάστην πολεμούντων με.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Πάναγνος ὡς εἶδέ σε, ἐπὶ Σταυροῦ κρεμάμενον, θρηνῳδοῦσα, ἀνεβόα μητρικῶς, Υἱέ μου καὶ Θεέ μου, γλυκύτατόν μου Τέκνον, πῶς φέρεις πάθος ἐπονείδιστον;

Εἰς τὸν στ. Τὰ προσόμοια. Ἦχος Πλ. δ'.

Κύριε εἰ καὶ κριτηρίῳ.

Κύριε, εἰ καὶ πτερυγίῳ παρέστη, τοῦ Ἱεροῦ ὁ Ἰάκωβος, ἀλλὰ παῤῥησίᾳ λαλήσας, Θεὸν Λόγον σὲ ἐκήρυξε, δημιουργὸν τοῦ παντὸς, Κόσμῳ ἐπιδημήσαντα. οὗ ταῖς πρεσβείαις, καὶ νῦν παράσχου, τὸν φωτισμὸν ταῖς ψυχαῖς ἡμῶν.

Στιχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Κύριε, εἰ καὶ ἐν τῷ ξύλῳ ἡ χαρὰ, τοῦ Ἀποστόλου συντέτριπται, ἀλλ' ἐν Παραδείσῳ τῷ ξύλῳ, τῷ τῆς ζωῆς νῦν προσήνεκται. τῶν γὰρ προσκαίρων λυθεὶς, ἀϊδίμως ἀγάλλεται. οὗ ταῖς πρεσβείαις ταῖς Ἐκκλησίαις, τὴν εἰρήνην σου κατάπεμψον.

Στ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Κύριε, σὲ ὁμολογήσας γενναίως, ὁ Ἀδελφόθεος γέγηθεν, Υἱὸν τοῦ Θεοῦ τοῦ ὑψίστου, ἀλλ' ἀοίδιμος τοὺς δυσφημοῦντας ἐχθροὺς, κατῄσχυνε καὶ ἔπαυσε. διὰ τοῦτο καὶ ἀναθλήσας, σοὶ παρίστηκεν ἀγαλλόμενος.

Δόξα. Ἦχος Πλ. δ'.

Τοῦ Ἀρχιποίμενος Χριστοῦ, ἀδελφὸς χρηματίσας, καὶ διαδοχὰς, καὶ ἐν Ἀποστόλοις ἐπίσημος, τὸν ὑπὲρ αὐτοῦ θάνατον ἠγάπησας. καὶ τὸ μαρτύριον ἐπαισχύνθης, Ἰάκωβε ἔνδοξε, αὐτὸν ἱκέτευε ἀδιαλείπτως, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτ. Κύριε εἰ καὶ κριτηρίῳ.

Ἴδε μου, τῆς συντετριμμένης καρδίας, τοὺς στεναγμοὺς Θεονύμφευτε, πρόσδεξαι Παρθένε Μαρία, καὶ μετάπεμψαι παράκλησιν, ταῖς τῶν χειρῶν μου Ἁγνὴ, ἐπάρσεις ὡς φιλάγαθος, ἵνα ὑμνῶ καὶ μεγαλύνω, τὸν μεγαλύναντα τὸ γένος ἡμῶν.

Σταυροθ. Οἱ Μάρτυρές σου Κύριε.

Ἡ Πάναγνος ὡς εἶδέ σε, σταυρῷ κρεμάμενον ἐθελουσίως, κατανοοῦσά σου τὴν δυναστείαν, λύπῃ συνείχετο Χριστὲ, καὶ ὀδυρομένη ἀνεβόα σοι· Τέκνον μή με λύπῃς τὴν τεκοῦσάν σε, δός μοι λόγον Υἱὲ μου. μή με σιγῶν παρέλθῃς, Λόγε τὴν δούλην σου.

Τροπάριον. Ἦχος δ'.

Ὡς τοῦ Κυρίου Μαθητὴς, ἀνεδέξω Δίκαιε τὸ Εὐαγγέλιον, ὡς Μάρτυς ἔχεις τὸ ἀπαράτρεπτον, τὴν παῤῥησίαν ὡς Ἀδελφόθεος, τὸ πρεσβεύειν ὡς Ἱεράρχης. πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχ. Οἱ Κανόνες, τῆς Ὀκτωήχου, καὶ τοῦ Ἀποστόλου, εἰς ϛ'. Θεοφάνους.

Ὠδὴ α'. Ἦχος δ'.

Θα-

Digitized by Google

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Τὴν δόσιν τὴν ἀγαθὴν Ἰάκωβε, καὶ δῶρον τέλειον, ἐκ τοῦ Πατρὸς τῶν φώτων τοῖς βροτοῖς, χορηγεῖσθαι διδάσκεις σαφῶς. ἧς μετασχεῖν Ἀπόστολε, τοὺς σὲ ὑμνοῦντας καθικέτευε.

Τῇ αἴγλῃ σὺ φωτισθεὶς Ἰάκωβε, τοῦ Θείου Πνεύματος, καὶ σὺν αὐτῷ τοὺς νόμους ἐκτιθεὶς, Ἐκκλησίας ῥυθμίζεις ἐθνῶν, ὡς τοῦ Χριστοῦ Ἀπόστολος, Ἱεροφάντορ παμμακάριστε.

Χορείαν τῶν Ἀποστόλων Πάνσοφε, σαφῶς ἐκόσμησας. Ἀρχιερεὺς ὡς πρῶτος γεγονὼς, αὐτουργίᾳ τοῦ Λόγου χρισθεὶς ὡς Μαθητὴς θεάδελφος, ἱεροκήρυξ μυστικώτατος. Θεοτοκίον.

Πηγὴν σε τῶν ἰαμάτων ἔχοντες ἀπαρυόμεθα. ὡς τὴν πηγὴν τεκοῦσαν τῆς ζωῆς, Θεοτόκε πανύμνητε. καὶ τῶν ψυχῶν τὴν ἴασιν, καὶ τῶν σωμάτων τὴν ἀμάκτησιν.

Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Εὐφραίνεται ἡ φυλὴ, ἡ τοῦ Ἰούδα ἐπὶ σοὶ σήμερον, ταῖς τοῦ Χριστοῦ βλέπουσα, σὲ μαρμαρυγαῖς ἀπαστράπτοντα.

Ἀστέρα θεολαμπῆ, ἡ Ἐκκλησία τῶν ἐθνῶν ἔχουσα, σὲ ἀοίδιμε κήρυκα, θείαις διδαχαῖς σου λαμπρύνεται.

Τὸν νόμον τὸν τῆς ζωῆς, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ τέθεικας, ζωοποιῷ Πνεύματι, σὺ νομοθετῶν καὶ φθεγγόμενος.

Θεοτοκίον.

Ὃν ἔτεκες ἐν σαρκὶ, Παρθενομῆτορ ἐκ Πατρὸς λάμψαντα, τοῦτον Ἁγνὴ Ἰάκωβος, ὡς Θεὸν τῶν ὅλων ἐκήρυττε.

Ὁ Εἱρμός.

„ Εὐφραίνεται ἐπὶ σοὶ, ἡ Ἐκκλησία σου
„ Χριστὲ κράζουσα. σύ μου ἰσχὺς Κύριε,
„ καὶ καταφυγὴ, καὶ στερέωμα.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἀπόστολε Χριστοῦ, καὶ αὐτόπτα καὶ Μάρτυς, Ἰάκωβε σοφὲ, Ἀδελφόθεε μάκαρ, τοὺς πίστει ἑορτάζοντας, τὸ σεπτόν σου μνημόσυνον, ἐλευθέρωσον, τῶν συνεχόντων πταισμάτων, ταῖς πρεσβείαις σου, τοὺς Οὐρανοὺς ἐμβατεύων, δυνάμει τοῦ Πνεύματος.

Δόξα. Ἦχος Πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

Συγγενὴς κατὰ σάρκα τοῦ Ἰησοῦ, χηματίσας πρὸς τούτου χάριν πολλὴν, Ἀπόστολε εἴληφας, καὶ τοῖς πᾶσι τετέδωκας, φωτισμοῦ καὶ γνώσεως, πανσόφου Ἰάκωβε, καὶ εἰδώλων πλάνην, ῥιζόθεν ἀνέσπασας. ὅθεν σοι τοῦ σκότους, προϊστάμενοι πλάνοι, ἀδίκως σε κτείνουσι, τὸν Σωτῆρα κηρύττοντα. διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὡς πανάμωμος νύμφη τοῦ Ποιητοῦ, ὡς ἀπείρανδρος Μήτηρ τοῦ Λυτρωτοῦ, δοχεῖον ὡς ὑπάρχουσα, τοῦ Παρακλήτου πανύμνητε, ἀνομίας με ὄντα, αἰσχρὸν καταγώγιον, καὶ δαιμόνων παίγνιον, ἐν γνώσει γενόμενον. σπεῦσον καὶ τῆς τούτων, κακουργίας με ῥῦσαι, λαμπρὸν οἰκητήριον, τοῦ Παρακλήτου πανάμωμε, δι᾽ ἀρετῆς ἀπαρτίσασα, φωτοδόχε ἀκήρατε. δίωξον τὸ νέφος τῶν παθῶν, καὶ τῆς ἄνω μεθέξεως ἀξίωσον, καὶ φωτὸς ἀνεσπέρου πρεσβείαις σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Ἀμνὸν καὶ Ποιμένα καὶ Λυτρωτὴν, ἡ ἀμνὰς θεωροῦσα ἐν τῷ Σταυρῷ, ἠλάλαζε δακρύουσα, καὶ πικρῶς ἀνεκραύγαζεν. ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται. ὁρώσης σου τὴν σταύρωσιν. ἣν περ ὑπομένεις, διὰ σπλάγχνα ἐλέους, Θεὲ ὑπεράγαθε, ἀνεξίκακε Κύριε. ἣ πιστῶς ἐκβοήσωμεν, σπλαγχνίσθητι Παρθένε ἐφ᾽ ἡμᾶς, καὶ πταισμάτων δώρησαι τὴν ἄφεσιν, τοῖς προσκυνοῦσιν αὐτοῦ τὰ παθήματα.

Ὠδὴ δ΄. Δι᾽ ἀγάπησιν οἰκτίρμων.

Ἐπεβίβασας εἰς θάλασσαν σοῦ τοὺς ἵππους, τοὺς Ἀποστόλους Σῶτερ, καὶ ἐφώτισαν τὰ ἔθνη, πρὸς τὴν σὴν ἐπίγνωσιν, ἑλκύσαντες Κύριε.

Ἀκη-

Digitized by Google

Χηλιδωτὸν ὡς ἔσοπτρον δεδαγμένας, καὶ πρωτουργοὺς ἀκτῖνας, τῆς ἀκτίστου Τριάδος, ἀκριβῶς δεξάμενος, τοῖς πᾶσι διέλαμψας.

Κυλιόμενόν σε λίθον ἡ προφητεία, ἡγιασμένον βλέπει καὶ συντρίβοντα πλάνης, σαθρὰν ματαιότητα, ἰσχύϊ τοῦ Πνεύματος. Θεοτοκίον.

Ὑπὸ δυὸς Παρθενομήτορ τὴν σὴν γαστέρα, ὁ πρὸ αἰώνων Λόγος, γεννηθεὶς ἀπορρήτως, ἐκ Πατρὸς Ἰάκωβον, Ἀπόστολον δείκνυσιν.

Ὠδὴ έ. Σὺ Κύριε μου φῶς.

Σὺ Κύριε φωτὸς, ἀστραπὴν τὸν Ἰάκωβον, ἀνέδειξας φρυκτωροῦσαν, καὶ βροτοὺς τῆς ἀγνοίας, καὶ πλάνης ἀπαλλάττουσαν.

Σὲ Κύριε φωνῇ, ἐλευθέρᾳ ἐκήρυξεν, ὁ δίκαιος ἀδελφός σου, μιμητὴς καὶ τοῦ πάθους, ἐγένετο κτεινόμενος.

Τίς βρότειός σοι νοῦς, ἐγκωμίων ἐφύμνιον, δυνήσεται προσκομίζειν; ἀρετῆς λαμπρυνθέντι, ταῖς χάρισιν Ἰάκωβε;

Θεοτοκίον.

Σὲ θεῖον ἀληθῶς, εὑρηκὼς ἐνδιαίτημα, κατῴκησεν ὦ Παρθένε, τὴν ἡμῶν σωτηρίαν, ὁ Λόγος προμηθούμενος.

Ὠδὴ ϛ'. Θύσω σοι, μετὰ φωνῆς.

Στολὴν σε, τῆς νομικῆς ἐνδύσεως κρείττονα, καὶ Ἱεράρχην δεικνύει, Ἀαρὼν τοῦ πάλαι τιμιωτέραν, ὁ δι' οἶκτον, εἰς ἀδελφότητά σε δεξάμενος.

Ὄργανον, ἐνεργείαις χρώμενον Πνεύματος, πᾶσαν διάνοιαν θέλγων, καὶ Θεῷ προσάγων τοὺς σῳζομένους, ἐκ δουλείας, χαλεπωτάτης γέγονας ἄριστος.

Διψήσας, τοῦ τῆς ζωῆς διέπιες νάματος, καὶ ποταμοὺς ἀναβλύζεις, θεορρημοσύνης τῆς σῆς κοιλίας, ἀλλομένους, τῇ Οἰκουμένῃ τῷ Θείῳ Πνεύματι.

Θεοτοκίον.

Εὔα μὲν, παρακοῇ τὸν θάνατον ἔτεκεν. ἡ Θεοτόκος ζωὴν δὲ, συλλαβοῦσα τέτοκε τὴν ἀγήρω. καὶ τὸ πάλαι, ὑπὲρ πάντων ἀπέτισεν ὄφλημα.

Ὁ Εἱρμός.

„Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, „ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων „λύθρου κεκαθαρμένη, τῷ δι' οἶκτον, ἐκ „τῆς πλευρᾶς σου ῥεύσαντι Αἵματι.

Κοντάκ. Ἦχος δ'. Ὁ ὑψωθεὶς.

Ὁ τοῦ Πατρὸς μονογενὴς Θεὸς Λόγος, ἐπιδημήσας πρὸς ἡμᾶς ἐπ' ἐσχάτων, τῶν ἡμερῶν Ἰάκωβε θεσπέσιε· πρῶτόν σε ἀνέδειξε τῶν Ἱεροσολύμων, Ποιμένα καὶ Διδάσκαλον, καὶ πιστὸν οἰκονόμον, τῶν μυστηρίων τῶν πνευματικῶν. ὅθεν σε πάντες τιμῶμεν Ἰάκωβε.

Ὁ Οἶκος.

Τὸν νόμον σε τοῦ Ἰωσὴφ, καὶ Ἱεροσολύμων τὸν πρῶτον Ἱεράρχην, Ἰάκωβε θεόπτα, καὶ τοῦ Κυρίου ἀδελφὸν, ὕμνοις ἐγκωμίοις ἀνυμνοῦμεν εὐσεβῶς, καὶ πίστει ἀνακράζομεν· δώρησαι ἡμῖν δώρημα τέλειον, ἐκ τοῦ Πατρὸς τῶν φώτων. καὶ ἀπέλασον τὴν θλῖψιν τὴν ἐπερχομένην, καὶ ἐνέγκωσαν ἐκ πλήθους πταισμάτων. ἐπῆραν γὰρ οἱ ἐχθροὶ καθ' ἡμῶν τὴν πτέρναν, καὶ ἐκύκλωσαν ἡμᾶς Ἰσμαηλῖται. ὧν θραῦσον ταχὺ τὰ τόξα ἱεροφάντορ· ἵνα σε πάντες τιμῶμεν Ἰάκωβε.

Τῷ αὐτῷ Μηνὶ ΚΓ'. Τοῦ Ἁγίου Ἱερομάρτυρος καὶ Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου.

Στ. Κληθεὶς ἀδελφὸς τοῦ κατακείτου ξύλῳ. Θνήσκεις δι' αὐτὸν, Παμμάκαρ κρουσθεὶς ξύλῳ.

Ἔθλον Ἀδελφόθεον τριτάτῃ ξύλῳ εἰκάδι πλῆξαν.

Οὗτος ὁ Ἅγιος Ἰάκωβος ὁ Ἀδελφόθεος, πρῶτος Ἐπίσκοπος ἐν Ἱεροσολύμοις ἐγένετο, παρ' αὐτοῦ τοῦ Κυρίου χειροτονηθεὶς, καὶ πρῶτος τὴν θείαν Λειτουργίαν ἔγραψε, καὶ διέθετο, παρ' αὐτοῦ τοῦ Χριστοῦ ταύτην διδαχθεὶς. ἥν τινα Λειτουργίαν ὕστερον συντομωτέραν ἐποίησεν ὁ μέγας Βασίλειος, καὶ μετ' αὐτὸν ὁ θεῖος Χρυσόστομος, διὰ τὴν τῶν ἀνθρώπων ἀσθένειαν. Ποιμαίνων δὲ τὴν ἐν Ἱεροσολύμοις Ἐκκλησίαν, καὶ πολλοὺς διδάσκων ἐκ



Digitized by Google

τῶν Ἰουδαίων καὶ τῶν Ἑλλήνων, καὶ ἐπιστρέφων αὐτοὺς ἐπὶ τὸν Κύριον, εἰς ὀργὴν ἐκίνησε τοὺς Ἰουδαίους. κρατήσαντες οὖν αὐτὸν, ἔῤῥιψαν ἀπὸ τοῦ ἄκρου τοῦ Ἱεροῦ, καὶ ἀπέκτειναν. Περὶ δὲ τοῦ λέγεσθαι Ἀδελφόθεος, φέρεται τοιοῦτος λόγος ἐκ παραδόσεως. Τοῦ Μνήστορος Ἰωσὴφ μερίζοντος τὴν γῆν αὐτοῦ τοῖς ἐκ προτέρας γυναικὸς παισὶ, καὶ βουλομένου μερίδα ποιήσασθαι καὶ τῷ ἐκ τῆς ἁγίας Παρθένου Υἱῷ καὶ Θεῷ, οἱ μὲν ἄλλοι οὐ κατεδέξαντο. ὁ δὲ Ἰάκωβος λαβὼν αὐτὸν εἰς τὴν μερίδα συγκληρονόμον, ἐκλήθη, οὐ μόνον Ἀδελφόθεος, ἀλλὰ καὶ Δίκαιος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰγνατίου Πατριάρχου Κωνσταντινουπόλεως.

Στ. Εὗρες μεταστὰς τὴν παλαιὰν ἀξίαν.
Ἰγνάτιε Πρόεδρε Ῥώμης τῆς Νέας.

Ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Ἰγνάτιος, Υἱὸς γέγονε τοῦ εὐσεβεστάτου ἐκείνου Βασιλέως Μιχαὴλ τοῦ Ῥαγγαβὲ, τοῦ (πρὸ τοῦ Λέοντος τοῦ Ἀρμενίου) εὐσεβῶς βασιλεύσαντος, ἔγγονος Νικηφόρου τοῦ Βασιλέως τοῦ ἀπὸ γενικοῦ. εὐνοῦχος δὲ γενόμενος ὑπὸ τοῦ θεομισοῦς Λέοντος τοῦ Ἀρμενίου, εἶτα καὶ Μοναχὸς ἀποκαρεὶς, καὶ Ἡγούμενος τῆς τοῦ Ἀρχαγγέλου Μονῆς, τῆς τότε μὲν ἐπικαλουμένης Ἀνατέλλοντος, νῦν δὲ Σατύρου. εἶτα προεχειρίσθη Πατριάρχης Κωνσταντινουπόλεως, καὶ ἐκράτησεν ἔτη ἕνδεκα καὶ μῆνας πέντε, καὶ μετὰ ταῦτα ἐξεβλήθη ὑπὸ Μιχαὴλ Βασιλέως, ἀντ' αὐτοῦ Πατριάρχην προβαλλομένου Φώτιον πρωτοσπαθάριον, καὶ πρωτασηκρῆτιν, γενόμενον πρότερον Μοναχόν. εἶτα ἐξεβλήθη καὶ αὐτὸς ὑπὸ Βασιλείου Βασιλέως, καὶ ἀπεκατέστη πάλιν Ἰγνάτιος. καὶ ἐκράτησεν ἔτη δέκα, καὶ πάλιν ἐξεβλήθη. καὶ ἐγένετο Στέφανος ὁ ἐν ἁγίοις. ὁ δὲ Ἅγιος Ἰγνάτιος ἀπελθὼν ἐν τῇ Σατύρου Μονῇ, ἐν εἰρήνῃ ἀνεπαύσατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μακαρίου τοῦ Ῥωμαίου.

Στ. Ἔρημον ἠγάπησας οἰκεῖν παμμάκαρ.
Θεῷ ὁμιλεῖν καταμόνας τῷ μόνῳ.

Τρεῖς τινὲς ἡγιασμένοι γέροντες, Σέργιος, καὶ Ὕγινος, καὶ Θεόφιλος, ἐκ τῆς Μονῆς τοῦ Ἁγίου Ἀσκληπιοῦ, τοῦ ἐν τῇ Μεσοποταμίᾳ τῆς Συρίας, ὁμονοήσαντες ἐπ' ἀγαθῷ ποτε λογισμῷ, σκοπὸν ἔσχον ἄχρι τέλους τὴν περίγειον ταύτην διελθεῖν. καὶ τῆς πορείας ἀρξάμενοι, ἀλλεπάλληλα ηὕρισκον δεινά. πῇ μὲν, ἐξ ἀνθρώπων, πῇ δὲ, ἐκ θηρίων. θλιβόμενοι, κακουχούμενοι, καὶ αὐτῆς ἔστιν ὅτε, τῆς ἐκ τῶν ἀγρίων βοτάνων τροφῆς ὑστερούμενοι. τέως ὁδὸν ἡμερῶν οὐκ ὀλίγων διαβιβάσαντες, κατέλαβον τόπον τινὰ, πορείαν ἀνθρώπου μηνύοντα. δι' ἧς καὶ ὡδηγήθησαν εἰς σπήλαιον ἀπελθεῖν, φαινόμενον ἐγκάτοικον ἔχειν ἄνθρωπον, διὰ τὸ κεκοσμημένον εὑρεθῆναι. ἐν ᾧ εἰσελθόντες, προσεκαρτέρουν ἰδεῖν τὸν τούτου οἰκήτορα. μετὰ μικρὸν δὲ, εὐωδίας τινὸς αἰσθόμενοι, εἶδον ὁμοίωμα ἀνδρὸς ἐστολισμένον ταῖς οἰκείαις θριξίν. οὗτος δὲ ἦν ὁ ὅσιος τοῦ Θεοῦ Μακάριος ὁ Ῥωμαῖος. ἐρχόμενος δὲ οὗτος ἐπὶ τὸ σπήλαιον ἤσθετο μακρόθεν αὐτῶν. καὶ ῥίψας ἑαυτὸν ὁ γέρων χαμαὶ, προσηύξατο, καὶ κράξας φωνῇ μεγάλῃ λέγει· εἰ ἀπὸ Θεοῦ ἐστε, ἐμφανίσθητέ μοι, εἰ δὲ ἀπὸ τοῦ δαίμονος, ἀπόστητε ἀπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ταπεινοῦ. Ἐκεῖνοι δὲ ἀπεκρίναντο· εὐλόγησον ἡμᾶς δοῦλε τοῦ Θεοῦ, χριστιανοὶ μέν ἐσμεν, καὶ τῷ διαβόλῳ ἀπεταξάμεθα. Τότε ὁ γέρων ἀναστὰς, ἔρχεται πρὸς αὐτούς. καὶ διαχωρίσας τὰς τρίχας ἀπὸ τῆς ὄψεως αὐτοῦ εὐλόγησεν αὐτούς· ἦσαν δὲ αἱ τρίχες αὐτοῦ λευκαὶ ὡσεὶ χιὼν, τὸ δὲ σῶμα αὐτοῦ, ὡς δέρμα χελώνης. ἐκ δὲ τοῦ πολλοῦ γήρους, κεχαλασμέναι ἦσαν αἱ ὀφρύες αὐτοῦ ἐπάνω τῶν ὀφθαλμῶν αὐτοῦ, καὶ οἱ ὄνυχες τῶν χειρῶν καὶ τῶν ποδῶν αὐτοῦ πλέον εἶχον τῆς σπιθαμῆς. αἱ δὲ τρίχες τοῦ πώγωνος αὐτοῦ μέχρι τῶν ποδῶν αὐτοῦ, καὶ ἤρξατο ἐρωτᾶν· πόθεν ἐστὲ τεκνία μου; καὶ διὰ τί ἐληλύθατε ἐνταῦθα; Οἱ δὲ εἶπον αὐτῷ πάντα τὸν σκοπὸν αὐτῶν. Ἀπεκρίθη δὲ ἐκεῖνος· τεκνία μου, οὐκ ἔστιν ἐν γεννητοῖς

Digitized by Google

μητοῖς τις δυνάμενος καταμονῆσαι τὴν δύναμιν τοῦ Θεοῦ. ἐγὼ γὰρ ὁ ἀνάξιος ἐσπούδασα τοῦτο ποιῆσαι, καὶ διὰ νυκτὸς ἐφάνη μοί τις λέγων μὴ θελήσῃς πειρᾶσαι τὸν πλάσαντά σε. οὐ δύνασαι γὰρ πλέον διελθεῖν τοῦ τόπου τούτου. καὶ εἶπον, διὰ τί Κύριέ μου; ὁ δὲ εἶπεν· ἀπὸ μίλια εἴκοσι τῶν ὧδε, ἔστι τεῖχος σιδηροῦν, καὶ ἐνδότερον τούτου τεῖχος χαλκοῦν, καὶ ἔσωθεν τούτου εἰσί τινες, ἀπὸ μὲν τῶν ποδῶν αὐτῶν ἕως τοῦ ὀμφαλοῦ ἄνθρωποι, τὸ στῆθος λέοντος, καὶ ἡ κεφαλὴ δράκοντος, καὶ αἱ χεῖρες δράκοντος, καὶ κρυστάλλου ὁμοίωμα, πύρινα ξίφη κατέχοντες, φυλάσσοντες τοὺς τόπους ἐκείνους, τοῦ μηδένα ὑπερβῆναι τὰ ἐνδότερα. Ταῦτα ἀκούσαντες ἐκεῖνοι, ἐφοβήθησαν φόβον μέγαν. καὶ ἦν λοιπὸν πρὸς ἑσπέραν, καὶ λέγει αὐτοῖς· τεκνία μου, ὑποχωρήσατε μικρόν. ἔχω γὰρ δύω παιδία ἐνταῦθα, πρὸς ἑσπέραν ἐρχόμενα, μήπως ξενιαθέντα ἐν ἡμῖν, ἀδικήσωσιν ὑμᾶς. καὶ ἰδοὺ δύω λέοντες ἐλθόντες ἐκ τῆς ἐρήμου δρομαῖοι, ἔπεσον εἰς τοὺς πόδας αὐτοῦ ὠρυόμενοι. ἐκεῖνοι δὲ πάλιν ἀπὸ τοῦ φόβου ἔπεσον χαμαί. καὶ ἐπιθεὶς αὐτοῖς ὁ γέρων τὰς χεῖρας, λέγει· τεκνία μου, ἐκ τῆς γῆς τῶν ἀνθρώπων ἐληλύθασί τινες πρός με, ἀλλὰ μηδὲν αὐτοὺς βλάψητε. καὶ εὐθὺς ὁ γέρων στραφεὶς πρὸς τοὺς Μοναχοὺς, λέγει· δεῦτε ποιήσωμεν ἀδελφοὶ ἑσπερινὸν ὕμνον. καὶ ὡς ἀνέστησαν οὗτοι περιδεεῖς, δραμόντες οἱ λέοντες, περιέλειχον τοὺς πόδας αὐτῶν. τῇ δὲ ἑξῆς λέγουσι τῷ Ἁγίῳ· εἰπὲ ἡμῖν τίμιε Πάτερ, πῶς ἐνταῦθα ἐλήλυθας; ὁ δὲ ἀποκριθεὶς, εἶπεν· ἐγὼ Υἱὸς ἐγενόμην Ἰωάννου τινὸς Ῥωμαίου Συγκλητικοῦ, καὶ ἐμνηστεύσαντό μοι οἱ γονεῖς γυναῖκα, ἐμοῦ μὴ βουλομένου, καὶ ἐγένοντο οἱ γάμοι, καὶ ὅτε ἡμᾶς ἐγκλείειν ἔμελλον εἰς τὸν κοιτῶνα, τοῦ λαοῦ παίζοντος καὶ ὀχλοῦντος οὐ μικρῶς ἐξῆλθον μόνος ἐγὼ σιωπηρῶς, καὶ ἐκρύβην ἐν οἰκήματι γυναικὸς χήρας ἐφ' ἡμέρας ἑπτὰ, θρηνούντων ἐκείνων καὶ ζητούντων με. μετὰ δὲ ταῦτα μέσης νυκτὸς ἀναστὰς, ἦλθον παρὰ τὴν ὁδὸν, καὶ εὑρόν τινα γηραιὸν, καὶ εἶπον πρὸς αὐτόν· ποῦ πορεύῃ Πάτερ; ὁ δὲ ἀποκριθεὶς εἶπέ μοι. ὅπου αὐτὸς ἔχεις τὸν νοῦν σου, ἐκεῖ πορεύομαι, καὶ ἠκολούθησα αὐτῷ. καὶ διὰ τριῶν ἐτῶν, ἦλθον ἐνθάδε σὺν αὐτῷ. πρότινων οὖν ἡμερῶν, τῆς πρὸς τὰ ἐνταῦθα ἀφίξεώς μου, κοιμωμένων ἡμῶν, ἅμα τῷ διυπνισθῆναί με, ἀπῆλθεν ἐξ ὀφθαλμῶν μου, καὶ ἠρξάμην κλαίειν, καὶ λυπεῖσθαι. καὶ εὐθέως ἐφάνη μοι, λέγων· ἐγώ εἰμι Ῥαφαὴλ ὁ Ἀρχάγγελος. μὴ οὖν δειλιάσῃς, ἀλλὰ δὸς δόξαν τῷ Θεῷ. ἤδη γὰρ διῆλθες τὰ σκοτεινὰ, καὶ ἐλήλυθας εἰς τὸ φῶς. καὶ ταῦτα εἰπὼν, ἤρθη ἐξ ὀφθαλμῶν μου. ἐγὼ δὲ εὐθέως ἠρξάμην ὁδεύειν, καὶ μετὰ πέντε ἡμέρας ἦλθον ἐνθάδε, καὶ εὗρον ἐν τῷ σπηλαίῳ τούτῳ λέαιναν νεκρὰν, καὶ τὰ δύω λεοντάρια ἐπ' αὐτῇ κλαίοντα καὶ κοπτόμενα, μὴ εὑρίσκοντα θηλάσαι. καὶ λαβὼν, ἔθρεψα αὐτὰ ἐκ τῶν ἀκροδρύων, ὡς γνήσιά μου τέκνα. τὴν δὲ λέαιναν ὀρύξας, κατέχωσα ὑπὸ τὴν γῆν. καὶ μετὰ τὸ ποιῆσαί με χρόνους δύω, ἐξελθὼν ὥραν ἑβδόμην, ἐκάθισα μετὰ τῶν σκυμνίων τούτων, καὶ ἰδοὺ σανδάλιον ἐν τῇ γῇ εἶδον κείμενον, ψιλώτατον πάνυ καὶ ἀέριον. καὶ ἐξέστην ἐν τῇ διανοίᾳ μου, καὶ εἶπον· πόθεν ἐστὶ τοῦτο; τῇ δὲ ἑξῆς εὑρίσκω πάλιν πέδιλα σηρικά. καὶ ἐπ' ἀμφοτέροις ἐκπλαγεὶς, καὶ περιβλεψάμενος, εἶδον γυναῖκα καθεζομένην ἐπάνω πέτρας, καὶ ἱματισμῷ χρυσίῳ πολυτελεῖ κεκοσμημένην, καὶ ἀηδὴ οὖσαν, καὶ λέγω αὐτῇ· πόθεν παραγέγονας; καὶ τί ἐστι τὸ διαβολικὸν τοῦτο σχῆμα; ἡ δὲ ἔκλαιε πικρῶς, λέγουσα. ἐγὼ ἡ ταλαίπωρος, θυγάτηρ εἰμὶ Ῥωμαίου τινὸς Συγκλητικοῦ, καὶ ἠνάγκασάν με οἱ γονεῖς μου γάμῳ συζευχθῆναι, ἐμοῦ μὴ βουλομένης. καὶ ἐκφυγοῦσα ἀπὸ τοῦ συνδέσμου, τούτων μηδενὸς ἐπιγινώσκοντος τὴν φυγὴν, πλανῶμαι ἐν ὄρεσι καὶ σπηλαίοις. ἀλλὰ καὶ νῦν ἐν τοῖς ἐρήμοις τόποις, καὶ πάρειμι, μὴ γινώσκουσα, ποῦ ἀπέρχομαι. μὴ οὖν βδελύξῃ με τὴν δούλην σου, ὅτι κἀγὼ πλάσμα Θεοῦ εἰμί. αὕτη δὲ ἦν πειρασμὸς, καὶ

Digitized by Google

διε-

διελέγετό μοι τέχνη, κἀγὼ οὐκ ᾔδειν. εἶπον δὲ πρὸς αὐτὴν· τοῦ βούλει ἀπελθεῖν; ἐπειδὴ κἀγὼ οὐκ ἐῶσε εἶναι μετ' ἐμοῦ. ἡ δὲ εἶπεν· ἐν τῇ ἐρήμῳ ταύτῃ ἦλθον κατοικῆσαι. καὶ λαβὼν αὐτὴν, ἐν τῷ σπηλαίῳ ἤγαγον, καὶ δέδωκα αὐτῇ φαγεῖν ἐκ τῶν ἀκροδρύων ὧν ἤσθιον. καὶ τὰ δάκρυα αὐτῆς κρουνηδὸν ἔρρεον, καμοῦ ἡ ψυχὴ σύντρομος γέγονεν. ὁπηνίκα δὲ ἡ ἑσπέρα κατέλαβε, καὶ τὴν ἑσπερινὴν τελέσας εὐχὴν, ἀνεκλίθην εἰς τὴν γῆν ὀλίγον ἡσυχάσαι, καὶ ἤρξατό με ταράσσειν ὁ Σατανᾶς. καὶ ὁ μηδέποτε ἐπιθυμήσας τινὸς ἁμαρτίας σαρκικῆς, ἠράσθην τῆς γυναικὸς, καὶ ἠβουλήθην συγγενέσθαι αὐτῇ. καὶ ἰδοὺ ἄφνω ἀφανὴς ἐγένετο ἀπ' ἐμοῦ. καὶ γνοὺς, ὅτι ἥμαρτον ἐνώπιον τοῦ Θεοῦ, εἶπον· ἥμαρτον ἐνώπιόν σου Κύριε, ἐλέησόν με. καὶ τελείως εἰς ἑαυτὸν ἐλθὼν, εὗρον τὴν ἁμαρτίαν μου, ὅτι πολλὴ ἦν σφόδρα. καὶ γὰρ οὐδὲ τὰ λεοντάρια ταῦτα ἤρχοντο πρός με ἐπὶ ἡμέρας δέκα, καθὼς πρώην ἐποίουν. ἐσκόπησα μεταναστης γενέσθαι, μήπως πάλιν πλανηθῶ, καὶ ἀπορριφθῶ ἀπὸ προσώπου Κυρίου. καὶ ἀναστὰς, ἐξῆλθον τοῦ σπηλαίου τούτου. καὶ περιπατήσαντός μου ὁδὸν ἡμερῶν δύω, ἐπέστη μοι Ἄγγελος Κυρίου, λέγων· ποῦ πορεύῃ Μακάριε; καὶ εἶπον αὐτῷ· ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου ἀποδιδράσκω. καὶ εἶπέ μοι ὁ Ἄγγελος, ἓν πειρασμὸν βαστάσαι οὐκ ἠδυνήθης; ἀποστράφηθι εἰς τὸ κελλίον σου. καὶ εἶπον αὐτῷ· τίς εἶ Κύριε; καὶ εἶπεν, ἐγώ εἰμι Ῥαφαὴλ ὁ ὁδηγήσας σε ἐν τῇ ὁδῷ. καὶ ταῦτα εἰπὼν, ἀφανὴς ἐγένετο ἀπ' ἐμοῦ. καὶ ὑποστρέψας ἐν τῷ κελλίῳ τούτῳ, ἔκλινα γόνυ πρὸς Κύριον, τεσσαράκοντα νυχθήμερα νῆστις τελέσας. καὶ ἀναστὰς, εἶδον τὸ σπήλαιον τοῦτο ἔχον φῶτα εἰς τὰς τέσσαρας γωνίας, καὶ ἄνδρα ἠμφιεσμένον πορφύραν, καὶ στέφανον χρυσοῦν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἐκ λίθων πολυτίμων, καὶ ἔψαλλεν ᾠδὴν παράδοξον, καὶ ἡ φωνὴ αὐτοῦ, ὡς ὄχλου πολλοῦ ψαλλόντος. καὶ ὁπηνίκα τὴν ᾠδὴν ἐπλήρωσεν, εὐωδία γέγονε φοβερά· καὶ ἀθέως ἀφανὴς μοι ἐγένετο ὁ φανείς. ἀνερχομένου δὲ αὐτοῦ εἰς τὸν Οὐρανὸν, ἐγένοντο ἀστραπαὶ καὶ βρονταὶ καὶ σεισμοί. κἀγὼ ἐκπλαγεὶς, ἄφωνος ἐγενόμην τεκμήρια μου ἐπὶ ἡμέρας ἑβδομήκοντα. ἤμην δὲ τότε, τεσσαρακοντα ὀκτὼ χρόνων. ἰδοὺ ταῦτα ἠκούσατε ἀδελφοί. ἐὰν δύνασθε ὑπομεῖναι, μείνατε πρὸς ἡμᾶς. εἰδ' οὖ, ὁ Κύριος ὑμᾶς ὁδηγήσει. καὶ ἀπέλυσεν, εἰπὼν σώζεσθε ἐν εἰρήνῃ πραγματικὰ τέκνα ὑπὲρ ἐμοῦ εὐχόμενοι. καὶ διέσωσαν αὐτοὺς οἱ λέοντες ἡμέρας τρεῖς. οἳ καὶ καταφιλήσαντες τὰ ἴχνη τῶν ποδῶν αὐτῶν, ὑπέστρεψαν πρὸς τὸν γέροντα. οἱ δὲ Μοναχοὶ ὁδεύσαντες πρὸς τὴν Οἰκουμένην ἡμέρας τινὰς, καὶ ποταμὸν καταλαβόντες, καὶ μικρὸν ἀφυπνώσαντες, ἡρπάγησαν ὑπὸ θείων Ἀγγέλων, καὶ ἀπετέθησαν ἐν Ἱερουσαλήμ. ἔξυπνοι δὲ γενόμενοι, καὶ καταμαθόντες ὁποῖον καὶ πόσον διάστημα ὡς ἐν ὀνείρῳ διῆλθον, ἐδόξαζον τὸν Θεόν. καὶ προσευξάμενοι ἐν συντόμῳ, καὶ προσκυνήσαντες ἅπαντας τοὺς ἁγίους τόπους, ὑπέστρεψαν εἰς τὴν Μονὴν αὐτῶν, ἐκδιηγούμενοι πρὸς τοῖς ἄλλοις οἷς ἔπαθον, καὶ εἶδον, καὶ τὰ κατὰ τὸν Ἅγιον Μακάριον.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

Ὡς ἐν καμίνῳ τῷ ὑπερῴῳ πυρσευόμενος, Θείου παρουσίᾳ Πνεύματος μυστικῶς, ὁ Ἰάκωβος ἐβόησεν· εὐλογημένος εἶ ὁ Θεὸς μου καὶ Κύριος.

Ἡ ἐκ τοῦ ὕψους πνοὴ βιαία τὸν Ἰάκωβον, γλώσσῃ περιμόρφῳ φθέγγεσθαι τοῦ Θεοῦ, μεγαλεῖα παρεσκεύασεν· εὐλογημένος εἶ ὁ Θεὸς μου καὶ Κύριος.

Τῆς θεωρίας τῆς πρακτικῆς ἐκτιθέμενος, δέλτον ἐκ πυξίδος ὥσπερ πνευματικῆς, τοὺς ἀνθρώπους ἐβελτίωσας. εὐλογημένος εἶ ὁ Θεὸς μου κραυγάζων καὶ Κύριος.

**Θεοτοκίον.**

Ὁ ἀναπλάσας Κόσμον ἐν μήτρᾳ σου Θεόνυμφε, θείας λειτουργίας δεικνυσι τελετὴν, τὸν Ἰάκωβον κραυγάζοντα· εὐλο-



Digitized by Google

γημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις παμάμωμε Δέσποινα.

Ὠδὴ η´. Χεῖρας ἐκπετάσας Δανιήλ.

Χεῖρας ἐκπετάσας κραταιὰς, τοὺς Ἀποστόλους σου Σῶτερ εὐλόγησας, ἐπανερχόμενος Δέσποτα, πρὸς τὸν ἄναρχον Πατέρα σου, καὶ παρεσκεύασας αὐτοὺς μετ᾽ εὐφροσύνης βοᾷν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὥσπερ ἐπηγγείλω ἀψευδῶς, τοῖς Ἀποστόλοις σου Πνεῦμα ἀπέστειλας, τούτου Ἰάκωβος Δέσποτα, τῇ λαμπρότητι λαμπόμενος, τὴν Οἰκουμένην ἀστραπαῖς, καταγλαΐζει φαιδρῶς· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Σοφίαν Ἰάκωβε σοφὲ, τὴν ἐνυπόστατον, ἔχεις διδάσκαλον, μυσταγωγοῦσάν σε ἄῤῥητα, καὶ ἀνέκφραστα μυστήρια, καὶ πρὸς εὐσέβειαν λαοὺς, μέλπων διηγεῖσθαι· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Ὄρος ἐκφανθεῖσαν νοητὸν, Παρθένε ἄχραντε, Προφήτης βλέπει σε. ἐκ σοῦ ὑπέρτιμος λίθος γὰρ, ἐκτμηθεὶς περιεσώσατο, τὴν Οἰκουμένην ἀληθῶς, ἐνθέως ψάλλουσαν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὁ Εἱρμός.

„ Χεῖρας ἐκπετάσας Δανιὴλ, λεόντων „ χάσματα, ἐν λάκκῳ ἔφραξε. πυ„ ρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περι„ ζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ, Παῖ„ δες κραυγάζοντες· εὐλογεῖτε, πάντα „ τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ´. Λίθος ἀχειρότμητος.

Δεῦτε τὸν πρωτόθρονον πάντες, τῆς Ἐκκλησίας τὸν φωστῆρα, ἱεροῖς Ἰάκωβον ὕμνοις, ὡς Ἱεράρχην καὶ Θεῖον κήρυκα, τὸν φερωνύμως δίκαιον, ὁμομαθοῦντα μεγαλύνωμεν.

Θείας κοινωνὸν ὡς φανέντα, ἀτελευτήτου Βασιλείας, καὶ Θεοῦ κληθέντα ἀδελφὸν, καὶ πολιτείαν ἐπαληθεύσαντα, προσηγορίᾳ δείξαντα, σὲ μεγαλύνομεν Ἰάκωβε.

Θρόνῳ παραστάμενος μάκαρ, στεφανηφόρος τῆς Τριάδος, πίστει τοὺς τιμῶντάς σε πόθῳ, τῶν ἀκηράτων κατατρυφῆσαι γερῶν, Ἀρχιερεῦ Ἰάκωβε, τὸν σὸν Δεσπότην καθικέτευε. Θεοτοκίον.

Σὺ τὸν ἐκ Παρθένου τεχθέντα, ἀπειρογάμως Θεοφάντορ, ταῖς μυσταγωγίαις σου σαφῶς, Θεὸν διδάσκεις σεσαρκωμένον Λόγον. εἰς ὃν περ καὶ πιστεύοντες, νῦν ἐπαξίως μεγαλύνομεν. Ὁ Εἱρμός.

„ Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύ„ του σου Παρθένε, ἀκρογωνιαῖος ἐτ„ μήθη, Χριστὸς συνάψας, τὰς διεστώσας „ φύσεις. διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτό„ κε μεγαλύνομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Ὡς Ἱεράρχης πρώτιστος, τῆς καινῆς Διαθήκης, ὡς μέγιστος Ἀπόστολος, ὡς σοφὸς ὑποφήτης, καὶ Μάρτυς ὢν ἀληθείας, παρὰ πάντας πλουτήσας, ἐξαίρετον ἀξίωμα, ἀδελφὸς τοῦ Κυρίου, νῦν πρὸς αὐτὸν, λίθος ἀφαιρούμενος μετετέθης. παρ᾽ οὗ ἡμῖν Ἰάκωβε, λύσιν αἴτει πταισμάτων.

Θεοτοκίον. Ὅμοιον.

Ἡ φοβερὰ τῆς κρίσεως, καὶ μεγάλη ἡμέρα, νῦν ἐπὶ θύραις ἕστηκεν· ὅρα πρόσεχε νῆφε, ψυχή μου καὶ ἐκ καρδίας, πρόσπεσον τῇ Παρθένῳ, καὶ μόνῃ Θεομήτορι, δάκρυσιν ἐκβοῶσα, πάσης Ἁγνὴ, τιμωρίας ῥῦσαί με δυσωποῦσε, καὶ δεξιοῖς προβάτοις με, συντάξον τοῦ Υἱοῦ σου.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ´. καὶ ψάλλομεν τὰ παρόντα τρία προσόμοια.

Ἦχος α´.

Τῶν Οὐρανίων ταγμάτων.

Τῶν εὐσεβούντων τὰ πλήθη, νῦν ἱερὰν ἑορτὴν, χαρμονικῶς τελοῦντες, ἀλαλάξωμεν πάντες. πιστῶς ἀνευφημοῦντες, ψαλμοῖς καὶ ᾠδαῖς τὸν Θεάδελφον σήμερον, καὶ Μαθητὴν τοῦ Κυρίου, ὅστις ἀεὶ, ἱκετεύει τοῦ σωθῆναι ἡμᾶς.

Τῆς κατὰ σάρκα Κυρίου, ἐπιδημίας σοφὲ, ἀδελφὸς ἀνεδείχθης, Μαθητὴς καὶ αὐτόπτης, τῶν θείων μυστηρίων, θυ-

Digitized by Google

φυγὰς σὺν αὐτῷ, ἐν Αἰγύπτῳ γενόμενος, σὺν Ἰωσὴφ τῇ Μητρί τε τοῦ Ἰησοῦ, μεθ' ὧν πρέσβευε σωθῆναι ἡμᾶς.

Τῶν Ἀποστόλων ὁ δῆμος, σὲ ἐξελέξατο, ἱερατεύειν πρῶτον, ἐν Σιὼν τῇ ἁγίᾳ. Χριστῷ τῷ εὐεργέτῃ, ὡς ὄντα αὐτοῦ, τῆς κατὰ σάρκα γεννήσεως, καὶ ἀδελφὸν συνοδίτην καὶ ὀπαδόν, τῶν ἰχνῶν αὐτοῦ Ἰάκωβε.

Δόξα. Ἦχος α΄. Βυζαντίου.

Ἐν τῇ πνευματικῇ αἴγλῃ, τοῦ Θείου Πνεύματος φωτισθείς, τῆς ἀσεβείας ἀφθης θεῖος ζηλωτής, Ἀδελφόθεε Ἰάκωβε. ὅθεν καὶ στολὴν σε νομικῆς Ἱεροσωύνης, ὡς Ἀαρὼν τῷ πάλαι, τιμιωτέραν ἐνέδυσεν, ὁ δι' οἶκτον εἰς ἀδελφότητα δεξάμενος. αὐτὸν ἱκέτευε, Ἀποστόλων ἔνδοξε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἀποστόλου, ᾠδὴ γ΄. καὶ ς΄. Προκείμενον. Ἦχος πλ. δ΄. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν. Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται. Ὁ Ἀπόστολος πρὸς Γαλάτας. Ἀδελφοὶ γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον. Ζήτει Κυριακῇ κ΄. Ἀλληλούϊα. Ἦχος α΄. Ἐξομολογήσονται οἱ Οὐρανοί. Εὐαγγέλιον κατὰ Μάρκον. Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν πατρίδα. Ζήτει τῇ γ΄. τῆς ιε΄. Ἑβδομάδος τοῦ Ματθαίου. Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν. Καὶ τὰ λοιπά.

---

## Τῷ αὐτῷ Μηνὶ ΚΔ΄.

### Τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἀρέθα, καὶ τῆς συνοδίας αὐτοῦ.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχ. ς΄. καὶ ψάλλομεν Στιχηρὰ προσόμοια. Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Ἑβραίων ὠμότητι τὴν σὴν, ἀνδρείαν ἀντέθηκας, Μάρτυς Ἀρέθα πανεύφημε, καὶ θείᾳ χάριτι, νικηφόρος ὤφθης, καὶ χορὸν προσήγαγες, Μαρτύρων τῷ Χριστῷ στρατευόμενον, ἐκ πάσης ἔνδοξε, ἡλικίας συγκροτούμενον, καὶ ἐκ γένους παντὸς συνιστάμενον.

Ἀρέθα πανένδοξε τερπνήν, χορείαν στησάμενος, τῶν ἱερῶν συμμαρτύρων σου, μεθ' ὧν ἠγώνισαι, τὸν καλὸν ἀγῶνα, καὶ τὸν δρόμον ἤνυσας, τῆς σῆς ἀνδρειοτάτης ἀθλήσεως, Χριστὸν δυσώπησον, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Παρθένοι νεάνιδες Χριστοῦ, ἔρωτι πυρούμεναι, τῆς ἀσθενείας τῆς φύσεως, ἐπιλαθόμεναι, καὶ δυνάμει Θείᾳ, προφανῶς ῥωννύμεναι, τὴν πλάνην τοῦ ἐχθροῦ κατεπάτησαν, μὴ δειλιάσασαι, τῶν βασάνων τὸ ἐπίπονον, καὶ καμίνου, τὸ πῦρ μὴ πτοούμεναι.

Δόξα. Ἦχος δ΄. Ἀνατολίου.

Ἀσματικῶς τὸν Ποιμενάρχην, σήμερον πιστοί, ὁμοφρόνως τιμήσωμεν, Ἀρέθαν τὸν ἐνδοξότατον, μετὰ τῆς συνοδίας αὐτοῦ, ὅτι ἤλεγξε Βασιλέα παρανομήσαντα, καὶ τὸ αἷμα ἐξέχεεν ὑπὲρ Χριστοῦ τῆς ὁμολογίας. ὅθεν καὶ πύρινον μέσος κατέφλεγεν ἀπὸ προσώπου τῆς γῆς, διελέγχων τῶν παρανόμων τὴν ἀσέβειαν. διὸ Χριστὲ ὁ Θεός, ὁ τοὺς σοὺς ἀθλοφόρους ἐνισχύσας πρὸς τὴν δοξολογίαν, καὶ ἡμᾶς διάσωσον ὡς τῶν ὅλων Δεσπότης, ἐκ πειρασμῶν καὶ θλίψεων, ταῖς πρεσβείαις τῶν Ἁγίων σου.

Καὶ νῦν. Θεοτ. Ἔδωκας σημείωσιν.

Τὸν ῥύπον ἀπόσμηξον, τῆς ταλαιπώρου καρδίας μου, Θεοτόκε Πανύμνητε, καὶ πάντα τὰ τραύματα, καὶ τὰ ἕλκη ταύτης, τὰ ἐξ ἁμαρτίας, ἐναποκάθαρον Ἁγνή. καὶ τοῦ νοός μου στῆσον τὸ ἄστατον. ὅπως τὴν δυναστείαν σου, καὶ τὴν μεγάλην ἀντίληψιν, μεγαλύνω σῳζόμενος, ὁ ἀχρεῖος οἰκέτης σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἰδών σε ὁ Ἥλιος, καὶ ἡ Σελήνη φιλάνθρωπε, ἐπὶ ξύλου κρεμάμενον, ἀκτῖνας ἀπέκρυψαν, τῆς Δικαιοσύνης, Ἥλιε Χριστέ μου, καὶ τὰ θεμέλια τῆς γῆς, διεκλο-



Digitized by Google

κλονήθη φόβῳ τοῦ κράτους σου. ἡ Μήτηρ σου τὰ σπλάγχνα δὲ, τιτρωσκομένη ἐβόα σοι· Ἰησοῦ ὑπεράγαθε, δόξα τῇ εὐσπλαγχνίᾳ σου. Εἰς τὸν ἦ. ἦ. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος Πλ. δ΄.

Τὴν πονηρὰν καὶ ἄπιστον, κακοβουλίαν Ἑβραίων προδιαγνώσαντες, ἐν τῇ τοῦ πράγματος τόλμῃ, ὑπὲρ Χριστοῦ μαρτυρῆσαι ἠγωνίσασθε. ὡς γὰρ ἔκπαλαι ἐν μόνῳ, τὸν ἐξ Αἰγύπτου σώσαντα, ἐν ἐρήμῳ παρώργισαν, καὶ τοῦτον Σταυρῷ κατεδίκασαν, οὕτω νῦν καὶ ἐν ὑμῖν, ἔργῳ τὸν λόγον παρῆλθον, ἀπιστίαν ζηλώσαντες, ὑμᾶς τῷ πυρὶ κατεδίκασαν. ὑμεῖς δὲ ὁμοφρόνως, ἀνδρείως τῇ καρτερίᾳ ἐναθλήσαντες, φοβεροὶ ἐν Μάρτυσιν ἀνεδείχθητε. παῤῥησίαν ἔχοντες πρὸς Θεὸν, αἰτήσασθε ῥυσθῆναι, ἐκ πταισμάτων πολλῶν τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θκ. Οἱ Μάρτυρές σου.

Ἐξάρπασόν με Δέσποινα, χειρὸς τοῦ δράκοντος, τοῦ βροτοκτόνου τοῦ πολεμοῦντός με, ἐν ὑποκρίσει καταπιεῖν ὁλοτελῶς. σύντριψον τὰς μύλας τούτου δέομαι, καὶ τὰ μηχανήματα διάλυσον. ὅπως ῥυσθεὶς τῶν τούτου ὀνύχων, μεγαλύνω τὴν δυναστείαν σου. Σταυροθεοτοκίον. Ὅμοιον.

Ὁρῶσά σε σταυρούμενον, καὶ θανατούμενον, ἡ Θεοτόκος, οἴμοι ἐκραύγαζε, πῶς τὰς ὀδύνας, φέρεις γλυκύτατε Υἱέ; βάλλει τὴν καρδίαν μου ἡ λόγχη σου. φλέγει δὲ τὰ σπλάγχνα μου τὸ πάθος σου. ὅμως ὑμνολογῶ σε· θέλων γὰρ ταῦτα πάσχεις, σῶσαι τὸν ἄνθρωπον.

Ἀπολυτίκιον. Ἦχος α΄.

Τὰς ἀλγηδόνας τῶν Ἁγίων.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τῶν Ἁγίων.

Οὗ ἡ ἀκροστιχίς.

Μαρτυρικὴν σύνοδον θεοτερπέα μέλψομεν ὕμνοις.

Θεοφάνους. Ὠδὴ α΄. Ἦχος Πλ. δ΄.

Ἄσμα ἀναπέμψωμεν.

Μάρτυς ἀθλοφόρε τοῦ Χριστοῦ, Ἀρέθα παμμακάριστε, ταῖς ἱκεσίαις σου, καὶ τῶν σὺν σοὶ Μαρτύρων, τὴν νοῦν μου καταύγασον, ὅπως ὑμῶν ὑμνήσω, τὴν φωσφόρον καὶ ἔνθεον μνήμην.

Ἄνω τὸ πολίτευμα σαφῶς, ἐν οὐρανοῖς κτησάμενος θεομακάριστε, Χριστοῦ τῇ ἐκμιμήσει, σαυτὸν παραδέδωκας, πόθῳ τοῦ μαρτυρίου, τοῖς ἀνόμοις Ἑβραίοις θεόφρων.

Ῥῆμα παραβὰς τὸ τοῦ Θεοῦ, Ἑβραῖος ὁ παράνομος, καὶ ἀδικώτατος, τὴν θεόλεκτον ποίμνην, Χριστοῦ ἐλυμήνατο. ὅμως εἰσπράττει δίκην, τῇ δικαίᾳ καὶ θείᾳ προνοίᾳ.

Τρίβον διοδεύων ἀληθῶς, πρὸς Οὐρανὸν τὴν φέρουσαν, Χριστῷ προσήγαγες, Μαρτύρων Ἐκκλησίαν, Ἀρέθα πανεύφημε, πάσης ἐξ ἡλικίας, καὶ ἐκ γένους παντὸς ἠθροισμένην.

Θεοτοκίον.

Ὕμνοις τὴν παράδοξον πιστοὶ, Παρθένον εὐφημήσωμεν, τὴν Θεομήτορα, τὴν κεχαριτωμένην, τὴν σκέπην τὴν ἔνθεον, τὸν εὔδιον λιμένα, τὴν ἁπάντων πιστῶν σωτηρίαν.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ῥωννυμένην ὁρῶντες, τῇ τοῦ Χριστοῦ χάριτι, σοῦ τὴν Ἐκκλησίαν, Ἑβραίων παῖδες παράνομοι, φθόνῳ τηκόμενοι, ἐν αἰκισμοῖς πολυτρόποις, ἀφειδῶς ᾐκίζοντο, μόνε φιλάνθρωπε.

Ἰοβόλον τὴν γλῶσσαν, οἱ δυσσεβεῖς ἔχοντες, καὶ σὲ βλασφημοῦντες, τὸν τούτων τοὺς προγεννήτορας, ἐλευθερώσαντα, τῆς παλαιᾶς τυραννίδος, τοὺς εἰς σὲ πιστεύοντας, Σῶτερ κατέσφαξαν.

Κατὰ μόνας ὁ πλάσας, θεουργικῷ νεύματι, σὺ τὰς τῶν ἀνθρώπων καρδίας, τὸ τῆς προνοίας σου, βάθος διωνήσεται, καταλαβεῖν ὅπως ποίμνην, ἣν Χριστὲ συνήγαγες, λύκοις παρέδωκας.

Ἡ θεόφρων σου ποίμνη, βαρβαρικοῖς ξίφεσι, κατατεμνομένη, προθύμως ἐπεκαλεῖτό σε. δέξαι τὰ πνεύματα, καὶ τὰς ψυχὰς ἡμῶν Σῶτερ, καὶ πρὸς φῶς ὁδήγησον, τῆς Βασιλείας σου.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Νεκρωθέντα με πάλαι, πρὸς τὴν ζωὴν παράγων, πάλιν ἐπανήγαγες μόνη τὴν ἐνυπόστατον, ζωὴν γεννήσασα, ἧς προσβαλὼν διεῤῥάγη, προφανῶς ὁ θάνατος, ὁ δυσμενέστατος.

Ὁ Εἱρμός.

„ Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ „ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στε„ ρέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἀφετῶν „ ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μό„ νε φιλάνθρωπε.

Κάθισμα. Ἦχος Πλ. δ'.

Τὴν Σοφίαν καὶ Λόγον.

Τοῦ Σταυροῦ τῇ δυνάμει καθοπλισθεὶς, καὶ τῇ πίστει τειχίσας Πόλιν τὴν σὴν, τοῖς ἔργοις κατήσχυνας, τοῦ Τυράννου τὸ φρύαγμα. ὑπομονῆς δὲ τύπος, ἐνθέως γενόμενος, τῷ Χριστῷ προσήγαγες, ἐν ταύτῃ τοὺς Μάρτυρας. ὅθεν συνελθόντες, καταξίως τιμῶμεν, Ἀρέθα ἀοίδιμε, τὴν παρέορτον μνήμην σου, ἀθλοφόρε μακάριε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων.

Δόξα. τὸ αὐτό. Καὶ νῦν. Θτ. Ὅμοιον.

Ὡς πανάμωμος νύμφη τοῦ Ποιητοῦ, ὡς ἀπείρανδρος Μήτηρ τοῦ Λυτρωτοῦ, δοχεῖον ὡς ὑπάρχουσα, τοῦ Παρακλήτου πανάμωμε, ἀνομιῶν με ὄντα αἰσχρὸν κατογώγιον, καὶ δαιμόνων παίγνιον, ἐν γνώσει γενόμενον, σπεῦσον καὶ τῆς τούτων, κακουργίας με ῥῦσαι, λαμπρὸν οἰκητήριον, δι᾽ ἀρετῆς ἀπαρτίσασα, φωτοδόχε ἀκήρατε. δίωξον τὸ νέφος τῶν παθῶν, καὶ τῆς ἄνω μεθέξεως ἀξίωσον, καὶ φωτὸς ἀνεσπέρε πρεσβείαις σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἀνερχόμενος Σῶτερ ἐν τῷ Σταυρῷ, ἀγαθότητος πλούτῳ φύσει Θεὸς, ὁρῶσα ἡ Κτίσις σε, ἀκατάληπτε ἔτρεμε, καὶ χλοηνομένη πᾶσα, τῷ φόβῳ συνείχετο· καὶ Ἰουδαίων δῆμος, Πιλάτῳ ἐκέκραγε. ἆρον ὡς κακοῦργον, Σταυρῷ ἐξαναρτησον, καὶ ἥλοις καθήλωσον, καὶ τῇ λόγχῃ ἐκκέντησον, καὶ θανάτῳ κατάγαγε. καὶ τοιαῦτά σε πάσχοντα, ἡ Μήτηρ σου ὡς ἑώρα δεινῶς, ἐβόα· Δέσποτα φεῦ μοι μακρόθυμε, ὡς ἐκπλήττομαι τὴν ἄκραν σου συγκατάβασιν.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Συναγωγὴ, κραταιουμένη τῷ Πνεύματι, καὶ χορεία θεία καὶ ὑπέρλαμπρος, μαρτυρικὸς δῆμος καὶ στρατὸς, ὁ τροπαιοφόρος, Ἀρέθαν ἔχων ταξίαρχον, ὑμνείσθω φιλοτίμως, ὑπὸ τῶν μελῳδούντων, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ὑπὸ τῆς σῆς, συγκροτουμένη συνέσεως, ἡ θεόφρων, Πόλις σου πανόλβιε, τῇ πολιᾷ λάμποντος σεμνῇ, πρὸς τοὺς παρανόμους, ἀνδρείως διηγωνίσατο, καὶ νίκην ἀραμένη, μελῳδεῖ τῷ Σωτῆρι· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Νόμῳ καινῷ, ζωοποιοῦντι τῷ Πνεύματι, πεφραγμένον, νόμον τὸν τοῦ γράμματος, τὸν ἀναιροῦντα ἡ δυσσεβὴς, Πόλις ὑπερέσχε, τῇ τῆς ψυχῆς καθαρότητι, καὶ τρόπων εὐγενείᾳ, τῷ Χριστῷ μελῳδοῦσα, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ὄντως Θεοῦ, Πόλις ἐδείχθης ὑπέρτιμε, καὶ Μαρτύρων, θεῖον ἐνδιαίτημα, καὶ περὶ σοῦ, ᾄδεται φαιδρῶς, νῦν δεδοξασμένα, μεγάλα καὶ ἀξιάκουστα. χορὸν γὰρ μελῳδοῦντα, τῷ Δεσπότῃ προσῆγες, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Θεοτοκίον.

Δαβιτικῆς, ἐκ Βασιλίδος ἐβλάστησας, συγγενείας, τὸν παμβασιλεύοντα, τὸν πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς, Λόγον ἀπορρήτως, καὶ ὑπὲρ νοῦν ἀναλάμψαντα, ἐγέννησας Παρθένε. Θεοτόκον διό σε, θεοφρόνως πιστοὶ μακαρίζομεν.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Ὁ Θεόλεκτος δῆμος, καὶ θεομακάριστος ἀγωνιζόμενος, καὶ θερμῶς ἀλλήλους, ἐπισχύοντες καὶ συναπτίζοντες, ὑπὸ τῶν ἀνόμων, ὑπὲρ Χριστοῦ σφαγιασθῆναι, εὐκλεῶς οἱ καλλίνικοι εἵλοντο.

Νεανικῶς ἀνδρωθέντες τῇ πίστει, καὶ τῆς εὐσεβείας τῷ ζήλῳ Σῶτερ πυρούμενοι, οἱ θεράποντές σου, παρανόμων τὸν φόβον οὐκ ἔπτηξαν. καὶ τῇ σῇ ἀγάπῃ, εἰλικρινῶς συνδομένοι, ἑαυτοὺς ἑκουσίως παρέδωκαν.



Digitized by Google

Θεῦ θεία προνοία, καὶ τοῖς ἀνεφίκτοις τῆς σοφίας κρίμασιν, ἀναθέντες πᾶσαν, τὴν ζωὴν αὐτῶν δῆμος ὁ ἔνθεος, πρὸς τοὺς παρανόμους, Ἑβραϊκὰς μιαιφονίας, ἀθάρρως οἱ γενναῖοι ἐχώρησαν.

Ἐπὶ σοὶ πεποιθότες, καὶ πεπιστευκότες ἐν τῇ ἀναστάσει σου, οἱ σοὶ Σῶτερ μύσται, οὐκ ἐρίζοντες οὐδὲ κραυγάζοντες. ὑπὸ τῶν ἀνόμων, ὑπὲρ τῆς σῆς ὁμολογίας, ἀνῃρέθησαν οἱ γενναιότατοι.

Θεοτοκίον.

Ὁ Θεῦ Θεὸς Λόγος, ὁ πρὸ τῶν αἰώνων Πατρὶ συναΐδιος. δι᾽ εὐσπλαγχνίας πλούτῳ, καὶ γαστέρα σου σκηνώσας ἐπτώχευσε. καὶ βροτὸς ἐφάνη, ἐπὶ τῆς γῆς Σὰρξ χρηματίσας, Θεοτόκε Παρθένε πανύμνητε.

Ὠδὴ ϛ΄. Ἱλάσθητί μοι Σωτήρ.

Τῷ Αἵματι τοῦ Χριστοῦ, σημειωθέντες οἱ Ἅγιοι, τὰ αἵματα ἑαυτῶν, προθύμως ἐξέχεαν, οἱ ἔνδοξοι Μάρτυρες, καὶ νῦν, βασιλεύειν, σὺν αὐτῷ κατηξιώθησαν.

Εἰρήνην προφητικῶς, ἐλάλουν γλῶσσαι ψελλίζουσαι. ἐκήρυττον τὸν Χριστὸν, νηπίων ψελλίσματα, Παρθένοι θεόφρονες, ὑπὲρ ἀσεβείας, ἑαυτοὺς Θεῷ προσήνεγκαν.

Ῥαγήσεταί σοι τὸ φῶς, ἀνατελεῖ τὰ ἰμάτια, πλουσίως παρὰ Θεοῦ, Ἀρέθα θεσπέσιε, πρὸς ὃν ἐξεδήμησας, ἀποστάζων ἔτι, τοὺς ἱδρῶτας τῆς ἀθλήσεως.

Πληθύς σοι μαρτυρικὴ, ἐνθέως Χριστὲ προσανήνεκται. περικύκλῳ σου χοροὶ, Ἁγίων χορεύοντες, αἰτοῦνται τὴν ἄφεσιν, τῶν ἁμαρτημάτων, τοῖς αὐτὴν ἀεὶ δοξάζουσιν.

Θεοτοκίον.

Ἐξέλαμψεν ἐκ Σιὼν, ἡ τοῦ Ὑψίστου εὐπρέπεια, τὸ πρόβλημα τῆς σαρκὸς, καθ᾽ ἕνωσιν ἄρρητον, ἐκ σοῦ ἀπειρόγαμε, περιβεβλημένη, καὶ τὸν Κόσμον κατεφώτισεν.

Ὁ Εἱρμός.

„ Ἱλάσθητί μοι Σωτὴρ, πολλαὶ γὰρ αἱ ἀνο-
„ μίαι μου. καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνά-
„ γαγε δέομαι. πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐ-
„ πάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Κοντάκ. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Εὐφροσύνης πρόξενος, ἡμῖν ἐπέστη, ἡ φωσφόρος σήμερον, σοῦ Ἀθλοφόρε Ἑορτὴ, ἐν ᾗ ἀνυμνοῦντες δοξάζομεν, τὸν ἐν ὑψίστοις ὑπάρχοντα Κύριον.

Ὁ Οἶκος.

Τὸν νοῦν μου φώτισον Χριστὲ, τῇ αἴγλῃ τῶν ἀγώνων Ἀρέθα τοῦ γενναίου, καὶ πάντων τῶν Ἁγίων, τῶν ἀθλησάντων σὺν αὐτῷ. πρῶτος γὰρ ἁπάντων ἀνεδείχθη ὁ στεῤῥὸς, φαιδρῶς παραταξάμενος κατὰ τῶν ἀθετούντων τὴν σάρκωσιν σου, τὴν ὑπὲρ φύσιν, σαρκωθέντος καὶ τεχθέντος, ἵνα ἡμᾶς λυτρώσῃς τῆς πλάνης, καὶ δείξῃς ἀπλανῶς τοῖς βουλομένοις διοδεύειν τὴν ὁδὸν τοῦ μαρτυρίου, ἣν ἀθληταὶ ἐβάδισαν, ἀνυμνοῦντες τὸν ἐν ὑψίστοις ὑπάρχοντα Κύριον.

Τῷ αὐτῷ Μηνὶ ΚΔ. Τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἀρέθα, καὶ τῆς συνοδίας αὐτοῦ.

Στίχ. Τμηθεὶς Θεῷ προσῆξε μάρτυς Ἀρέθας, Πολλοὺς ὁμοίως Μάρτυρας τετμημένους, Ἀρέθα εἰκάδι σὺν γνωστοῖς τετάρτῃ τμήθης.

Οὗτος ἦν πρῶτος τῆς Πόλεως Νεγρᾶς, ἐν Αἰθιοπίᾳ, ἐπὶ τῆς Βασιλείας Ἰουστίνου. τῆς μὲν Αἰθιοπίας βασιλεύοντος Ἐλεσβαὰν τοῦ Χριστιανικωτάτου. τῶν δὲ Ὁμηριτῶν, Ἑβραίου τινὸς, Δουναὰν. ἡ δὲ τοιαύτη χώρα, παρὰ μὲν τῇ Θείᾳ Γραφῇ, Σαβᾶ λέγεται, παρὰ δὲ Ἕλλησιν, Εὐδαίμων Ἀραβία. τοῦ δὲ Ἐλεσβαὰν τὸν Ἑβραῖον ὑποτάξαντος, καὶ φύλακας ἐν τῇ Πόλει αὐτοῦ καταστήσαντος, ἐπαναστὰς ὁ Ἑβραῖος ἀνεῖλεν αὐτοὺς, καὶ πρὸς τὴν Νεγρὰν πόλιν ἀνέδραμεν. ἣν καὶ πολιορκήσας, οὐ δυνάμει, ἀλλ᾽ ἐπιορκίαις, Χριστιανοὺς ἅπαντας ἀνεῖλεν ἄνδρας τε καὶ γυναῖκας. τότε ὁ ἅγιος Ἀρέθας πρότερον πάντας ἐπιστηρίξας τῇ πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστει, εἰς ἔσχατον γῆρας ἐλάσας, ὡς μηδὲ δύνασθαι περιπατῆσαι, ὥστε καὶ ὅτε παρεδόθη πρὸς τὸ ἀποτμηθῆναι τὴν κεφαλὴν, βασταζόμενος ἀπαχθεὶς ἔχαιρε. καὶ τὴν διὰ ξίφους ἀποτομὴν λαβὼν, τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο.

Digitized by Google

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη μιᾶς γυναικὸς, καὶ τοῦ βρέφους αὐτῆς. Ἣν ἰδὼν τὸ βρέφος ἐν τῷ πυρὶ, ἐπιῤῥίψαν ἐν τῇ φλογὶ ἑαυτὸ, τελειοῦται.

Στίχ. Τῇ μητρὶ πρὸς πῦρ ἡσύχως τεφρουμένῃ,
Φωναῖς ὑποψελλίζον, ἔπεσκεν βρέφος.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Σεβαστιανῆς.

Στίχ. Σεβαστιανὴ τῇ τομῇ βλύζει γάλα,
Οὐχ αἷμα καὶ σάρξ, ὥσπερ οὖσα πρὸς ξίφος.

Ἐπὶ τῆς βασιλείας Δομετιανοῦ, ἐν Πόλει Μαρκιανοῦ διάγουσα ἡ ἁγία Μάρτυς Σεβαστιανὴ, ἐνεβλήθη πρὸς Σέργιον ἡγεμόνα ὡς Χριστιανή. Ὃν καὶ παραστήσασα, ἐπεὶ ὡμολόγησεν ἡ ἁγία, τοῦ Ἀποστόλου Παύλου εἶναι μαθήτριαν, καὶ τὸ ἅγιον Βάπτισμα παρ' ἐκείνου προσήκατο, καὶ ἕτοιμος εἶναι καὶ ὑπὲρ Χριστοῦ ἀποθανεῖν· ἐν πρώτοις μὲν, σφαίραις μολυβδίναις τύπτεται κατὰ παντὸς τοῦ σώματος, καὶ εἰς φυλακὴν ἐμβάλλεται, ἐν ᾗ καὶ ὤφθη ὁ Ἀπόστολος αὐτῇ, λέγων· εὐθύμει, καὶ μὴ λυποῦ. δεῖ γάρ σε δέσμιον ἀπελθεῖν ἐν τῇ πόλει σου, διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν. καὶ τῇ ἑβδόμῃ ἡμέρᾳ ἐξαγαγὼν αὐτὴν ὁ Ἄρχων τῆς φυλακῆς, καὶ κάμινον ἐκκαύσας σφοδρῶς, ἐν αὐτῇ βληθῆναι κατέκρινεν. ἡ δὲ ἁγία ῥιφεῖσα ἐν τῇ καμίνῳ, ἐφ' ἱκανὸν στᾶσα, καὶ ἀβλαβὴς διαμείνασα, ἐξῆλθεν, ὥστε θαυμάζειν πάντας καὶ ἐξίστασθαι. προσαγομένης δὲ αὐτῆς, γέγονεν ἦχος μέγας ἐξ Οὐρανοῦ, καὶ ἀστραπαὶ καὶ βρονταὶ καὶ χάλαζαι, ὥστε καὶ τὸ πῦρ σβεσθῆναι, καὶ πολλοὺς κινδυνεῦσαι, καὶ τὸν Ἡγεμόνα φυγεῖν μετὰ τῶν λοιπῶν. μετὰ ταῦτα λέγει πρὸς αὐτὴν ὁ Ἡγεμών. τίς εἶ; καὶ τίνα τὰ κατὰ σέ; καὶ ἐκ ποίας Πόλεως τυγχάνεις; ἡ δὲ ἁγία ἐσιώπα. μαθὼν δὲ ἐκ τῶν παρεστώτων, ὅτι ἐκ τῆς Μητροπόλεως Ἡρακλείας ἐστὶ, παρέπεμψεν αὐτὴν δέσμιον τῷ ἐκεῖσε Ἡγεμόνι. Ἄγγελος δὲ Κυρίου φανεὶς αὐτῇ, λέγει· θάρσει θύγατερ Θεοῦ. δεῖ γάρ σε Πομπηϊανῷ ἡγεμόνι παραστῆναι. ἀλλ' ἐγὼ μετὰ σοῦ εἰμί. καὶ ἀπελθοῦσα εἰς Ἡράκλειαν, παρέστη τῷ ἡγεμόνι, ὃς καὶ κρεμάσας αὐτὴν ἐπὶ ξύλου, ἀφειδῶς ἔξεεν ἄχρις ὡρῶν τριῶν. καὶ αἱ μὲν σάρκες αὐτῆς ἀποτεμνόμεναι, μύρου εὐωδίαν ἀπέπεμπον· ἐκείνη δὲ ξεομένη, σιωπηρῶς προσηύχετο, ὥστε λέγειν πάντας, σῶμα ἄψυχον πάσχειν. καταγαγὼν δὲ αὐτὴν ἀπὸ τοῦ μαγγάνου, θηρίοις ἀφίεται πρὸς βοράν. καὶ λέων ἀπολυθεὶς παμμεγέθης, ἦλθε, πλησίον τῆς ἁγίας, καὶ ἀναλαβὼν ἀνθρωπίνην φωνὴν, προστάξει Θεοῦ ἐπὶ διορθώσει τῶν ἀσεβῶν, τὴν μὲν ἁγίαν εὐφήμει, τῆς δὲ ἀνόμους ἤλεγχεν. εἶθ' οὕτω λέαιναν ἀπολύσας πάνδημον, οὐδέ τι ἴσχυσεν· ἐλθοῦσα γὰρ καὶ αὐτὴ, ἔστη εἰς τὸ ἕτερον μέρος τῆς ἁγίας. καὶ ἵσταντο ἑκάτερα τὰ θηρία, ὥσπερ ἀρνία ἄκακα. ἀπορήσας δὲ ὁ Ἡγεμὼν, δέδωκεν ἀπόφασιν κατ' αὐτῆς. καὶ ἐξαγαγόντες ἔξω τῆς Πόλεως, ἀπέτεμον τὴν τιμίαν αὐτῆς κεφαλὴν, γάλα πηγάσασαν ἀντὶ αἵματος. τὸ γοῦν ἅγιον αὐτῆς σῶμα σὺν τῇ κεφαλῇ ἐμβαλὼν ὁ δυσσεβὴς εἰς σάκκον, καὶ μόλιβδον τριακοσίων λιτρῶν, καὶ ἐπιμελῶς ἀσφαλισάμενος, ἐν τῷ μέσῳ τῆς θαλάσσης ἠκόντισεν. Ἄγγελος δὲ Κυρίου, τοῦ σάκκου διαῤῥαγέντος, τὸ σῶμα τῆς ἁγίας διεκόμισεν ἐν τόπῳ, λεγομένῳ Ῥήσσῳ, Ἀμμία δὲ Συγκλητικὴ, τοῦτο διαμηνυθεῖσα, σινδόσιν εἱλήσασα καὶ μυρίσασα, ἐν ἰδίῳ τόπῳ τοῦ Ῥήσσου ἐναπέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Πρόκλου, Πατριάρχου Κωνσταντινουπόλεως.

Στίχ. Ἔφησε Χριστὸς, ὡς Πέτρῳ, καὶ τῷ Πρόκλῳ,
Οὕτω θανόντι, βόσκε τὰ πρόβατά μου.

Ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν Πρόκλος, εὐλαβὴς ὢν καὶ ἐνάρετος, ἐχειροτονήθη παρὰ τοῦ Ἁγίου Σισινίου Πατριάρχου Κωνσταντινουπόλεως, Ἐπίσκοπος Κυζίκου. ἀπελθὼν δὲ, καὶ μὴ δεχθεὶς παρὰ τῶν ἐκεῖσε ὄντων Κληρικῶν, ὑπέστρεψεν ἐν Κωνσταντινουπόλει, τὸν μεταξὺ σχολάζων χρόνον. τελευτήσαντος δὲ Μαξιμιανοῦ τοῦ πατριάρχου, ἔτι τοῦ λειψάνου αὐτοῦ κειμένου ἐν τῷ



Digitized by Google

τῷ Ἱερατείῳ τῆς μεγάλης Ἐκκλησίας, προχειρίζεται Πατριάρχης Κωνσταντινουπόλεως. καὶ ἐνθρονίζεται κατ' αὐτὴν τὴν ἁγίαν ἡμέραν τοῦ σωτηρίου Πάθους, τὴν μεγάλην Πέμπτην. καὶ καλῶς πολιτευσάμενος, καὶ ἐπισκοπήσας ἔτη δώδεκα καὶ μῆνας τρεῖς, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησεν.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Αἱμάτων οἱ χείμαρροι, τῶν Ἀθλητῶν σου ἀναπηγάζουσι, τὰς ἰάσεις τοῖς πίστει, τὴν τούτων μνήμην γεραίρουσι, καὶ σοὶ τῷ Κτίστῃ, προθύμως κραυγάζουσιν. εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Μητέρες οἰκτίρμονες, ὡς τετρωμέναι τῆς σῆς ἀγάπης Χριστέ, οὐκ ἐφείσαντο παίδων, ἀλλ' ἐν καμίνῳ καταφλεγόμεναι, σοὶ τῷ Δεσπότῃ ἐκραύγαζον λέγουσαι. εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἐμαύρωσαν ἅπασαν, οἱ Ἀθλοφόροι τὴν τῶν ἀνόμων βουλὴν, ὡς τῇ θείᾳ συνέσει, καὶ ἀγχινοίᾳ κατακοσμούμενοι, καὶ γεγηθότες, ἐσφάττοντο ψάλλοντες· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Λαμπάδας ἀθλήσεως, καὶ παρθενίας φαιδρῶς ἀνάψασαι, εἰς τὸν θεῖον νυμφῶνα αἱ νικηφόροι, ἀγαλλιώμεναι, σὺν ταῖς φρονίμοις παρθένοις κραυγάζουσιν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ψυχῶν καθαρτήριον, καὶ σωτηρίας ὑπάρχεις πρόξενος, τοῖς ἐν πίστει καὶ πόθῳ, Θεοῦ Μητέρα σε καταγγέλλουσι, καὶ τῷ Υἱῷ σου συμφώνως καυγάζουσιν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Οὐκ ἐν τῷ μόνῳ πέφυκε, προφανῶς ἡ τελείωσις. ἀλλ' ἐν τῷ Χριστῷ ἡ σωτηρία δέδοται, ἐβόων οἱ Μάρτυρες, τοῖς Θεοκτόνοις λέγοντες· ὅθεν γεγηθότες, ἀναιρούμενοι πάντες, καὶ θνήσκομεν προθύμως, καὶ αὐτῷ μελῳδοῦμεν. λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Μυσαγωγεῖ τὸ νήπιον, καὶ διδάσκει τοὺς ἄφρονας, πρὸς τὴν σὴν εἰκόνα, καθορᾶν τὴν ἄχραντον, καὶ πίστει εἰσδέξασθαι, τῆς ἐν γῇ παρουσίας σου, καὶ διαλαθὸν τῶν παρανόμων τὰς χεῖρας, τὴν φλόγα ὑπεισῆλθε, τῇ τεκούσῃ συμψάλλον· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἐπὶ τῆς γῆς οἱ Μάρτυρες, εὐσεβῶς ἠγωνίσαντο. καὶ ἐν οὐρανοῖς παρὰ Χριστοῦ τὸν στέφανον, ἀξίως ἐδέξαντο. χαρμονικῶς ἀπάραντες, τῶν εὐφραινομένων ἔνθα ἡ κατοικία, τῶν πιστῶς μεμελῳδηκότων. Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Νενικηκότες Ἅγιοι, τὸν δεινὸν κοσμοκράτορα, καὶ τοὺς ὑπουργοῦντας, τοῖς αὐτοῦ θελήμασι, πρὸς τὸν Παντοκράτορα, καὶ τὸν τῶν ὅλων Κύριον, μετὰ παρρησίας καὶ χαρᾶς ἀνεκφράστου, μετέστητε βοῶντες· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὑπὲρ ἡμῶν δυσώπησον, τὸν Υἱόν σου παρθένε, τῶν εἰλικρινῶς, καὶ καθαρῶς βοώντων σοι· καὶ σὲ Θεομήτορα, ὁμολογούντων Πάναγνε. τῶν ἁμαρτημάτων, αἰτουμένη τὴν λύσιν, τυχεῖν τε σωτηρίας, τοὺς πιστῶς μελῳδοῦντας· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

„Ἑπταπλασίως κάμινον, τῶν Χαλδαίων ὁ τύραννος, τοῖς θεοσεβέσιν, ἐμμανῶς ἐξέκαυσε, δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδὼν, τῷ δημιουργῷ καὶ Λυτρωτῇ ἀνεβόα. οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ

Digitized by Google

Ὠδὴ θ΄. Ἔφριξε πᾶσα ἀκοή.

Μέτοχοι δόξης τοῦ Χριστοῦ, κοινωνήσαντες θανάτου γεγόνατε, Ἅγιοι Μάρτυρες, καὶ Βασιλείας τῷ διαδήματι, κατεκοσμήθητε φαιδρῶς, Θεῷ δὲ παρέστασθε, ἡμῖν αἰτούμενοι, σωτηρίαν ψυχικὴν ἀξιάγαστοι.

Νόμιμοι ὤφθητε Χριστοῦ, στρατιῶται, καὶ ἀήττητοι Μάρτυρες, Ἀρέθα πάνσοφε, καὶ σοὶ προθύμως οἱ συναθλήσαντες, σὺν ἀθλοφόροις γυναιξί, Παρθένοι νεάνιδες. διὸ δεόμεθα, ἐκτενῶς ὑπὲρ ἡμῶν ἱκετεύσατε.

Ὅμιλος πρόκειται ἡμῖν, ἐκκλησιάτε μαρτύρων θεόλεκτος, δεῦτε φιλόθεοι, μετ᾽ ἐγκωμίων τούτους ὑμνήσωμεν, ὡς νικηφόρους ἀθλητάς, ὡς θείους θεράποντας, ὡς ἱκετεύοντας, ἐκτενῶς ὑπὲρ ἡμῶν τὸν φιλάνθρωπον.

Ἴθυνον Λόγε τοῦ Θεοῦ, τὴν ζωήν μου καὶ κυβέρνησον Δέσποτα, τῶν θεραπόντων σου, ταῖς ἱκεσίαις τῶν ἀγαπώντων σε. καὶ καταξίωσον αὐτῶν, γενέσθαι συμμέτοχον, τὰς ἁμαρτίας μου, παρορῶν ὡς ἀγαθός, καὶ φιλάνθρωπος.

Θεοτοκίον.

Ἐκένωμα γέγονας Θεοῦ, τὸν ἀχώρητον ἐν μήτρᾳ χωρήσασα, καὶ τὸν πρὶν ἄσαρκον, σεσαρκωμένον ἡμῖν γεγέννηκας. ὃν νῦν δυσώπησον Ἁγνή, πταισμάτων συγχώρησιν, πᾶσι δωρήσασθαι, τοῖς ἐν πίστει σε ἀεὶ μεγαλύνουσιν. Ὁ Εἱρμός.

„Ἔφριξε πᾶσα ἀκοή, τὴν ἀπόρρητον „Θεοῦ συγκατάβασιν, ὅπως ὁ ὕψιστος, „ἑκὼν κατῆλθε, μέχρι καὶ σώματος. Παρ„θενικῆς ἀπὸ γαστρός, γενόμενος ἄνθρω„πος. διὸ τὴν ἄχραντον, Θεοτόκον οἱ „πιστοὶ μεγαλύνομεν.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Ἀρέθα παναοίδιμε, σὺν τοῖς συνάθλοις πρέσβευε, Χριστῷ βραβεῦσαι τῷ Κόσμῳ, ὁμόνοιαν καὶ εἰρήνην, τῷ εὐσεβείας κράτει, καὶ Βασιλεῖ θεόφρονι, Μεγαλομάρτυς ἔνδοξε, καὶ ἱλασμὸν τοῖς τελοῦσι, τὴν ἱερὰν ὑμῶν μνήμην.

Θεοτοκίον.

Φθαρεῖσαν ἀνεκαίνισας, τὴν φύσιν τοῦ Προπάτορος, ὑπερφυῶς συλλαβοῦσα, καὶ ἀπειράνδρως τεκοῦσα, τὸν ποιητὴν τῆς Κτίσεως, ὑφ᾽ οὗ ῥυθμοῦντες ἤθλησαν, χοροὶ Μαρτύρων μέλποντες, σὲ τῆς ἡμῶν σωτηρίας, τὴν ἀπαρχὴν Θεοτόκε.

Εἰς τὸν Στ. π. τῆς Ὀκτωήχου.

Εἰς τὴν Λειτουργίαν. Ὁ Ἀπόστολος. Προκείμ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ. δ. Προσωρώμην τὸν Κύριον. Πρὸς Ῥωμαίους. Ἀδελφοί, οἱ Ἅγιοι πάντες, διὰ πίστεως. Εὐαγγέλιον, καὶ Κοινων. ζήτει τῶν Ἁγίων Πάντων.

---

Τῷ αὐτῷ Μηνὶ ΚΕ΄.

Τῶν Ἁγίων Μαρτύρων καὶ Νοταρίων, Μαρκιανοῦ, καὶ Μαρτυρίου. π. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Οἱ τὸν δρόμον τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, μαρτυρίου στέφανον ἀνεδήσαντο, Μαρκιανὸς καὶ Μαρτύριος, οἱ πύργοι οἱ ἄσειστοι, Ἐκκλησίας οἱ μαζοί, οἱ τὸ γάλα τὸ ἄδολον, ἀναβλύζοντες οἱ φαιδροὶ μαργαρῖται, οἱ φωστῆρες, οἱ τὴν Κτίσιν ταῖς ἀκτῖσι, τῆς εὐσεβείας πυρσεύοντες.

Μίαν γνώμην προσφέρουσα, καὶ τὸ ἓν συμφρονήσασα, ἡ δυὰς ἡ ἔνθεος, τὴν διαίρεσιν, τὴν τοῦ Ἀρείου διέλυσε, διδάσκουσα σέβεσθαι συναΐδιον Πατρί, τὸν Υἱὸν καὶ συνάναρχον, καὶ τῷ Πνεύματι, ἐν μονάδι Τριάδα, καὶ Μονάδα, ἐν Τριάδι μίαν φύσιν, τρισὶ προσώποις ἀμέριστον.

Ὀπαδοὶ καὶ ὁμότροποι, μιμηταὶ καὶ ὁμόζηλοι, τοῦ Ἱεροκήρυκος Παύλου ὤφθητε, καὶ τῇ ἐκχύσει τοῦ αἵματος, ἐχθροὺς ἐβυθίσατε, καὶ αἱρέσεων δεινῶν, ἐξηράνατε χείμαρρον, καὶ ἐδείχθητε, ποταμὸς εὐσεβείας, καταρδεύων, τοῦ Χριστοῦ τὴν Ἐκκλησίαν Μαρκιανὲ καὶ Μαρτύριε.

Δόξα. Ἦχος ά. Γερμανοῦ.

Μαθηταὶ καὶ ὀπαδοὶ γεγονότες, τοῦ τῆς ὁμοουσίου Τριάδος ὁμολογητοῦ καὶ κήρυκος, καὶ σὺν αὐτῷ ὑπὲρ αὐτοῦ διωκόμενοι

μα-

Digitized by Google

μακάριοι, τὸν διὰ ξίφους θάνατον τῶν αἱρετικῶν γλωσσαλγιῶν προεκρίνατε. ὅθεν καὶ μαρτυρικοῖς στεφάνοις, κοσμηθέντες παρὰ Θεοῦ, καὶ παῤῥησίαν λαβόντες, πρεσβεύσατε τοῦ ῥυσθῆναι ἐκ κινδύνων, τοὺς τιμῶντας τὴν μνήμην ὑμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τῶν οὐρανίων ταγμάτων.

Γνώμῃ σαθρᾷ ὀλισθήσας, γυμνὸς κατάκειμαι, καὶ πρὸς τὴν σὴν Παρθένε, καταφεύγω γαλήνην, ἐκ ζάλης ἁμαρτίας καὶ πειρασμῶν, πολυτρόπων με λύτρωσαι, ἵνα ὑμνῶ σου τὴν χάριν θεοπρεπῶς, Θεοτόκε Ἀειπάρθενε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὑπὲρ ἡμῶν ὁ Υἱός σου, παθεῖν ἠνέσχετο. ἵνα τοῖς τούτου πάθεσι, τὴν ἀπάθειαν πᾶσι, παράσχῃς Θεοτόκε. ὅθεν αὐτὸν, καθικέτευε πάντοτε, παθῶν παντοίων με ῥύσασθαι, καὶ ψυχῆς, καὶ τοῦ σώματος πρεσβείαις σου.

Εἰς τὸν Στίχον π. τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος γ΄.

Οἱ νοεροὶ τῆς Ἐκκλησίας φωστῆρες, καὶ Τριάδος ὑπέρμαχοι, Μαρκιανὸς καὶ Μαρτύριος, τῷ θυρεῷ τῆς πίστεως, τὰς αἱρέσεις τρεψάμενοι, ὀρθοδοξίας φωτὶ, τὸν Κόσμον κατεφαίδρυναν. Παύλῳ πειθαρχοῦντες, ἰσαποστόλῳ, ποιμένι καὶ διδασκάλῳ τῶν ἀληθῶν δογμάτων, Ἀρείου καὶ Νεστορίου καθεῖλον τὴν διαίρεσιν. Σαβελλίου καὶ Σευήρου τὴν σύγχυσιν ἐκτρεπόμενοι, τριαδικῶς θεολογοῦντες μονάδα, καὶ τὸν ἐκ Παρθένου σαρκωθέντα Θεὸν, ἐν δυσὶ ταῖς οὐσίαις ἕνα Υἱὸν, εὐσεβῶς πᾶσιν ἀνυμνεῖν οἱ πανεύφημοι ἐκήρυξαν. διὸ στεφάνους τῆς νίκης, Οὐρανόθεν κομισάμενοι οἱ θεσπέσιοι, αἰτοῦνται ἡμῖν, τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν γυναιξὶν ἁγία Θεοτόκε Μῆτερ ἀνύμφευτε, πρέσβευε ὃν ἔτεκες Βασιλέα καὶ Θεὸν, ἵνα σώσῃ ἡμᾶς ὡς φιλάνθρωπος.

Σταυροθεοτοκίον.

Μεγάλη τοῦ Σταυροῦ σου Κύριε ἡ δύναμις.

Ὁρῶσα τὸν ἐκ σοῦ τεχθέντα Παναμώμητε, κρεμάμενον ἐν ξύλῳ, ἠλάλαζες βοῶσα· ποθεινότατον μου Τέκνον, ποῦ σου ἔδυ τὸ κάλλος τὸ φωσφόρον, τὸ καλλωπίσαν τῶν ἀνθρώπων τὴν φύσιν;

Ἀπολυτίκιον.

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, τὸ στέφος ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν. ἔχοντες τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τῶν Ἁγίων. Οὗ ἡ ἀκροστ.

Διττοῖς προσαίσω Μάρτυσι μελῳδίαν. Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

„Τρισάτας κραταιοὺς, ὁ τεχθεὶς ἐκ „Παρθένου, ἀπαθείας ἐν βυθῷ, ψυ„χῆς τὸ τριμερὲς καταπόντισον δέομαι, „ὅπως σοι ὡς ἐν τυμπάνῳ, τῇ νεκρώσει „τοῦ σώματος, ἐπινίκιον ᾄσω μελῴδημα.

Διόλου τῷ φωτὶ, τῆς Ἁγίας Τριάδος, ἐλλαμπόμενοι ἀεὶ, φωστῆρες ἀπλανεῖς, χρηματίζετε Ἅγιοι. ὅθεν πίστει τὴν φωσφόρον, ἑορτὴν ὑμῶν σήμερον, ἐκτελοῦντες φαιδρῶς ἀγαλλόμεθα.

Ἰδεῖν τὸν ἐπὶ γῆς, ἀναλάμψαντα Λόγον, ἐκ Παρθένου δι' ἡμᾶς, ποθοῦντες ἀθληταὶ, τῷ Πατρὶ ὁμοούσιον. τοῦτον καθομολογοῦντες, βιαιότατον θάνατον, λογισμῷ στερροτάτῳ ὑπέστητε.

Τοῦ Παύλου τοῦ σοφοῦ, θεηγόροι δειχθέντες, ὀπαδοὶ καὶ φοιτηταὶ, ὁμότιμον Πατρὶ, τὸν Υἱὸν ἐκηρύξατε. ὅθεν ξίφει τμηθέντες, τῇ πλημμύρᾳ τοῦ αἵματος, ἀθλοφόροι τὴν γῆν ἡγιάσατε.

Θεοτοκίον.

Τὸν ἄναρχον Υἱὸν, τοῦ Θεοῦ συλλαβοῦσα, ἐσωμάτωσας Ἁγνὴ, γενόμενον βροτὸν, διὰ ἔλεος ἄφατον. ὅθεν τοῦτον προσκυνοῦντες, εὐσεβῶς σε δοξάζομεν, τὴν αἰτίαν τῆς πάντων θεώσεως.

Ὠδὴ γ΄. Οὐκ ἐν σοφίᾳ.

Ὀρθοδοξίᾳ, λαμπρυνόμενοι Θείῳ ἐν Πνεύματι, τὸν Ἀρείου σκοτασμὸν, ὁ-

λο-

Digitized by Google

λοχερῶς διεφύγετε, Μάρτυρες παγκόσμιοι τοῦ Παντοκράτορος.

Ἴσον τὸν Λόγον, τῷ Πατρὶ δογματίσαντες Ἅγιοι, κατεκρίθητε θανεῖν, Μαρκιανὲ καὶ Μαρτύριε, καὶ πρὸς ἀτελεύτητον ζωὴν μετέβητε.

Στρατολογίᾳ, ἱερᾷ τοῖς Ἀγγέλοις συνήφθητε, καὶ Μαρτύρων τοῖς χοροῖς, περιφανῶς ἠριθμήθητε. ὅθεν τὴν σεπτὴν ὑμῶν μνήμην γεραίρομεν.

Θεοτοκίον.

Πεποικιλμένη, κροσσωτοῖς ἐν χρυσοῖς, ὦ Βασίλισσα, τοῦ Δεσπότου καὶ Θεοῦ, ἐκ δεξιῶν νῦν παρίστασαι, Δέσποινα πρεσβεύουσα ὑπὲρ τῶν δούλων σου.

Ὁ Εἱρμός.

„ Οὐκ ἐν σοφίᾳ, καὶ δυνάμει καὶ πλούτῳ
„ καυχώμεθα, ἀλλ' ἐν σοὶ τῇ τοῦ Πα-
„ τρὸς, ἐνυποστάτῳ σοφίᾳ Θεοῦ· οὐ γάρ ἐστιν
„ Ἅγιος, πλὴν σου φιλάνθρωπε.

Κά. Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὸν ὁμοούσιον, τῷ πρὸ αἰώνων Πατρὸς, Υἱὸν καὶ Κύριον, ἔνσαρκον Λόγον Χριστὸν, ἀνακηρύττετε σαφῶς, ἀδιαιρέτως Ἅγιοι. ὅθεν μέχρις αἵματος, ὑπὲρ τούτου ἠγωνίσατε, πᾶσαν στηλιτεύσαντες, τοῦ Ἀρείου δυσσέβειαν. διὸ ἐν παῤῥησίᾳ ὑπάρχοντες, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. τὸ αὐτό. καὶ νῦν. Θτ. Ὅμοιον.

Ἀκατανόητον καὶ ἀκατάληπτον, ὑπάρχει Δέσποινα, Θεοχαρίτωτε, τὸ πεπραγμένον ἐπὶ σοὶ, Ἁγνὴ φρικτὸν μυστήριον. τὸν γὰρ ἀπερίγραπτον, συλλαβοῦσα ἐκύησας, σάρκα περιθέμενον, ἐξ ἀχράντων αἱμάτων σου. ὃν πάντοτε Ἁγνὴ, ὡς Υἱόν σου, δυσώπει τοῦ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἀπειρόγαμος, Ἁγνὴ καὶ Μήτηρ σου, Χριστὲ ὁρῶσά σε, νεκρὸν κρεμάμενον, ἐπὶ τοῦ ξύλου μητρικῶς, θρηνολογοῦσα ἔλεγε· τί σοι ἀνταπέδωκε, τῶν Ἑβραίων ὁ ἄνομος, δῆμος καὶ ἀχάριστος, ὁ πολλῶν καὶ μεγάλων σου, οἰκτιρμῶν δωρεῶν ἀπολαύσας; ὑμνῶ σου τὴν θείαν συγκατάβασιν.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„ Ὁ καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου Θεό-
„ τητος, ἐν νεφέλῃ κούφῃ, ἦλθεν Ἰη-
„ σοῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ παλάμῃ καὶ
„ διέσωσε, τοὺς κραυγάζοντας, δόξα Χριστὲ
„ τῇ δυνάμει σου.

Ῥωμαλαίᾳ διανοίᾳ, καὶ τελείῳ φρονήματι, τὴν Ὀρθοδοξίαν, Μάρτυρες Κυρίου κρατύναντες, μαρτυρικῶς τὸν ἀγῶνα ἐτελέσατε, τῆς αἱρέσεως, τὸν σκοτασμὸν ἀφανίσαντες.

Ὁ τὸν Λόγον μὴ κηρύξας, τῷ Πατρὶ ὁμοούσιον, ὡς μανεὶς ἀφρόνως, Μάρτυρες μάχαιραις ἀπηγχόνισται, τῶν ἱερῶν ὑμῶν πόνων, καὶ βεβύθισται, τῶν αἱμάτων ταῖς ἐπιῤῥοαῖς θείᾳ χάριτι.

Στρατευθέντες τῷ Κυρίῳ, διὰ πίστεως ἅγιοι, καὶ ἐνηθληκότες, τοῖς ἐπουρανίοις στρατεύμασι, συνηριθμήθητε. ὅθεν μακαρίζεσθε, στηριγμὸς ἡμῶν, καὶ φωτισμὸς χρηματίσαντες.

Οἱ μαζοὶ τῆς Ἐκκλησίας, οἱ τὸ γάλα προχέοντες, τῆς ὀρθοδοξίας, καὶ τοὺς δυσσεβεῖς διατρέφοντες, Μαρκιανὸς ὁ γενναῖος, καὶ Μαρτύριος, εὐφημείσθωσαν, χαρμονικοῖς μελῳδήμασιν.

Θεοτοκίον.

Ἱερὸς πάλαι Προφήτης, ὄρος θεῖον ἐκάλεσεν, ἀρεταῖς Παρθένε, πανάγνε διόλου κατάσκιον, ἐξ οὗ σωτήριος Λόγος, πεφανέρωται, εἰς ἀνάπλασιν, καὶ φωτισμὸν τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ ε'. Ἀσεβεῖς οὐκ ὄψονται.

Σοφωτάτων ὤφθητε, δογμάτων ὀπαδοὶ, Παύλου θείου ἱερουργοῦ, οὗ τοὺς τρόπους Μάρτυρες ἐκμιμησάμενοι, καρτερῶς ἠθλήσατε, καὶ μονίμως κατεστέφθητε.

Ὡς ἀστέρες λάμπετε, ἐν ὕψει τῆς σεπτῆς, Ἐκκλησίας περιφανῶς, σκότος τὸ βαθύτατον ἀποδιώκοντε, τῆς Ἀρείου Ἅγιοι, γενναιότατοι αἱρέσεως.

Μακρυνθέντες Ἅγιοι, τοῦ βίου τῶν τερπνῶν, ᾠκειώθητε τῷ Χριστῷ, βραχυτάτῳ αἵματι, καὶ τὴν ἀσάλευτον, Βασιλείαν ἔνδοξοι, ἀθλοφόροι ἐκληρώσασθε.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Ἀληθῶς Θεοῦ Υἱὸν, ἐκύησας Ἁγνὴ, ὁμοούσιον τῷ Πατρὶ, καὶ τῷ Θείῳ Πνεύματι Θεογεννήτρια. ὃν ἀπαύστως αἰτοῦσαι, οἰκτειρῆσαι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ ς΄. Ἦλθον εἰς τὰ βάθη.

Ῥήμασι Ποιμένος θεοσόφου, σοφοὶ ἀκολουθοῦντες, τὴν ὀρθόδοξον Πίστιν τηρεῖτε, Μαρκιανὲ καὶ Θεῖε Μαρτύριε, ὑπὲρ ἧς ἐσφαγιάσθητε.

Τίμιος ἐνώπιον Κυρίου, ὁ θάνατος ὡράθη, ὑμῶν Ἅγιοι σοφοὶ ὁπλῖται. ὅθεν τιμαῖς, ἐτησίοις ἔνδοξοι, ὑπὸ πάντων μακαρίζεσθε.

Ὑμᾶς τοὺς γενναίους ἀθλοφόρους, Μαρκιανὲ παμμάκαρ, καὶ Μαρτύριε πηγὴν θαυμάτων, ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἔχουσα, αἰωνίως ἐπαγάλλεται.

Θεοτοκίον.

Στόματι καὶ γλώσσῃ σε Μητέρα, παναληθῶς Παρθένε, τοῦ Θεοῦ ἡμῶν ὁμολογοῦμεν αὐτὸν Ἁγνὴ, ἐκτενῶς ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ Εἱρμός.

„ Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης,
„ κατεπόντισέ με, καταιγὶς πολ-
„ λῶν ἁμαρτημάτων· ἀλλ' ὡς Θεὸς, ἐκ φθο-
„ ρᾶς ἀνάγαγε, τὴν ζωήν μου ἀπολυέλεε.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς.

Ἀγωνισάμενοι καλῶς ἀπὸ βρέφους, Μαρκιανὲ σὺν τῷ σοφῷ Μαρτυρίῳ, τὸν ἀποστάτην Ἄρειον καθείλετε. ἄτρωτον τηρήσαντες, τὴν ὀρθόδοξον Πίστιν. Παύλῳ συνεπόμενοι, τῷ σοφῷ διδασκάλῳ. ὅθεν σὺν τούτῳ εὕρατε ζωὴν, ὡς τῆς Τριάδος ὑπέρμαχοι ἄριστοι.

Ὁ Οἶκος.

Ὡς ὑπηρέται εὐσεβεῖς Θεοῦ τοῦ φιλανθρώπου, δυὰς εὐλογημένη, προφθάσατέ με τάχος, λυτρούμενοί με τῶν δεινῶν, λόγον μοι σοφίας χορηγοῦντες, τὴν ὑμῶν ἀνάφημουντι ἄθλησιν, ἣν ὑπὲρ τῆς Πίστεως Ἅγιοι, γνώμῃ ἀδιστάκτῳ ὑποστάντες, τῶν στεφάνων ἐτύχετε τῶν ἐπουρανίων. χοροῖς τε τῶν Ἀθλητῶν καὶ Ἀποστόλων, Διδασκάλων καὶ σεπτῶν Ἀρχιερέων, χαίρετε ἀεὶ, ὡς Κήρυκες Θεοῦ Λόγου, ὡς τῆς Τριάδος ὑπέρμαχοι ἄριστοι.

Τῷ αὐτῷ Μηνὶ ΚΕ΄. Τῶν Ἁγίων Μαρτύρων καὶ Νοταρίων, Μαρκιανοῦ, καὶ Μαρτυρίου.

Στ. Χριστοῦ καλάμους τοὺς Νοταρίους νόει,
Εἰς αἷμα τὸ σφῶν ἐκ ξίφους βεβαμμένους.
Πέμπτῃ Μαρκιανὸν τάμον εἰκάδι Μαρτύριόν τε.

Παύλου τοῦ ὁμολογητοῦ, Πατριαρχοῦντος Κωνσταντινουπόλεως μετὰ τὴν κοίμησιν Ἀλεξάνδρου, ἐπὶ τῆς Βασιλείας Κωνσταντίου τοῦ Ἀρειανοῦ, ἐπεὶ αὐτὸς ὁ ἐν ἁγίοις Παῦλος ὑπερόριος ἐν Ἀρμενίᾳ γενόμενος, τὸ μακάριον τέλος ἐδέξατο, ἀποπνιγεὶς παρὰ τῶν Ἀρειανῶν. καὶ αὐτοὶ δὲ οὗτοι οἱ Ἅγιοι διὰ τὴν ὀρθόδοξον Πίστιν ἀναιροῦνται μαχαίρᾳ, καὶ θάπτονται ἐν τῇ Μελανδησίᾳ πόρτῃ, ἐν αὐτῇ τῇ Κωνσταντινουπόλει, τοποθεσίᾳ τοῦ δευτέρου. ὧν τὸν Ναὸν μετὰ ταῦτα ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Ἰωάννης ὁ Χρυσόστομος ἐκ βάθρων ἤγειρεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἀμ[illegible]σίου.

Οὗτος αὐτόκλητος πρὸς τοὺς τυράννους ἀπελθὼν, καὶ τὸν Χριστὸν ἀληθινὸν Θεὸν, καὶ τοῦ παντὸς Ποιητὴν κηρύξας πεπαρρησιασμένως, ἐξέπληξεν ἅπαντας. καὶ τὸ ἀμετάθετον αὐτοῦ ἰδόντες, ξίφει τὴν κεφαλὴν αὐτοῦ ἀπέτεμον, καὶ τῇ θαλάσσῃ ἐναπέρριψαν. γυνὴ δὲ εὐλαβὴς ἐκ τοῦ βυθοῦ ἀναλαβοῦσα τὸ ἅγιον αὐτοῦ Λείψανον, μύροις καὶ ὀθονίοις εἱλήσασα, ἐν ᾧ κατεσκεύασεν εὐκτηρίῳ οἴκῳ ἐναπέθετο. οὗ τῇ καταθέσει πολλαὶ ἰάσεις γεγόνασι, καὶ μέχρι τοῦ νῦν γίνονται, εἰς δόξαν τοῦ φιλανθρώπου Θεοῦ ἡμῶν. Ἀμήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Οὐαλλερίνου.

Ἄ. Οὐαλλερῖνος τὴν κάραν τμηθεὶς ξίφει,
Τομῆς βραχείας, ὢ πόσα στέφη λάβοι.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Σαβίνου.

Ἄ. Εἰσδὺς τὸ πῦρ, χόρευε Μάρτυς Σαβῖνε,
Θείαν

Digitized by Google

Θείαν χορείαν, πρόξενον Θείου σέβους.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Οὐαλλερίου, καὶ Χρυσάφου.

Στίχ. Διττοῖς ἀθληταῖς ἡ τιμωρία ξίφος,
Ἡγουμένοις τρύφημα τὴν τιμωρίαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Ταβηθᾶς, ἣν ἀνέστησεν ἐκ νεκρῶν ὁ Ἅγιος Πέτρος.

Στίχ. Ποῦ σοι Ταβηθᾶ; Πέτρος εἰ γὰρ ἣν πάλιν.
Ἤγειρεν αὖ σε, καὶ θανοῦσαν ὡς πάλαι.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„Ἀβραμιαῖοι ποτέ, ἐν Βαβυλῶνι παῖ„δες, καμίνου φλόγα κατεπάτη„σαν, καὶ ὑμνοῦντες ἔψαλλον· εὐλογη„τὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἐχμηλατοῦντες καλῶς, τὸν Ἱερὸν Ποίμενα, ὀρθοδοξίᾳ καλλυνόμενοι, χερσὶν ἀνῃρέθητε, κακοδοξούντων μάτην, πανευκλεεῖς ὁπλῖται.

Νομοθεσίας Θεοῦ ἀπαρατρώτους πίστει, διατηροῦντες Θεῖοι Μάρτυρες, νομίμως ἠθλήσατε. ὑπὸ χειρῶν ἀνόμων, ἀναιρεθέντες ξίφει.

Μετὰ ταφὴν ἱερὰν, τῶν προσιόντων πίστει, ὑμῶν τῷ τάφῳ τὰ νοσήματα, ἐνθάπτετε Ἅγιοι, ταῖς πρὸς τὸν ζωοδότην, ἁγίαις μεσιτείαις.

Ἐκ τῶν πηγῶν μυστικῶς, τῶν ἱερῶν πλουτοῦντες, τὴν θείαν χάριν τῶν ἰάσεων, πιστούς τε καταρδεύετε, τῶν νοσημάτων πᾶσαν, ξηραίνοντες πλημμύραν. Θτ.

Ἀπελυτρώμενοι τῷ σῷ, Θεογεννῆτορ Τόκῳ, τῆς αἰωνίου κατακρίσεως. τὸ Χαῖρέ σοι κράζομεν ἀεὶ, εὐλογημένη καὶ κεχαριτωμένη.

Ὠδὴ η'. Λυτρωτὰ τοῦ παντός.

Ὥσπερ δύω ἀμνοὶ σφαγιάζεσθε, τὸν ἀμνὸν τοῦ Θεοῦ Ὁμοούσιον, Πατρὸς ἀνακηρύττοντες, καὶ τραπέζῃ τῇ ἄνω προσενεχθέντες, ἀθλητῶν ὁμηγύρει συντάττεσθε.

Δυναμούμενοι σθένει τοῦ Πνεύματος, ἐξεμαράνατε πλάνης τὸ φρύαγμα. καὶ καρτερῶς ἀθλήσαντες, τοὺς δεινῶς παρεθέντας ταῖς ἀσθενείαις, οἱ σεπτοὶ θεραπεύουσι Μάρτυρες.

Ἰατροὶ τῶν ψυχῶν χρηματίζοντες, τῶν παθῶν ἡμῶν Ἅγιοι Μάρτυρες, τὰ χαλεπὰ νοσήματα, καὶ τὰς ἐπαναστάσεις τὰς ἁμαρτίας, θεραπεύσατε θείαις δεήσεσιν.

Δόξα.

Ἀνυμνοῦμεν Πατέρα ἀγέννητον, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, μίαν οὐσίαν ἄκτιστον, καὶ Θεότητα μίαν, πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Νεκρωθέντας ἡμᾶς ἀνεζώωσας, τὴν ζωὴν τῶν ἁπάντων κυήσασα, Θεοκυῆτορ Δέσποινα, τῶν Μαρτύρων ἡ δόξα, καὶ τῶν ἀνθρώπων τὸ διάσωσμα, καὶ περιτείχισμα.

Ὁ Εἱρμός.

„Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε, „τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, „συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλ„πειν, πάντα τὰ ἔργα εὐλογεῖτε ὑμνεῖ„τε τὸν Κύριον.

Ὠδὴ θ'. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ἰσχύϊ ναρκούμενοι Χριστοῦ, τὸν θάνατον ἀθλοφόροι οὐκ ἐπτήξατε, ἀλλὰ προθύμως ὑποθέντες, τοῖς ξίφεσιν αὐχένας ἐλύσατε, γενναίως τὸν ἀγῶνα τὸν ἔνθεον. ὅθεν ἀξίως μακαρίζεσθε.

Ὡς δύω ἀστέρες φαεινοί, φωτίζετε Οἰκουμένης τὰ πληρώματα, θείαις τῶν ἄθλων λαμπηδόσι. Μαρκιανὲ σοφὲ καὶ Μαρτύριε, τὸ σκότος τῆς ζοφώδους αἱρέσεως, τῆς τοῦ Ἀρείου ἀπελαύνοντες.

Στεφάνους τῆς δόξης ἐκ Θεοῦ, νικήσαντες τὸν τυφλώττοντα Μακεδόνιον, ἤδη εἰλήφατε ἀξίως, καὶ θρόνῳ τοῦ Δεσπότου παρίστασθε, ἡμῖν ἁμαρτιῶν ἐξαιτούμενοι, λύσιν τελείαν ἀξιάγαστοι.

Ἡ μνήμη ἡ ἔνθεος ὑμῶν, ἀνέτειλε τοῦ Ἡλίου τηλαυγέστερον, πάντων φωτίζουσα καρδίας, τῶν ταύτην ἐκτελούντων μακάριοι, ἐν ᾗ ἐκδυσωπεῖτε τὸν Κύριον, σκότους πταισμάτων ἡμᾶς ῥύσασθαι.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Φωτὸς οἰκητήριον Ἁγνὴ ὑπάρχουσα, τῆς ψυχῆς μου κόρας φώτισον, ἀμαυρωθείσας ἀμελείᾳ, καὶ σκότος ῥαθυμίας βαθύτατον, ἀεὶ περικειμένας πανάμωμε, ὅπως ἐν πίστει μακαρίζω σε.

Ὁ Εἱρμός.

„Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι, „τὴν κατάραν εἰσῳκίσατο, σὺ δὲ Παρ„θένε Θεοτόκε, τῷ τῆς κυοφορίας βλα„στήματι, τῷ Κόσμῳ τὴν εὐλογίαν ἐξήν„θησας. ὅθεν σε πάντες μακαρίζομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Μαρκιανὸς ὁ πάνσοφος, καὶ Μαρτύριος ἅμα, τὸ τοῦ Ἀρείου ἔκφυλον, δόγμα καὶ μανιῶδες, καθεῖλον χάριτι θείᾳ, τῆς Ἁγίας Τριάδος. ὑπὲρ ἧς καὶ ἐνήθλησαν, καὶ ὡς Μάρτυρες Θεῖοι, στέφος λαμπρὸν, πρὸς Χριστοῦ δεξάμενοι τοῦ Σωτῆρος, ὑπὲρ ἡμῶν πρεσβεύουσι, τῶν αὐτοὺς εὐφημούντων. Θεοτοκίον. Ὅμοιον.

Σὲ κιβωτὸν καὶ τράπεζαν, καὶ λυχνίαν καὶ στάμνον, καὶ ὄρος καὶ παλάτιον, θρόνον κλίνην καὶ πύλην, τοῦ Βασιλέως τῆς δόξης, τὴν Ἁγίαν Παρθένον, καὶ Θεοτόκον ἅπαντες, ἀνυμνοῦμεν ἐκ πόθου. Χριστιανῶν, σκέπη γὰρ ὑπάρχεις καὶ σωτηρία, καὶ ἀῤῥαγὴς ὑπέρμαχος, καὶ προστάτις καὶ φύλαξ.

Εἰς τὸν σ. π. τῆς Ὀκτωήχου.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ, καὶ τὰ λοιπὰ ὡς συνήθως, Ζήτει εἰς Μάρτυρας.

Τῷ αὐτῷ Μηνὶ ΚϚ.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβλύτου, καὶ ἡ Ἀνάμνησις τοῦ γενομένου Σεισμοῦ.

Ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν, τὸ, Μακάριος ἀνὴρ, τὸ, ά. Ἀντίφωνον. εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ή. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια. Ἦχος Πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, ἐν Οὐρανῷ καὶ ἐν γῇ, ἀγαλλίαμα σήμερον, ἐν τῇ μνήμῃ ηὔγασαι, Δημητρίου τοῦ Μάρτυρος, ἐκ τῶν Ἀγγέλων ἐπαίνοις στέφεται, καὶ ἐξ ἀνθρώπων ᾄσματα δέχεται. ὢ οἷον ἤθλησε, πῶς καλῶς ἠγώνισται, δι' οὗ ὁ ἐχθρὸς, πέπτωκεν ὁ δόλιος, Χριστοῦ νικήσαντος.

Ὢ τοῦ παραδόξου θαύματος, ταῖς τῶν θαυμάτων βολαῖς, τοῦ Ἡλίου φανώτερον, εἰς ἀεὶ Δημήτριος, διαλάμπει τοῖς πέρασιν. ὡς ἀνεσπέρου φωτὸς λαμπόμενος, καὶ τῷ ἀδύτῳ φωτὶ τερπόμενος. οὗ ταῖς ἐλλάμψεσι, νέφη ἀπηλάθησαν, βαρβαρικὰ, νόσοι ἐδιώχθησαν, δαίμονες ἡττῶνται.

Ὢ τοῦ παραδόξου θαύματος, ὑπὲρ Χριστοῦ λογχευθεὶς, ὁ τρισμάκαρ Δημήτριος, πρὸς ἐχθροὺς ἑκάστοτε, ῥομφαία ὤφθη δίστομος, ἀποθερίζων ἐχθρῶν γαυρίαμα, καὶ καταράσσων δαιμόνων φρύαγμα. ᾧ ἐκβοήσωμεν, Ἅγιε Δημήτριε, σκέπε ἡμᾶς, σοῦ τὴν ἀσέβαστον, μνήμην γεραίροντας.

Πύργος εὐσεβείας πέφηνας, ἐρηρεισμένος στεῤῥῶς, ἐπὶ πέτραν τῆς πίστεως, πειρασμοῖς ἀνάλωτος, καὶ κινδύνοις ἀκλόνητος. μετὰ σφοδροῦ γὰρ σάλου καὶ κλύδωνος, σοὶ τῶν ἀθέων προσρήξαν κύματα, σὲ οὐ κατέβαλον, ἀκλινῆ στεῤῥότητα, μαρτυρικῶ. στέφει γὰρ ἐπόθησας, ἐγκαλλωπίζεσθαι.

Πάθει τὸ πάθος μιμούμενος, τὸ ζωηφόρον Χριστοῦ, παρ' αὐτοῦ τὴν ἐνέργειαν, καὶ θαυμάτων εἴληφας, ἀθλοφόρε Δημήτριε, καὶ διασῴζεις τοὺς σοὶ προστρέχοντας, πολλῶν κινδύνων αὐτοὺς ῥυόμενος. ἔχων εὐάρεστον, παῤῥησίαν εὔδοξε, πρὸς τὸν Χριστὸν, ᾧ καὶ νῦν παρίστασαι, δόξης πληρούμενος.

Αἵματι τῷ σῷ στιζόμενος, τῷ ζωοδότῃ Χριστῷ, τῷ τὸ Αἷμα τὸ τίμιον, διὰ σὲ κενώσαντι, προσηνέχθης Δημήτριε, καὶ κοινωνόν σε δόξης εἰργάσατο, καὶ Βασιλείας

Digitized by Google

λείας αὐτοῦ συμμέτοχον, ὡς ἀριστεύσαντα, κατὰ τοῦ ἀλάστορος, καὶ τὰ δεινὰ, τούτου μηχανήματα, τελείως σβέσαντα.

Δόξα. Ἦχος Πλ. βʹ. Βυζαντίου.

Σήμερον συγκαλεῖται ἡμᾶς, τοῦ Ἀθλοφόρου ἡ παγκόσμιος πανήγυρις. δεῦτε οὖν φιλέορτοι, φαιδρῶς ἑορτάσωμεν τὴν μνήμην αὐτοῦ λέγοντες· χαίροις ὁ τὸν χιτῶνα τῆς ἀσεβείας διαρρήξας, διὰ τῆς Πίστεως, τὴν δὲ ἀνδρείαν τοῦ Πνεύματος, σεαυτῷ περιθέμενος. χαίροις, ὁ καταργήσας τὰς ἐπινοίας τῶν παρανόμων, τῇ ἰσχύϊ τῇ δοθείσῃ σοι παρὰ τοῦ μόνου Θεοῦ. χαίροις, ὁ λογχευθεὶς τῶν μελῶν, τὸ μακάριον πάθος πνευματικῶς ἡμῖν ἀναζωγραφήσας τοῦ Χριστοῦ. ὃν καθικέτευε, ἀθλητῶν ἐγκαλλώπισμα Δημήτριε, λυτρωθῆναι ἡμᾶς ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Τίς μὴ μακαρίσει σε.

Ἢ τὸ παρὸν, πρὸς τὸ, Φοβερὸς εἶ Κύριε.

Παναγία Δέσποινα, τοῦ Κόσμου βοήθεια, καὶ ἐλπὶς Χριστιανῶν. σὲ νῦν ἐκδυσωποῦμεν, καὶ σὲ παρακαλοῦμεν ἀγαθὴ, ὑπὲρ ἡμῶν ἡμαρτηκότων καὶ ἀπεγνωσμένων, τὸν Υἱόν σου καὶ Κύριον, ἵλεων ποιῆσαι Θεοτόκε. ἔχεις γὰρ τὸ δύνασθαι, τῇ μητρικῇ σου πρὸς αὐτὸν χρωμένη παρρησίᾳ. πρόφθασον Ἄχραντε, πρόφθασον μεσίτευσον. καὶ ῥῦσαι τὸν λαόν σου τῆς ἐπερχομένης ἀπειλῆς. διὰ σπλάγχνα ἐλέους, μὴ παρίδῃς τοὺς ὑμνοῦντάς σε.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. ξγʹ. 24. Ἐπίβλεψον ἐκ τοῦ Οὐρανοῦ Κύριε, καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου καὶ δόξης. Ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου, ὅτι ἀνέσχου ἡμῶν Κύριε; Σὺ γὰρ ἡμῶν εἶ Πατήρ. ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς. Ἀλλὰ σὺ Κύριε Πατὴρ ἡμῶν, ῥῦσαι ἡμᾶς. ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστι. Τί ἐπλάνησας ἡμᾶς Κύριε ἀπὸ τῆς ὁδοῦ σου; ἐσκλήρυνας τὰς καρδίας ἡμῶν, τοῦ μὴ φοβεῖσθαί σε; Ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου, ἵνα μικρὸν κληρονομήσωμεν τοῦ Ὄρους τοῦ ἁγίου σου. Οἱ ὑπεναντίοι ἡμῶν κατεπάτησαν τὸ ἁγίασμά σου. Ἐγενόμεθα ὡς τὸ ἀπαρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐπεκλήθη τὸ ὄνομά σου ἐφ' ἡμᾶς. Ἐὰν ἀνοίξῃς τὸν Οὐρανὸν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται, ὡς κηρὸς τήκεται ἀπὸ πυρός. καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους σου, καὶ φανερὸν ἔσται τὸ ὄνομά σου τοῖς ὑπεναντίοις σου. Ἀπὸ προσώπου σου ἔθνη ταραχθήσονται. Ὅταν ποιῇς τὰ ἔνδοξα, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη. Ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον Θεὸν πλήν σου. καὶ τὰ ἔργα σου ἀληθινὰ, καὶ ποιήσεις τοῖς ὑπομένουσί σε ἔλεος. Συναντήσεται γὰρ ἔλεος τοῖς ποιοῦσι τὸ δίκαιον, καὶ τῶν ὁδῶν σου μνησθήσονται. Καὶ νῦν Κύριε Πατὴρ ἡμῶν σὺ εἶ. ἡμεῖς δὲ πηλὸς, καὶ σὺ ὁ Πλάστης ἡμῶν. ἔργα χειρῶν σου πάντες ἡμεῖς. Μὴ ὀργίζου ἡμῖν Κύριε ἕως σφόδρα, καὶ μὴ ἐν καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν. Καὶ νῦν ἐπίβλεψον Κύριε, ὅτι λαός σου πάντες ἡμεῖς.

Προφητείας Ἱερεμίου τὸ Ἀνάγνωσμα.

Κεφ. βʹ. 1. Τάδε λέγει Κύριος· Ἐμνήσθην ἐλέους νεότητός σου, καὶ ἀγάπης τελειώσεώς σου, τοῦ ἐξακολουθῆσαί σε τῷ ἁγίῳ Ἰσραὴλ, λέγει Κύριος ὁ ἅγιος τοῦ Ἰσραήλ. Τῷ Κυρίῳ ἀρχὴ γεννημάτων αὐτοῦ. Πάντες οἱ ἐσθίοντες αὐτὸν πλημμελήσουσι, κακὰ ἥξει ἐπ' αὐτοὺς, λέγει Κύριος. Ἀκούσατε λόγον Κυρίου οἶκος Ἰακὼβ, καὶ πᾶσα πατριὰ οἴκου Ἰσραήλ. Τάδε λέγει Κύριος· Τί εὕροσαν οἱ Πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα, ὅτι ἀπέστησαν μακρὰν ἀπ' ἐμοῦ, καὶ ἐπορεύθησαν ὀπίσω τῶν ματαίων, καὶ ἐματαιώθησαν; καὶ οὐκ εἶπον· ποῦ ἐστι Κύριος ὁ ἀναγαγὼν ἡμᾶς ἐκ γῆς Αἰγύπτου; ὁ καθοδηγήσας ἡμᾶς ἐν τῇ ἐρήμῳ, ἐν γῇ ἀσπάρτῳ καὶ ἀβάτῳ, ἐν γῇ ἀνύδρῳ, καὶ ἀκάρπῳ καὶ σκιᾷ θανάτου; ἐν γῇ, ἐν ᾗ οὐ διώδευσεν

ἐν

Digitized by Google

ἐν αὐτῇ ἀνήρ, οὐδὲ κατῴκησεν Υἱὸς ἀνθρώπου ἐκεῖ; Καὶ εἰσήγαγον ὑμᾶς εἰς τὸν Κάρμηλον, τοῦ φαγεῖν τοὺς καρποὺς αὐτοῦ, καὶ τὰ ἀγαθὰ αὐτοῦ. καὶ εἰσήλθετε, καὶ ἐμιάνατε τὴν γῆν μου, καὶ τὴν κληρονομίαν μου ἔθεσθε εἰς βδέλυγμα. Οἱ Ἱερεῖς οὐκ εἶπον· ποῦ ἐστι Κύριος; καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου, οὐκ ἠπίσταντό με· καὶ οἱ Ποιμένες ἠσέβουν εἰς ἐμέ. καὶ οἱ Προφῆται προεφήτευον τῷ Βάαλ, καὶ ὀπίσω ἀνωφελοῦς ἐπορεύθησαν. Διὰ τοῦτο ἔτι κριθήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος, καὶ πρὸς τοὺς Υἱοὺς τῶν Υἱῶν ὑμῶν κριθήσομαι· Διέλθετε εἰς νήσους Χεττιεὶμ, ἴδετε· καὶ εἰς Κηδὰρ, καὶ ἀποστείλατε, καὶ νοήσατε σφόδρα, καὶ ἴδετε, εἰ γέγονε τοιαῦτα. εἰ ἀλλάξονται ἔθνη Θεοὺς αὐτῶν, καὶ αὐτοὶ οὐκ εἰσὶ Θεοί. Ὁ δὲ λαός μου ἠλλάξατο τὴν δόξαν αὐτοῦ, ἧς οὐκ ὠφεληθήσονται. Ἐξέστη ὁ Οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει Κύριος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. Κεφ. γ΄. 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι. καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. Οἱ δὲ, εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν, ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ, ἐδοκίμασεν αὐτούς. καὶ ὡς ὁλοκάρπωμα θυσίας, προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος, εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν. καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτὴν, πρῶτον τοῦ Ἁγίου τῆς Μονῆς, εἶτα τὰ παρόντα Ἰδιόμελα. Ἦχος α΄. Γεωργίου Σικελιώτου.

Εὐφραίνου ἐν Κυρίῳ Πόλις Θεσσαλονίκη. ἀγάλλου καὶ χόρευε, πίστει λαμπροφοροῦσα. Δημήτριον τὸν Πανένδοξον ἀθλητὴν, καὶ Μάρτυρα τῆς ἀληθείας, κόλποις κατέχουσα ὡς θησαυρόν. ἀπόλαβε τῶν θαυμάτων τὰς ἰάσεις καθορῶσα. καὶ βλέπε καταράσσοντα τῶν Βαρβάρων τὰ θράση. καὶ εὐχαρίστως, τῷ Σωτῆρι ἀνάκραξον, Κύριε δόξα σοι.

Ὁ αὐτός. Ἀνατολίου.

Τῇ τῶν ᾀσμάτων τερπνότητι, τὴν παροῦσαν φαιδρύνωμεν ἡμέραν, καὶ ἠχήσωμεν τὰ τοῦ Μάρτυρος ἀγωνίσματα. πρόκειται γὰρ ἡμῖν εἰς εὐφημίαν ὁ μέγας Δημήτριος. καὶ γὰρ τὰς τῶν Τυράννων ἐπιφορὰς ἀνδρείως ἐλῶν, πρὸς τὸ στάδιον προθύμως ἥλατο, καὶ τὰ νικητήρια ἐνδόξως ἀπενεγκάμενος, τὸν Σωτῆρα δυσωπεῖ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος β΄. Γερμανοῦ.

Εἰς τὰ ὑπερκόσμια σκηνώματα, τὸ πνεῦμά σου Δημήτριε Μάρτυς σοφὲ, Χριστὸς ὁ Θεὸς προσήκατο ἀμώμητον. Σὺ γὰρ τῆς Τριάδος γέγονας ὑπέρμαχος, καὶ ἐν σταδίῳ ἀνδρείως ἐναθλήσας ὡς ἀδάμας στερρός. λογχευθεὶς δὲ τὴν πλευρὰν, τὴν ἀκήρατόν σου πανσεβάσμιε, μιμούμενος τὸν ἐπὶ ξύλου τανυθέντα, εἰς σωτηρίαν παντὸς τοῦ Κόσμου, τῶν θαυμάτων εἴληφας τὴν ἐνέργειαν. ἀνθρώποις παρέχων τὰς ἰάσεις ἀφθόνως. διό σου σήμερον τὴν κοίμησιν ἑορτάζοντες, ἐπαξίως δοξάζομεν, τὸν σὲ δοξάσαντα Κύριον.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Ὢ τοῦ μεγίστου μυστηρίου, βλέπων τὰ θαύματα, ἀνακηρύττω τὴν Θεότητα, οὐκ ἀρνοῦμαι τὴν ἀνθρωπότητα. ὁ γὰρ Ἐμμανουὴλ φύσεως μὲν πύλας, ἤνοιξεν ὡς ἄνθρωπος. Παρθενίας δὲ κλεῖθρα, οὐ διέρρηξεν ὡς Θεός. ἀλλ' οὕτως ἐκ Μήτρας προῆλθεν, ὡς δι' ἀκοῆς εἰσῆλθεν. οὕτως ἐσαρκώθη, ὡς συνελήφθη. ἀπαθῶς εἰσῆλθεν, ἀφράστως ἐξῆλθε, κατὰ τὸν Προφήτην τὸν λέγοντα· αὕτη ἡ πύλη κεκλεισμένη ἔσται, οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς,

ἐμὲ

Digitized by Google

εἰμὴ Κύριος ὁ Θεὸς Ἰσραὴλ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὸν ϛ. ϛ. Ἰδιόμ. τοῦ Σεισμοῦ.

Ἦχος β΄.

Συμεὼν τοῦ Θαυμαστορείτου.

Τῆς γῆς συνταρασσομένης τῷ τῆς ὀργῆς σου φόβῳ, βουνοὶ καὶ τὰ ὄρη συσσείονται Κύριε· ἀλλ' εὐσπλαγχνίας ὄμματι, ἐφ' ἡμᾶς ἐπιβλέψας, μὴ τῷ θυμῷ σου ὀργισθῇς ἡμῖν. ἀλλὰ σπλαγχνισθεὶς ἐπὶ τὸ πλάσμα τῶν χειρῶν σου, τῆς φοβερᾶς ἡμᾶς τοῦ Σεισμοῦ ἀπειλῆς ἐλευθέρωσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἦχος Πλ. β΄.

Στ. Συνέσεισας τὴν γῆν, καὶ συνετάραξας αὐτήν.

Φοβερὸς εἶ Κύριε, καὶ τίς ὑποστήσεται τῆς δικαίας σου ὀργῆς; ἢ τίς σε δυσωπήσει, ἢ τίς παρακαλέσει ἀγαθὲ, ὑπὲρ λαοῦ ἡμαρτηκότος καὶ ἀπεγνωσμένου; τὰ Οὐράνια Τάγματα, Ἄγγελοι, Ἀρχαὶ καὶ Ἐξουσίαι, Θρόνοι Κυριότητες, τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ, ὑπὲρ ἡμῶν σοὶ βοῶσιν· Ἅγιος, Ἅγιος, Ἅγιος, εἶ Κύριε. τὰ ἔργα τῶν χειρῶν σου, μὴ παρίδῃς ἀγαθέ. Διὰ σπλάγχνα ἐλέους, σῶζε Πόλιν κινδυνεύουσαν.

Στίχ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν.

Νινευῖται τοῖς παραπτώμασι, τὴν διὰ σεισμοῦ ἀπειλῆς κατασχῶσιν ἤκουον. ἐν δὲ τῷ μεσιτεύοντι σημείῳ τοῦ κήτους, τὴν διὰ τοῦ Ἰωνᾶ ἀνάστασιν, ἡ μετάνοια παρακαλεῖ. ἀλλ' ὡς ἐκείνους βοῇ λαοῦ σου, μετὰ νηπίων καὶ κτηνῶν, οἰκτείρας προσεδέξω, ἡμᾶς παιδευομένους, διὰ τῆς τριημέρου Ἀναστάσεως, φεῖσαι καὶ ἐλέησον.

Δόξα. τοῦ Ἁγίου. Ἦχος τὸν αὐτ. Ἀνατολίου.

Ἔχει μὲν ἡ θειοτάτη σου ψυχὴ καὶ ἄμωμος, ἀοίδιμε Δημήτριε, τὴν Οὐράνιον Ἱερουσαλὴμ κατοικητήριον. ἧς τὰ τείχη, ἐν ταῖς ἀχειροποιήτοις χερσὶ, τοῦ ἀοράτου Θεοῦ ἐζωγράφηνται. ἔχει δὲ καὶ τὸ πανέντιμον, καὶ ἀθλητικώτατόν σου σῶμα, τὸν περίκλυτον τοῦτον Ναὸν ἐπὶ γῆς, ταμεῖον ἄσυλον θαυμάτων, νοσημάτων ἀλεξιτήριον, ἔνθα προστρέχοντες, τὰς ἰάσεις ἀρυόμεθα. Φρούρησον πανάφημε, τὴν σὲ μεγαλύνουσαν Πόλιν, ἀπὸ τῶν ἐναντίων προσβολῶν· παῤῥησίαν ὡς ἔχων πρὸς Χριστὸν τὸν σὲ δοξάσαντα.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί. Μῆτερ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου πανάμωμε, ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων. νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Τροπάριον. Ἦχος γ΄.

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ Οἰκουμένη, Ἀθλοφόρε τὰ ἔθνη τροπούμενον. ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, καὶ ἐν σταδίῳ θαῤῥύνας τὸν Νέστορα. οὕτως Ἅγιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον. Ἦχος Πλ. δ΄.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ῥῦσαι ἡμᾶς τῆς φοβερᾶς τοῦ Σεισμοῦ ἀπειλῆς, Χριστὲ ὁ Θεὸς ἡμῶν. καὶ κατάπεμψον ἡμῖν, πλούσια τὰ ἐλέη σου, πρεσβείαις τῆς Θεοτόκου, μόνε Φιλάνθρωπε.

Τὰ αὐτὰ καὶ εἰς τὸ, Θεὸς Κύριος.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. κάθισ.

Ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Ἡ μνήμη σου ἔνδοξε, Μάρτυς Δημήτριε, ἐφαίδρυνε σήμερον, τὴν Ἐκκλησίαν Χριστοῦ, καὶ πάντας συνήγαγεν, ᾄσμασιν ἐπαξίως, εὐφημεῖν σε θεόφρον. ὡς ὄντως στρατιώτην, καὶ ἐχθρῶν καθαιρέτην. διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς, ῥῦσαι ἡμᾶς πειρασμῶν.

Ὅμοιον.

Ἀθλήσεως καύχημα, Μάρτυς Δημήτριε, Χριστὸν ἐνδυσάμενος, κατεπολέμησας, ἐχθρὸν τὸν ἀντίχυρον. πλάνην γὰρ τῶν ἀνόμων, ἐν αὐτῷ καταργήσας, γέγονας τοῖς ἐν πίστει, εὐσεβείας ἀλείπτης.



Digitized by Google

πτης. διὸ σου καὶ τὴν μνήμην σεπτῶς πανηγυρίζομεν.

Θεοτοκίον. Ὅμοιον.

Ἐλπὶς ἀκαταίσχυντε, τῶν πεποιθότων εἰς σέ, ἡ μόνη κυήσασα, ὑπερφυῶς ἐν σαρκί, Χριστὸν τὸν Θεὸν ἡμῶν. τοῦτον σὺν τοῖς Ἁγίοις, Ἀποστόλοις δυσώπει, δοῦναι τῇ Οἰκουμένῃ, ἱλασμὸν καὶ εἰρήνην, καὶ πᾶσιν ἡμῖν πρὸ τέλους βίου διόρθωσιν.

Μετὰ τὴν βʹ. στιχολ. καθισμα. Ἦχος Πλ. αʹ.

Τὸν συνάναρχον Λόγον.

Ἀδιστάκτῳ τῇ Πίστει ὁ ἀθλοφόρος Χριστοῦ, τῶν Τυράννων τὰ θράση καταβαλὼν ἀνδρικῶς. ἀθλητικῶς τὸν πονηρὸν κατεπάλαισε. καὶ τῶν βασάνων ἀμοιβὴν, τὴν τῶν θαυμάτων παροχὴν, ἐδέξατο ἐκ τοῦ μόνου, Θεοῦ τοῦ ἀγωνοθέτου, ᾧ καὶ πρεσβεύει ἐλεηθῆναι ἡμᾶς. Δίς.

Θεοτοκίον. Ὅμοιον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ. χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ, τὸν ποιητήν σου καὶ Θεόν. πρεσβεύουσα μὴ ἐλλίπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

Μετὰ τὸν Πολυέλεον, καθισμα. Ἦχος γʹ.

Τὴν ὡραιότητα.

Τὸν συμπαθέστατον Κυρίου Μάρτυρα, ἐκδυσωποῦμέν σε πιστῶς Δημήτριε, ῥῦσαι ἡμᾶς παντοδαπῶν, κινδύνων ἐπερχομένων. ἴασαι ψυχῶν ἡμῶν, καὶ σωμάτων τὰ τραύματα. θραῦσον τὰ φρυάγματα, τῶν ἐχθρῶν ἡμῶν Ἅγιε. εἰρήνευσον ἡμῶν τὴν ζωὴν, ὅπως ἀεί σε δοξάζωμεν. Δίς.

Θεοτοκίον. Ὅμοιον.

Θεομακάριστε Μήτηρ ἀνύμφευτε, τὴν ἀθεμιτοῦσαν μου ψυχὴν θεράπευσον. ὅτι συνέχομαι πολλοῖς, ἐν πταίσμασι Θεοτόκε. ὅθεν καὶ κραυγάζω σοι, στεναγμῷ τῆς καρδίας μου. δέξαι με παράχρημα, τὸν πολλὰ ἁμαρτήσαντα, ἵνα ἐν παῤῥησίᾳ κραυγάζω σοι, χαῖρε ἡ Κεχαριτωμένη.

Οἱ Ἀναβαθμοί, τὸ αʹ. Ἀντίφωνον, τοῦ δʹ. Ἤχου. Προκείμενον. Ἦχος δʹ.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Πᾶσα πνοή. Εὐαγγέλιον. Ὁ Ν.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα, τὸ. Ἐλέησόν με ὁ Θεός.

Οἱ Κανόνες, τοῦ Σεισμοῦ μετὰ τῶν Εἱρμῶν, εἰς ϛʹ. καὶ τοῦ Ἁγίου οἱ δύω, ἀνὰ τεσσάρων.

Ὁ Κανὼν τοῦ Σεισμοῦ.

Οὗ ἡ ἀκροστιχίς.

Ὦ Χριστὲ τῆς γῆς τὸν κλόνον παῦσον τάχος. Ἰωσήφ.

Ὠδὴ αʹ. Ἦχος Πλ βʹ. Ὁ Εἱρμός.

„ Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ,
„ ἐν ἀβύσσῳ ἴχνεσι, τὸν διώκτην
„ Φαραὼ, καθορῶν ποντούμενον Θεῷ, ἐ-
„ πινίκιον ᾠδὴν ἐβόα ᾄσωμεν.

Ὡς φοβερὰ ἡ ὀργή σου ἣν κατῆς ἡμᾶς, ἐλυπῶσω Κύριε, μὴ συγχώσας ἐν τῇ γῇ, ἅπαν τὸ ἀνάστημα ἡμῶν. εὐχαρίστως σε διὸ ἀεὶ δοξάζομεν.

Χαίρων ἀεὶ καθ' ἑκάστην τῇ παντελεῖ, διορθώσει Δέσποτα, ὥσπερ φύλλον εὐτελὲς, διασείεις ἅπασαν τὴν γῆν, εἰς τὸν φόβον σου πιστοὺς στηρίζων Κύριε.

Ῥῦσαι Σεισμοῦ βαρυτάτου πάντας ἡμᾶς, καὶ μὴ δῷς Κύριε, ἀπολέσθαι παντελῶς, τὴν κληρονομίαν σου πολλοῖς, παροργίζουσαν κακοῖς, σὲ τὸν μακρόθυμον.

Θεοτοκίον.

Ἱκετικῶς σοι βοῶμεν Μῆτερ Θεοῦ, τὰ συμπαθῆ σπλάγχνα σου, ἐπὶ πόλιν καὶ λαὸν, συμπαθῶς δεικνύουσα Σεισμοῦ, βαρυτάτου καὶ φθορᾶς ἡμᾶς ἀπάλλαξον.

Ὁ Κανὼν τοῦ Ἁγίου. Οὗ ἡ ἀκροστιχίς.

Τῷ καλλινίκῳ προσλαλῶ Δημητρίῳ.

Θεοφάνους. Ὠδὴ αʹ. Ἦχος δʹ.

Θαλάσσης τὸ ἐρυθραῖον.

Τὸν θεῖον τοῦ Μαρτυρίου στέφανον, ἀναδησάμενος, περὶ Θεὸν χορεύεις ἀστραπαῖς, ταῖς ἐκεῖθεν λαμπόμενος, καὶ φω-

Digitized by Google

φωτισμοῦ πληρούμενος, Μάρτυς ἀοίδιμε Δημήτριε.

Ὡς ὄντα τῆς ἀληθείας Μάρτυρα, καὶ μέχρις αἵματος, ἠγωνισμένον μάκαρ καρτερῶς, σταθηρὰν τε τὴν ἔνστασιν, πρὸς τοὺς ἀγῶνας δείξαντα, σὲ ὁ Δεσπότης προσεδέξατο.

Κακίας τὸν ἀρετὴν κατέῤῥαξας, πρὸς γῆν Δημήτριε, μαρτυρικῇ σου λόγχῃ καθελὼν, Θεϊκῆς ἀγαθότητος, ταῖς ὑπὲρ νοῦν δυνάμεσιν, εἰς τοῦτο μάκαρ δυναμούμενος. Θεοτοκίον.

Ἀμήτωρ καθ' ὃ Θεὸς τὸ πρότερον, ὑπάρχων γέγονε, τὸ καθ' ἡμᾶς ἀπάτωρ ἐκ σοῦ, Θεοτόκε πανύμνητε, σάρκα λαβὼν καθ' ἕνωσιν, τὴν ὑπὲρ λόγον καὶ διάνοιαν.

Ἕτερος Κανὼν τοῦ Ἁγίου.

Ποίημα τοῦ Ἁγιωτάτου καὶ Οἰκουμενικοῦ Πατριάρχου Κυρίου Φιλοθέου, ὑπόθεσιν ἔχων ἐγκωμίων ὁμοῦ καὶ δεήσεως, εἰς τὸ ἱερὸν αὐτοῦ Μύρον. Οὗ ἡ ἀκροστιχίς.

Μύρῳ νοητῷ προσλαλεῖς, μύρον γίνῃ.

Ἐν δὲ τοῖς Θεοτοκίοις.

Φιλοθέου. Ὠδὴ ά. Ἦχος ὁ αὐτός.

Ἀνοίξω τὸ στόμα μου.

Μύρον μου Δημήτριε, καὶ δόξα θεία γεγένησαι. τῆς μάνδρας γὰρ πρόβατον, κἀγὼ τῆς φίλης σου. διὸ δέξαι μου τὸν ὕμνον στεφηφόρε, κροτοῦντα τοῦ μύρου σου, τὴν χάριν σήμερον.

Ὑπῆλθες Δημήτριε, λαμπρῶς, Μαρτύρων τὸ στάδιον, ἐλαίῳ ἀλείψας σου, τῇ ἀρετῇ τὴν ψυχὴν. καινῷ τρόπῳ δὲ, πεσὼν νικᾷς γενναῖε, καὶ μύρου τὸ σῶμά σου κρήνην ἀνέδειξας.

Ῥευμάτων βορβόρου με, καὶ δυσωδίας Δημήτριε, ἀπόσμηξον δέομαι, τῶν ἀκαθάρτων παθῶν, καὶ τῷ μύρῳ σου, λαμπρῶς εὐωδιάσας, Χριστοῦ μύρου ποίησον, ἄξιον σκήνωμα.

Ὡς μύρον μὲν ἔφησε, Δαβὶδ ὁ θεῖος ἐν πνεύματι, τὴν ἕνωσιν εὔδοξε, τῶν ἀδελφῶν τὴν τερπνὴν, τὰ δὲ μύρα σου, σοφὲ τὴν μίαν κτίσιν, συνάγει πρὸς ἕνωσιν μύρου τοῦ κρείττονος.

Θεοτοκίον.

Φανεῖσα Πανάμωμε, μύρου τοῦ θείου ἀλάβαστρον, καὶ σκεῦος ἐξαίρετον τῆς εὐωδίας Χριστοῦ. Ἱκετεύω σε, παθῶν τῆς δυσωδίας, βορβόρου τε λύτρωσαι τῆς ἁμαρτίας με.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„Οὐκ ἔστιν Ἅγιος ὡς σὺ, Κύριε ὁ Θεός „μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν „σου ἀγαθὲ, καὶ στερεώσας αὐτοὺς, ἐν τῇ „πέτρᾳ, τῆς ὁμολογίας σου.

Ἡ γῆ μαστίζεται ἡμῶν, κακῶς διακειμένων, καὶ ἀεὶ τὴν ὀργήν σου, συγκινούντων καθ' ἡμῶν, οἰκτίρμων Παμβασιλεῦ. ἀλλὰ φεῖσαι, Δέσποτα τῶν δούλων σου.

Ἐυσσείσας Κύριε τὴν γῆν, ἐστερεώσας πάλιν, ῥυθετῶν ἐπιστρέφων, τὴν ἀθυμίαν ἡμῶν, στηρίζεσθαι ἐν τῷ σῷ, θείῳ φόβῳ, θέλων ὑπεράγαθε.

Τεμνώσας θάνατον πικρὸν, καὶ σεισμοὺς βαρυτάτους, καὶ πληγὰς ἀνεικέστους, ἁμαρτίας ἀδελφοὶ, ἐκφύγωμεν καὶ Θεὸν, μετανοίας, τρόποις ἐκμειλίξωμεν.

Θεοτοκίον.

Ἡ μόνη οὖσα ἀγαθὴ, τὸν πανάγαθον Λόγον, ἐκτενῶς ἐκδυσώπει, τῆς ἀνάγκης τοῦ σεισμοῦ, ῥυσθῆναι πάσης ὀργῆς, Θεοτόκε, ἅπαντε δεόμεθα.

Ἄλλος. Εὐφραίνεται ἐπὶ σοί.

Ἀπελόγισαι παρ' οὐδὲν, τὸ τῶν τυράννων παρὰ σοὶ πρόσταγμα. τὸν τοῦ Θεοῦ Λόγον γὰρ, πάντων ἀθλοφόρε προέκρινας.

Λυχνία φωτοειδὴς, τοῦ Μαρτυρίου ἐν σκηνῇ γέγονας, θείῳ φωτὶ λάμψασα, Μάρτυς Ἀθλοφόρε Δημήτριε.

Ἰάσεών σε πηγὴν, ἡ ἱερὰ καὶ θαυμαστὴ Πόλις σου, καὶ Θησαυρὸν ἄσυλον, πάσης εὐφροσύνης πεπλούτηκεν.

Θεοτοκίον.

Τὴν νέμενος τὴν μορφὴν, τὴν σαθρωθεῖσαν τῶν βροτῶν Πάναγνε, ταύτην ἐκ σοῦ ἐνδύεται, μείνας ὅπερ ἦν ὁ φιλάνθρωπος.



Digitized by Google

Ἄλλος. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ναμάτων ἐπέβης ζωηρρύτων, βαπτίσματι θείῳ καθαρθείς. αἵματι δὲ λουσάμενος, μαρτυρικῷ Δημήτριε, κρᾶσιν καινὴν τετέλεκας, πηγὴ τῶν μύρων γενόμενος.

Ὁ μέγας φρουρὸς Θεσσαλονίκης, ὡς μέγας Κυρίου ποταμὸς, τέρπεις λαμπρῶς τὴν Πόλιν σου, τοῦ μύρου τοῖς ὁρμήμασιν. ὡς θεῖα δὲ σκηνώματα, καθαγιάζεις τὰ σύμπαντα.

Ἡ πόλις σου Μάρτυς ὥσπερ κρήνη, ναμάτων ὁρᾶται ζωτικῶν, ὡς ῥεύματα τὸ μῦρά σου, ποταμηδὸν προχέουσα, θαλάσσας τῶν αἱρέσεων, καὶ τῶν παθῶν κατακλύζοντα.

Τὸ μῦρον Χριστὸς ἐν τῇ ψυχῇ σου, Δημήτριε ῥεύσαν νοητῶς, ὡς χείλεσι σοῖς μέλεσι, μύρου πηγὴν ἐξέχεε, τῆς χάριτος τοῦ Πνεύματος, σεπτὸν δεικνύον σε σκήνωμα. Θεοτοκίον.

Ἰδοὺ ἡ Παρθένος ἀνακράζει, τῷ πάντων Δεσπότῃ καὶ Υἱῷ. καλὸς εἶ ὁ Νυμφίος μου, ἰδοὺ καλὸς, ὡραῖός τε. εἰς τὴν ὀσμὴν τοῦ μύρου σου, σπουδῇ δραμοῦμαι ὀπίσω σου.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Ὠδὴ γ΄. Τοῦ Ἁγίου. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν.

Εὐσεβείας τοῖς τρόποις καταπλουτῶν, ἀσεβείας τὴν πλάνην καταβαλὼν, Μάρτυς κατεπάτησας, τῶν Τυράννων τὰ θράση. καὶ τῷ Θείῳ πόθῳ, τὸν νοῦν πυρπολούμενος, τῶν εἰδώλων τὴν πλάνην, εἰς χάος ἐβύθισας. ὅθεν ἐπαξίως, ἀμοιβὴν τῶν ἀγώνων, ἐδέξω τὰ θαύματα. καὶ πηγάζεις ἰάματα, ἀθλοφόρε Δημήτριε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Ἕτερον. Ὅμοιον.

Βασιλεῖ τῶν αἰώνων εὐαρεστῶν, βασιλέως ἀνόμου πᾶσαν βουλὴν, ἐξέκλινας ἔνδοξε, καὶ γλυπτοῖς οὐκ ἐπέθυσας. διὰ τοῦτο θῦμα, σαυτὸν προσενήνοχας, τῷ τυθέντι Λόγῳ, ἀθλήσας στερρότατα. ὅθεν καὶ τῇ λόγχῃ, τὴν πλευρὰν διορυχθεὶς, τὰ πάθη ἰώμενος, τῶν πιστῶς προσιόντων σοι, ἀθλοφόρε Δημήτριε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Ἕτερον. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Τῆς ἐπελθούσης σου ὀργῆς ἀφορήτου, ὅτι ἠλέησας ἡμᾶς καὶ ἐῤῥύσω, φιλανθρωπίας πέλαγος δεικνύων Χριστέ. νῦν εὐχαριστοῦμέν σοι, παιδευθέντες ἐκκλίναι, ἀπὸ τῶν κακῶν ἡμῶν, τῶν ἡμᾶς θανατούντων. ἀλλ᾽ ἐπιβλέψας οἰκτεῖρον ἡμᾶς, ταῖς ἱκεσίαις Σωτὴρ τῆς Τεκούσης σε.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

„ Χριστός μου δύναμις, Θεὸν καὶ Κύ„ ριος, ἡ σεπτὴ Ἐκκλησία θεοπρε„ πῶς μέλπει ἀνακράζουσα. ἐκ διανοίας „ καθαρᾶς, ἐν Κυρίῳ ἑορτάζουσα.

Σαλεύεις Κύριε, τὴν γῆν βουλόμενος, ἑδρασμῷ ἀληθείας πάντας ἡμᾶς, Δέσποτα στηρίζεσθαι, σαλευομένους προσβολαῖς, τοῦ δολίου πολεμήτορος.

Τῇ θείᾳ νεύσει σου, κλονεῖς τὰ σύμπαντα, καὶ δονεῖς τὰς καρδίας τῶν ἐπὶ γῆς, κατοικούντων Δέσποτα. τῆς οὖν δικαίας σου ὀργῆς, ἄνες Κύριε τὰ κύματα.

Οὐδ᾽ ὅλως ἔχοντες, εἰς νοῦν τὸν φόβον σου, ἐκφοβεῖς τὰς καρδίας τῶν ἐπὶ γῆς, μόνε εὐσυμπάθητε. ἀλλὰ συνήθως ἐφ᾽ ἡμᾶς, τὰ ἐλέη σου θαυμάστωσον.

Θεοτοκίον.

Ναόν σε Δέσποινα, Θεοῦ γινώσκοντες, ἐν Ἁγίῳ Ναῷ σου, χεῖρας οἰκτρὰς, αἴρομεν εἰς δέησιν. ἴδε τὴν κάκωσιν ἡμῶν, καὶ παράσχου σὴν βοήθειαν.

Ἄλλος. Ἐπαρθέντα σε ἰδοῦσα.

Νενικηκότα τὸ ψεῦδος τῆς ἀσεβείας, ὁ τοῦ Θεοῦ πανύψιστος, θεώμενος Λόγος, δόξῃ ἐσεφάνωσε, Δημήτριε ψάλλοντα, δόξα τῇ δυνάμει σου Κύριε.

Ἐθυνόμενος παλάμῃ τῇ ζωηφόρῳ, πρὸς τοὺς λιμένας ἔφθασας, τοὺς γαληνοτά-

τίτους. ἔνθα μιν γηθόμενος, κραυγάζεις Δημήτριε, δόξα τῇ δυνάμει σου Κύριε.

Κατὰ τῆς πλάνης τὸ τρόπαιον ἀναστήσας, νικητικὸν διάδημα, τῆς δικαιοσύνης, εἴληφας Δημήτριε, κραυγάζων, τῷ Κτίστῃ σου, δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Ὡς τῶν κτισμάτων ἁπάντων Ἱερωτέρα, Μήτηρ Θεοῦ γενέσθαι, μόνη ἠξιώθης. τοῦτον γὰρ γεννήσασα, τὸν Κόσμον ἐφώτισας, τῆς θεογνωσίας τῇ χάριτι.

Ἄλλος. Τὴν ἀνεξιχνίαστον.

Ὡς εἶπον ὡς βότρυν σε Μάκαρ Χριστὸς, θείας ἐξ ἀμπέλου δρεψάμενος, ἀναποθλίβει, μαρτυρίου τοῖς λίνοις, τὸ καταρρεῦσαν γλεῦκος δὲ, μύρου θείαν βρύσιν εἰργάσατο.

Ποῦ μένεις Νυμφίε μου, ποῦ τὴν σκηνὴν, σὺ ἐν μεσημβρίᾳ κατέπηξας; ὁ στεφανίτης, ἀνεβόα τῷ Χριστῷ· εἰς τὴν ὀσμὴν τοῦ μύρου σου, μύρον ἐκδραμοῦμαι ληψόμενος.

Ῥεύματα Δημήτριε πλάνης δεινῶς, κλύσας τῶν αἱμάτων σου ῥεύμασιν, ἁμαρτιῶν μου, καὶ παθῶν τοὺς ποταμοὺς, εἰς τέλος ἀποξήρανον, μύρου σου τοῖς ῥεύμασι δέομαι.

Θεοτοκίον.

Λέγε μοι Νυμφίε μου λέγε τρανῶς, ποῦ ποτὲ ποιμαίνεις τὰ πρόβατα; ἡ Νύμφη κράζει, τῷ Νυμφίῳ καὶ Υἱῷ. ἡ ὀσμὴ γὰρ τοῦ μύρου σου, πάντας τοὺς φιλοῦντάς σε εἵλκυσεν.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„ Τῷ θείῳ φέγγει σου ἀγαθὲ, τὰς τῶν
„ ὀρθριζόντων σοι ψυχὰς, πόθῳ κα-
„ ταύγασον δέομαι, σὲ εἰδέναι Λόγε Θεοῦ
„ τὸν ὄντως Θεὸν, ἐκ ζόφου τῶν πταισμά-
„ των ἀνακαλούμενον.

Καὶ σὺ καρδία σείσθητι νῦν, βλέπουσα Θεοῦ τὴν ἀπειλὴν, ἐπικειμένην καὶ βόησον. φεῖσαι τοῦ λαοῦ σου Δέσποτα Κύριε, καὶ παῦσον τὴν δικαίαν ὀργήν σου εὔσπλαγχνε.

Λαὸν καὶ Πόλιν ἣν περ τῷ σῷ, Αἵματι ἐκτήσω Ἰησοῦ, μὴ παραδῷς εἰς ἀπώλειαν, ἐν τῷ συνταράσσειν τὴν γῆν, σεισμῷ φοβερῷ, χορὸς τῶν Ἀποστόλων καθικετεύει σε.

Ὁδοὺς σου Δέσποτα τὰς ὀρθὰς, γνώμῃ ὑπεκκλίναντες στρεβλῇ, εἰς ἀγανάκτησιν τρέπομεν, σὲ τὸν συμπαθῆ τε καὶ ἀμνησίκακον, ἀλλ' ἵλεως Οἰκτίρμων γενοῦ τοῖς δούλοις σου.

Θεοτοκίον.

Νῦν βοηθείας ἦλθε καιρὸς, νῦν καταλλαγῆς χρεία Ἁγνὴ, πρὸς τὸν Υἱόν σου καὶ Κύριον, ὅπως οἰκτειρήσῃ προσκεκρουκότας ἡμᾶς, καὶ τῆς ἐπικειμένης ὀργῆς λυτρώσηται.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Πῦρ πόθου θεϊκοῦ, ἐν καρδίᾳ δεξάμενος, πῦρ ἔσβεσας τῆς ἀθέου, τῶν εἰδώλων μανίας, ἀοίδιμε Δημήτριε.

Ῥυόμενος ἡμᾶς, ἐκ κινδύνων ἐπίφανον, Δημήτριε ταῖς εὐχαῖς σου, περισκέπων τοὺς πίστει, καὶ πόθῳ εὐφημοῦντάς σε.

Οἱ πίστει πρὸς τὸν σὸν, ἐπειγόμενοι τέμενος, Δημήτριε νοσημάτων, καὶ παθῶν ψυχοφθόρων, συντόμως ἀπαλλάττονται.

Θεοτοκίον.

Ὁ Λόγος τοῦ Θεοῦ, ὁ Πατρὶ Ὁμοούσιος, σὸς γίνεται Θεομῆτορ, ὑπὲρ νοῦν τε καὶ λόγον, Υἱός σοι Ὁμοούσιος.

Ἄλλος. Ἐξέστη τὰ σύμπαντα.

Ὁ μέγας ἐν Μάρτυσι, Δημήτριος τοῖς αἵμασιν, ἱδρῶτας κεράσας τῶν ἀγώνων, μύρον τὸ θεῖον ἡμῖν ἐσκεύασε. πυρὶ τῷ τοῦ Πνεύματος καλῶς, ἑψήσας τὸ φάρμακον, εἰς ψυχῶν καινὴν κάθαρσιν.

Σωμάτων τὰ τραύματα, καὶ τῶν ψυχῶν Δημήτριε, ὥς περ ἀντιδότῳ δραστηρίῳ, μύρῳ καθαίρεις τῷ ἐκ τοῦ τάφου σου. ἰὸν ἀποπλανῶν νοητὸν, ζήλῳ τοῦ Δεσπότου σου, σταλαγμοῖς τῶν αἱμάτων σου.

Πυρὸς ἐνεργέστερον, τὸ μύρον σου Δημήτριε, πᾶσαν διατρέχον Ἐκκλησίαν, βλύ-



Digitized by Google

βλύζει πηγάζει, ζῇ τε καὶ δρᾷ μυστικῶς, τοῖς πίστει προστρέχουσιν αὐτῷ, φλέγον τὰ νοσήματα, καὶ διῶκον τοὺς δαίμονας.

Θεοτοκίον.

Ὁ Λόγος ἐν μήτρα σου, Κόρη σκηνώσας εἴργασται, ταύτην μυροθήκην καινοῦ μύρου. ὅθεν Παρθένοι Ἁγίων Θείων ψυχαί, ὀπίσω σου ἔδραμον θερμῶς. ὦ καλὴ βοῶσί σοι, ὦ καλὴ Κόρη Δέσποινα.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

„ Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην κα„ θορῶν, τῶν πειρασμῶν τῷ κλύδω„ νι, τῷ εὐδίῳ λιμένι σου προσδραμὼν, βοῶ „ σοι· ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου „ πολυέλεε.

Οὐκ ἔχοντες Δέσποτα, παῤῥησίαν δυσωπεῖν, οἱ ταπεινοὶ τὸ ὕψος σου, τοὺς ἐκλεκτοὺς Ἀγγέλους σου εἰς θερμὴν, κινοῦμεν παράκλησιν, δι᾿ αὐτῶν τῆς ὀργῆς σου ῥῦσαι ἡμᾶς.

Νῦν ἔγνωμεν Κύριε, ὡς ἠθέλησας ἡμᾶς, καὶ οὐδαμῶς συνέχωσας, ὑπὸ τὴν γῆν συμπτώμασι χαλεποῖς, πολλὰ πλημμελήσαντας, ἀνεικάστως διό σε μεγαλύνομεν.

Προστάττεις σαλεύεσθαι, τὰ θεμέλια τῆς γῆς, ὅπως ἡμεῖς παυσώμεθα, οἱ ταπεινοὶ σαλεύεσθαι ἀρετῶν, τῆς κρείττονος στάσεως, καὶ τῷ φόβῳ σου Λόγε στηριζόμεθα.

Θεοτοκίον.

Ἁγία Θεόνυμφε, ἀπορούμενον νυνὶ, τὸν σὸν λαὸν οἰκτείρησον, καὶ μη τρικαῖς πρεσβείαις τὴν καθ᾿ ἡμῶν, Θεοῦ ἀγανάκτησιν, μεταποίησον τάχος δυσωπούμενή σε.

Ἄλλος. Θύσω σοι, μετ. φωνῆς.

Συμφώνως, συνελθόντες ὑμνοῦμεν Δημήτριε, τὴν φωτοφόρον σου μνήμην, καὶ θαυμάτων πλήρη, καὶ χαρισμάτων, τοῦ ἁγίου, καὶ σεπτοῦ παμμακάριστε Πνεύματος.

Λῦσόν μου, τὰς σειρὰς τῶν πταισμάτων πρεσβείαις σου. ὡς γὰρ ἀήττητος Μάρτυς, παῤῥησίαν ἔχεις, πρὸς τὸν Δεσπότην. καὶ γενοῦ μοι, καταφυγὴ καὶ σκέπη Δημήτριε.

Θεοτοκίον.

Ὡς κρίνον, τῶν ἀκανθῶν ἐν μέσῳ εὑράμενος, ὡς καθαρώτατον κρίνον, καὶ κοιλάδων ἄνθος ὦ Θεομῆτορ, ὁ νυμφίος, ἐν τῇ γαστρί σου Λόγος ἐσκήνωσεν.

Ἄλλος. Τὴν Θείαν ταύτην.

Λουτρὸν τοῦ Θείου βαπτίσματος, λουσάμενος, ἐχρίσθης ἀοίδιμε, μῦρον τοῦ Πνεύματος, ὃ τηρηθέν σοι ἀμόλυντον, τῆς σῆς πλευρᾶς τὸ αἷμα, μῦρον εἰργάσατο.

Ἀγάσα δεῦρο πλησίον μου, ψυχὴ τοῦ Δημητρίου προσφθέγγεται· Νυμφίος Κύριος· οἶκον τοῦ νάρδου εἰσέλθωμεν, καὶ τῆς ὀσμῆς τοῦ μύρου μου μεταλάβωμεν.

Καιρὰ Δημήτριε κράζει σοι, Νυμφίος ὁ Χριστὸς τὰ τελούμενα, ὁ χειμὼν λέλυται, δεῦρο τὸ ῥόδον ἐξήνθησεν. εἰς τὴν ὀσμὴν ὦ φίλος δράμε τῶν μύρων μου.

Ἐγώ φησιν ὁ ἐρώμενος, ἐγὼ Νυμφίε σπεύδω ὀπίσω σου. ὀσμὴ γὰρ μύρων σου, πάντων τῶν μύρων ὑπέρχεται. ἥτις ἡμῶν τὸ αἷμα, μῦρον εἰργάσατο. Θτ.

Θανάτῳ θάνατος λέλυται, ζωὴ ἀπὸ τοῦ τάφου ἀνέτειλε, τῷ ξένῳ τόκῳ σου, μόνων λυθέντων τῶν φύσεων. Μαρτύρων δὲ τὸ αἷμα, μῦρον γεγένηται.

Καταβασία.

Τὴν Θείαν ταύτην, καὶ πάντιμον.

Κοντάκιον, Ἰδιόμελον. Ἦχος β΄.

Τοῖς τῶν αἱμάτων σου ῥείθροις Δημήτριε, τὴν Ἐκκλησίαν Θεὸς ἐπορφύρωσεν, ὁ δοὺς σοι τὸ κράτος ἀήττητον, καὶ περιέπων τὴν Πόλιν σου ἄτρωτον. αὐτῆς γὰρ ὑπάρχεις τὸ στήριγμα.

Ὁ Οἶκος.

Τοῦτον τὸν μέγαν, πάντες συμφώνως οἱ πιστοὶ συνελθόντες, ὡς ὁπλίτην Χριστοῦ καὶ Μάρτυρα τιμήσωμεν. ἐν ᾠδαῖς καὶ ὕμνοις ἀναβοῶντες τῷ Δεσπότῃ, καὶ κτίστῃ τῆς Οἰκουμένης· ῥῦσαι ἡμᾶς τοῦ Σεισμοῦ τῆς ἀνάγκης Φιλάνθρωπε, πρεσβείαις τῆς Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων Μαρτύρων.

Digitized by Google

ρῶν. εἰς σὲ γὰρ ἐλπίζομεν, τοῦ ῥυσθῆναι κινδύνων καὶ θλίψεων. ὅτι σὺ ὑπάρχεις ἡμῶν τὸ στήριγμα.

Τῷ αὐτῷ Μηνὶ ΚϚʹ. Μνήμη τοῦ Ἁγίου καὶ ἐνδόξου Μεγαλομάρτυρος Δημητρίου, τοῦ Μυροβλύτου, καὶ Θαυματουργοῦ.

Στ. Δημήτριον νύττουσι λόγχαι Χριστέ μου.
Ζηλοῦντα πλευρᾶς λογχονύκτου σῆς πάθος.
Εἰκοστῇ μελίαι Δημήτριον ἕκτῃ ἀνεῖλον.

Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ, καὶ Μαξιμιανοῦ τῶν Βασιλέων, ἐκ τῆς Θεσσαλονικέων ὁρμώμενος Πόλεως, εὐσεβὴς ὢν ἄνωθεν, καὶ τῆς εἰς Χριστὸν Διδάσκαλος Πίστεως. ἐπιδημήσαντος δὲ τοῦ Μαξιμιανοῦ τῇ Θεσσαλονικέων, κατεσχέθη ὁ Ἅγιος ὡς τῇ εὐσεβείᾳ διαβόντος. σεμνυνομένου δὲ τοῦ Βασιλέως ἐπί τινι ἀνδρὶ Λυαίῳ τοὔνομα, καὶ προτρεπομένου τοὺς τῆς χώρας εἰσελθεῖν, καὶ διαγωνίσασθαι πρὸς αὐτόν· ἦν γὰρ ὁ Λυαῖος, μεγέθει σώματος καὶ ῥώμῃ τοὺς κατ' αὐτὸν ὑπερβάλλων· Νεανίας τις, τὴν Πίστιν Χριστιανὸς, τοὔνομα Νέστωρ, προσελθὼν τῷ Ἁγίῳ Δημητρίῳ ὄντι ἐν τῇ φρουρᾷ, ἔφη· δοῦλε τοῦ Θεοῦ, βούλομαι συμπλακῆναι τῷ Λυαίῳ, ἀλλὰ εὖξαι ὑπὲρ ἐμοῦ. ὁ δὲ τῷ σημείῳ τοῦ Σταυροῦ κατασφραγίσας τὸ μέτωπον αὐτοῦ, καὶ τὸν Λυαῖον φησὶ νικήσεις, καὶ ὑπὲρ Χριστοῦ μαρτυρήσεις. Τούτοις ὁ Νέστωρ τοῖς ῥήμασι θαρρήσας, ἀντέστη τῷ Λυαίῳ, καὶ τὴν ἀλαζονείαν αὐτοῦ κατέβαλεν, ἀποκτείνας αὐτόν. διὰ τοῦτο ὁ Βασιλεὺς αἰσχυνθεὶς, ἐπεὶ καὶ ἐρευνήσας τὸ πρᾶγμα ἔμαθεν, ἐν ᾧ ἐφυλάττετο τόπῳ, λόγχαις τὴν πλευρὰν διαπαρῆναι ἐκέλευσε τὸν Ἅγιον Δημήτριον πρῶτον, ὡς αἴτιον γενόμενον τῆς τοῦ Λυαίου σφαγῆς. καὶ τούτου γενομένου, ἀθέως ἀφῆκεν ὁ Ἅγιος τὴν ψυχὴν, πολλῶν θαυμάτων καὶ ἰάσεων παραδόξων μετὰ τὴν τελευτὴν γενόμενος ποιητής. εἶτα τοῦ Βασιλέως κελεύσει, καὶ ὁ Ἅγιος Νέστωρ ἀπετμήθη τὴν κεφαλήν.

Ἐκ τοῦ Μεταφραστοῦ.

Εἶχε μὲν τὰ τοῦ Μάρτυρος οὕτω, καὶ ὁ νεκρὸς αὐτοῦ κατὰ γῆν ἔρριπτο. μετὰ δὲ ταῦτα, τινὲς τῶν φιλοχρίστων τὸ τίμιον ἀνελόμενοι λείψανον, εὐλαβῶς περιστέλλουσι. εἶτα καὶ κόνιν περιβαλόντες ἐν αὐτῷ, εὐλαβῶς θάπτουσι καὶ θεοφιλῶς, εἷς δέ τις τῶν οἰκετῶν τοῦ Ἁγίου παρεστὼς αὐτῷ, ὅτε τὴν μακαρίαν σφαγὴν ὑφίστατο, καὶ ὡς οἷόν τε τὸ ἱερὸν ἐκεῖνο αἷμα εἰς τὸ θεῖον τοῦ Μάρτυρος ἀνελόμενος ἐπώμιον, ἀλλὰ καὶ ὃν ἐφόρει κατὰ χεῖρα δακτύλιον, τῷ μαρτυρικῷ αἵματι καὶ τοῦτον περιχρίσας, πολύτι χρῆμα τερατίων εἰργάζετο δι' αὐτοῦ, ὡς πλήρη γενέσθαι τῆς τοιαύτης φήμης τῶν τερατίων τὴν πόλιν Θεσσαλονικέων ἅπασαν. ὅθεν οὐδὲ εἰκὸς ἦν ταῦτα, οὔτε Μαξιμιανὸν λαθεῖν, οὔτε τὸν φθόνον ὑπενεγκεῖν, καὶ διὰ τοῦτο χειροῦται παραυτίκα ὁ θαυμάσιος οὗτος οἰκέτης, Λοῦπος τοὔνομα, καὶ ἀναιρεῖται. χρόνου δὲ παραρρέοντος, καὶ τῶν σημείων διατρεχόντων, Λεόντιός τις ἀνὴρ, τήν τε δόξαν λαμπρὸς, τήν τε πρὸς Χριστὸν πίστιν μάλα θερμὸς, νόσῳ βαρυτάτῃ κάτοχος γίνεται, ὡς τὸν θάνατον, χρήματι νομίζειν ἐπιεικῶς ποθεινότατον. καὶ ἐπεὶ ἰατροὶ μὲν φανερῶς ἡττῶντο, τὸ δὲ πάθος διὰ παντὸς ἤκμαζε, πρὸς τὸν θεῖον τοῦ Μάρτυρος καταφεύγει Ναόν. καὶ εὐθὺς ἅμα τῇ καταθέσει τοῦ νοσοῦντος, καὶ ἡ τοῦ Μάρτυρος διὰ τῶν ἐκείνου χειλέων ἀνάκλησις, καὶ ἡ τοῦ νοσήματος δυσχερὴς ἀπόθεσις ἠκολούθησεν. οὕτω ταχέως Λεόντιος τῆς θεραπείας τυχὼν, ταχεῖαν καὶ αὐτὸς ὡς εἶχε τὴν ἀμοιβὴν ἀποδίδωσι. καὶ τὸν μικρὸν οἰκίσκον, ὃς τὸ ἱερὸν εἶχε τοῦ Μάρτυρος σῶμα ἐπὶ βραχέως κομιδῇ καὶ στενοῦ τοῦ σχήματος ὄντα, τοῖς περιβόλοις τε τοῦ λουτροῦ καὶ τοῦ σταδίου ἀπηλλαγμένον, καταστρέψας αὐτὸς, Ναὸν ἐν τῷ ἄστει Θεσσαλονίκης ἐξ αὐτῶν ἐδείματο τῶν κρηπίδων. ὃς καὶ νῦν ὁρᾶται μέσον τοῦ σταδίου καὶ τοῦ δημοσίου λουτροῦ κάλλιστα διῃρημένος. μέλλων δὲ ὁ φιλευσεβὴς οὗτος ἀνὴρ καὶ πρὸς τὸ Ἰλλυρικὸν ἀπιέναι, ἔνθα καὶ τὴν τοῦ Ἐπάρχου ἀξίαν διέπε καὶ τιμᾷ τῶν μερῶν τοῦ Ἱεροῦ σώματος λαβεῖν βουληθεὶς, ὥστε κἀκεῖσε Ναὸν τῷ εὐκλεεῖ Μάρ-



Digitized by Google

τυρι ἀφεγεῖραι, οὐκ ἔσχε συνδοκοῦντα τὸν Ἅγιον. ἀλλὰ νυκτεριναῖς αὐτὸν ἐπιφανείαις εἴργει τοῦ ἐγχειρήματος. διὰ ταῦτα καὶ τὸν δεύτερον ἔρχεται πλοῦν, ὃ λέγεται; τὴν χλαμύδα τοῦ Μάρτυρος σεπτοῖς αἵμασι τοῖς ἐκείνου πεφοινιγμένην, καὶ τι τοῦ ἐπωμίου λαβὼν, ὃ συνήθες Ὠράριον ὀνομάζειν, καὶ κιβωτῷ τιμίᾳ τὰ ἀληθῶς τίμια καταθέμενος, οὕτω τῷ Μάρτυρι μὲν τὸν πόθον ἀφοσιοῖ, ἑαυτῷ δὲ τὴν μεγίςην περιποιεῖται ἀσφάλειαν. ἀμέλει καὶ τὴν ἐπὶ τὸ Σύρμιον, ὥρᾳ χειμῶνος διαβαίνειν μέλλων, ἤδη παρὰ ταῖς ὄχθαις τοῦ Ἴςρου γενόμενος, ἐπεὶ μέγα τὸ ῥεῖθρον ἐξαῖρον ἦν, ἐν ἀθυμίαις ἦν ὁ ἀνήρ. ἐπιφανεὶς οὖν ὁ Θεῖος Δημήτριος, πᾶσαν ἀθυμίαν, ἔφη, πόῤῥω θέμενος τῆς ψυχῆς, ὃ ἐπιφέρεις κατὰ χεῖρας ἔχων, διάβηθι τὸν ποταμὸν ἀδιςάκτως. πείθεται τῷ φανέντι ὁ Ἔπαρχος. καὶ ἔσωθεν τοῦ ὀχήματος ἐπιβὰς, ἐχώρει διὰ τοῦ ῥείθρου, κατὰ χεῖρας τὴν σορὸν ἔχων, ἡσυχῆ τοῦ ῥεύματος ὑποχωροῦντος αὐτῷ. οὕτως οὖν ἀβλαβὴς διελθὼν, καὶ πρὸς τῷ Συρμίῳ γενόμενος, τὴν Ἱερὰν ἐκείνην σορὸν μετὰ τοῦ ἐν αὐτῇ θησαυροῦ τῷ παρ' αὐτοῦ καινουργηθέντι Ναῷ τῷ μάρτυρι δίδωσι. πολλῶν δὲ θαυμάτων δηλαδὴ καὶ ἰάσεων καὶ παρ' αὐτὴν γε τὴν ὁδὸν, πλεῖςοι τῆς ἁγιαςικῆς ἐκείνης φερομένης χλαμύδος ἀπήλαυσαν.

Καὶ Μαξιμιανὸν τὸν Ἔπαρχον τῶν Ἰλλυρικῶν ἕλκει πονηρῷ βληθέντι, ἀπὸ κεφαλῆς ἕως ποδῶν, ἀπειρηκότων καὶ τῶν ἰατρῶν, ταύτης τῆς νόσου ἀπήλλαξεν, ἐλθόντα πρὸς τὸν τοῦ Ἁγίου Ναὸν, καθὼς ὁ Ἅγιος αὐτῷ ἐνετείλατο. Καὶ ἕτερον ἄνθρωπον τῷ τῆς αἱμοῤῥοίας πάθει κατεσχημένον, παραδόξως ἰάσατο. καὶ ἄλλον δαιμονιῶντα. καὶ τὴν μεγαλόπολιν Θεσσαλονίκην ὑπὸ τῶν Βαρβάρων πολιορκουμένην ἐῤῥύσατο.

Καὶ τὸν Ἐπίσκοπον Ἄφρων, οὓς Ἕλληνες Φοινίκης ἀποίκους ἀναγράφουσιν, αἰχμαλωσίας τῆς ἀπὸ τῶν Βαρβάρων ἐλυτρώσατο. τούτῳ ἐπιφανεὶς, καὶ τῶν περικειμένων αὐτῷ δεσμῶν λύσας αὐτὸν, καὶ μέχρι Θεσσαλονίκης αὐτὸν ὁδηγήσας. τοῦ δὲ Ἐπισκόπου εἰς Ἀφρικὴν παραγενομένου, καὶ Ναὸν τῷ Μεγαλομάρτυρι δειμαμένου Δημητρίῳ, καὶ περὶ κιβωτίου καὶ ἄμβωνος διαπονουμένου, ὁ Ἅγιος οὐκ ἠμέλησεν, ἀλλά γε τῷ Ἐπισκόπῳ κατ' ὄναρ φανεὶς, τῷ νυνὶ πλοίῳ τῷ λιμένι προσχὼν, φησὶν, ὅσα σοι διὰ φροντίδος τῶν μαρμάρων ἐςὶν ἐπιφέρεται. κἀκ τούτων βουλομένῳ τὰ τῆς χρείας προσπορισθήσεται. τῷ δὲ Ἐπισκόπῳ ἐντυχόντι τῷ Ναυκλήρῳ, καὶ τοῦ σκοποῦ ἀποτυχόντι, πάλιν ὁ Ἅγιος αὐτῷ ἐμφανίζεται, καὶ φησὶ, τοῦ πλοίου τῇ πρώρᾳ ἐναποκεῖσθαι τὰ μάρμαρα, ἕκαςον ἐξονομάσας, ὡς εἶχεν εἴδους καὶ σχήματος. ἐπ' ὀνόματι δὲ τοῦ ἀδελφοῦ, καὶ συμμάρτυρος Βίκτωρος ὠνηθῆναι· αὐτῷ δ' ἐκεῖνον ταῦτα δωρήσασθαι νῦν, ὡς κατὰ τὴν Βασιλίδα τῆς τούτων χρείας εὑρεθείσης ἐκείνῳ καὶ πληρωθείσης, ἀφεῖπεν τε ταῦτα τῷ τῆς νεὼς ἀφηγουμένῳ σαφῶς, οὕτω τε πεῖσαι, καὶ λήψεσθαι. ὃ δὴ καὶ γέγονε.

Τῇ δὲ Πόλει Θεσσαλονίκῃ ἔλυσε καὶ λιμὸν, καὶ λοιμὸν, τοῖς λιμέσιν ἐπιφοιτῶν, καὶ τοῖς ναυτικοῖς ἐμφανιζόμενος, καταίρειν ὡς τάχιςα παρὰ ταύτην κατεπισκήπτων. πρὸς τοῦτο καὶ ὀφθαλμοφανῶς δηλαδὴ καθορώμενος, καὶ ἐπὶ πολὺ προπορευόμενος τῶν νηῶν, καὶ πεζεύων τὸ πέλαγος.

Τοῦ δὲ ἀοιδίμου Βασιλέως Ἰουςινιανοῦ, τοῦ ἐπ' ὀνόματι τῆς ἐνυποςάτου τοῦ Θεοῦ Λόγου Σοφίας οἰκοδομήσαντος τὸ θεουργὸν καὶ ἀμώμητον ἔργον, καὶ τὰ ἀπ' αἰῶνος ἅπαντα ἐκεῖσε ἀποκρύψαι ζητοῦντος, μέρος τι τῶν λειψάνων τοῦ Ἁγίου μεγαλομάρτυρος Δημητρίου αὐτῷ μετακομισθῆναι βουληθέντος, καὶ τῶν παρ' αὐτοῦ ἀποςαλέντων τεχνιτῶν τοῦ ἔργου ἐχομένων, καὶ τῇ μαρτυρικῇ καὶ θεοτιμήτῳ σορῷ τοῦ Μάρτυρος ἐγγισάντων, πῦρ ἄθροον φωτοβολοῦν παρὰ τὴν τιμίαν καθωράθη σορόν. καὶ φλὸξ ἔκαθεν ἐξαλλομένη, κατὰ ςόμα τούτοις προσυπαντᾷ, περαιτέρω προβῆναι ἐξείργουσα. φωνή τε

οὐκ

Digitized by Google

ἐκ τοῦ πυρὸς, τὸ ἐξαίσιον καὶ τεραστικὸν διηγηθεῖσα τρανῶς, ἔφη· παύσασθε περαιτέρω πειράζοντες. ἀφ' ὧν ἄρδην καταπλαγέντες, τῷ ἐδάφει τὰς ὄψεις κατέμιξαν. χοῦν δὲ μόνον ἐκεῖθεν λαβόντες, ἀπῆλθον. οὗ τὸ μὲν ἥμισυ τῷ Ἱερῷ ἐθησαύρισαν Σκευοφυλακίῳ, τὸ δὲ ἕτερον ἥμισυ τῷ Βασιλεῖ εἰς ἁγιασμὸν ἐξαπέστειλαν, τὰ συμβεβηκότα καὶ εἰρημένα σημάναντες.

Ὁ ἀεὶ δὲ βασκαίνων τοῖς ἀγαθοῖς Διάβολος, πειρᾶται ποτὲ τῶν καιρῶν, τὴν μεγαλόπολιν Θεσσαλονίκην ἐχθροῖς παραδοῦναι, τρόπῳ τοιῷδε. ἐμπρησμὸν κατασκευάζει τοῦ κιβωτίου ἐν αὐτῷ τῷ Ναῷ. ἐν ὅσῳ δὲ ὁ ἐμπρησμὸς ἐνηργεῖτο, φθάνει καὶ τὸ τῶν Σθλαβίνων ὠμότατον ἔθνος. καὶ πρὸ ὀλίγων σταδίων τῆς πόλεως λάθρα κατεστρατοπέδευσε, τοῦ πονηροῦ Σατᾶν τοῦτο προκινήσαντος. τοῦ δὲ λαοῦ συναθροισθέντος, καὶ συναγομένου ἐπὶ τῷ ἐμπρησμῷ, δείσας ὁ τὴν φροντίδα τῶν ἱερῶν ποιούμενος τοῦ Ναοῦ, μὴ ὁ ἄργυρος τοῦ κιβωτίου, ὃς ἦν διατακεὶς τῷ πυρὶ, καὶ τῷ ἐδάφει ἐπιλικμάζων, τῷ ὄχλῳ παραπόλλυται. ὦ φίλοι τε καὶ ἀγχιστεῖς, ἐξεβόησεν, ἐπὶ τὸ τεῖχος πολέμιοι, καὶ ἤδη τοῦ ἀπορύττειν ἀπάρχονται. διασκεδάσαι τῷ λόγῳ τὸ πλῆθος ἐκμηχανώμενος, ὥς τε περισῶσαι τὸν ἄργυρον. τὸ δὲ ἦν ἄρα τοῦ Ἁγίου ἐπίπνοια. πιστῷ γοῦν ὄντι πιστεύσαντες τῷ ἀνδρὶ, καὶ παραυτίκα τοῖς τείχεσι προσφοιτήσαντες ἅπαντες, εὗρον τοὺς πολεμίους τὰς ἑλεπόλεις ἤδη τοῖς τείχεσι προσερείδοντας. ἀλλὰ καὶ αὐτοὺς ἤδη τοῦ πυρὸς οὐχ ἧττον κατὰ τῆς πόλεως τρέχοντας ἀπεσόβησαν, εἰς συμμαχίαν τὸν Ἅγιον προσκαλούμενοι. Μετὰ δὲ ταῦτα καὶ τοῦ πυρὸς σβεσθέντος, ὁ Ἱεροφύλαξ πᾶσι διεφανέρωσε τὸ θαῦμα τοῦτο, λέγων· ὡς οὐκ εἰδήσει τῆς τῶν πολεμίων ἐφόδου, περιποιήσει δὲ τοῦ Ἁγίου, διὰ τὸ τὸν ἄργυρον μὴ διασκεδασθῆναι ὑπὸ τοῦ λαοῦ, σοφιζόμενος τοῦτο ἀνεῖπεν. ἐξ οὗ δὴ πάρεστι σαφῶς τοῖς ὀρθῶς κρίνειν ἐπισταμένοις, καὶ συνιέναι θείας οἰκονομίας, ὡς προμηθείᾳ τοῦ Ἁγίου, τῇ τοῦ ἐχθροῦ κεφαλῇ περιέτρεπον τὰς αὐτοῦ μηχανὰς, κακῷ τὸ κακὸν ἐξιάθη. καὶ διὰ μὲν τῆς πυρκαϊᾶς τὸν λαὸν διεγείραντος. διὰ δὲ τῆς τοῦ πυρὸς ἀποσβέσεως τοῦτον ἀθροίσαντος. διὰ δὲ τῆς ἐμπνευσθείσης τῷ Ἱεροφύλακι σωτηριώδους φωνῆς, τῆς τοῦ ἔθνους μηνύσεως, τὸ τεῖχος καὶ τὴν Πόλιν σοφῶς ἄγαν καὶ συμπαθῶς διασώσαντος.

Ἰλλούστριος δέ τις, κατὰ τὴν Ἑλλάδα φωνὴν πρωτοσπαθάριος, τῷ τοῦ Ἁγίου προσεδρεύων Ναῷ, ἐργάτης τῆς ἀρετῆς ἐγνωρίζετο. οὗτος ἔφη, κατὰ τὸν καιρὸν τοῦ ἐπὶ Μαυρικίου Βασιλέως τῶν Ἀβάρων πολέμου, τεθεᾶσθαι δύω ἄνδρας, εἴδει καὶ μεγέθει διαπρεπεῖς, καὶ οἵους ἐν προσώπῳ Βασιλέως τιμᾶσθαι καὶ παρίστασθαι, ἐπεισιόντας μὲν τοῦ Νεὼ ἔξωθεν. πρὸς δὲ τὸ λεγόμενον τρίβολον διαγενομένους. ἀρχὴ δὲ τοῦτο τῆς πρὸς τὸν Ναὸν εἰσόδου, καὶ μεθόριον τῶν πρὸς ἑσπέραν αὐτοῦ Θετταλῶν μεγάλων δύω κιόνων, εἰπεῖν τῷ ὑπηρέτῃ ἀναγαγεῖν αὐτοὺς τῷ Κυρίῳ τοῦ οἴκου. τούτου δὲ τῇ εἰσόδῳ τοῦ Ἱεροῦ κιβωτίου προσπελάσαντος, θᾶττον αὐτοῖς διᾶραι τὰς θύρας τὸν Ἅγιον, προσαπαντῆσαί τε, καὶ προσερεῖν, ὡς τιμὰς συνήθεις καὶ παρὰ τοῦ Βασιλέως ἥκοντας, διατίθεσθαί τι τοῦ Βασιλέως τὸ βούλημα. τοὺς δ' ἀντειπεῖν, κελεῦσαι τὸν Βασιλέα τῇ σῇ ἁγιωσύνῃ προλιπεῖν τὴν Πόλιν, καὶ πρὸς αὐτὸν ἀφικέσθαι, ὡς τοῖς ἐχθροῖς ἤδη διαφειμένην. καὶ ὡς ταῦτα ἀκηκοότα ἐπιδακρῦσαι τῷ λόγῳ, τὴν κεφαλὴν ἐπικλίναντα. καὶ ἀφωνίᾳ συσχεθέντα πολλῇ καὶ μακρᾷ, τὸ βάρος τῆς λύπης τῶν ἠκουσμένων, τῷ τοιῷδε σχήματι ἐνδεικνύμενον. οἷς δὴ καὶ τὸν ὑπηρέτην ἀναθέντα εἰπεῖν· εἰ ᾔδειν ἀδελφοὶ τοσοῦτον ὂν τῆς ὑμῶν παρουσίας τὸ ἀηδὲς, οὐκ ἂν ὑμᾶς τῷ Κυρίῳ μου κατεμήνυσα. καὶ πρὸς τούτοις, ὀψὲ καὶ μόνον ἐρέσθαι τὸν Ἅγιον. ὄντως οὕτως ἤρεσεν, οὕτως ἔδοξε τῷ Κυρίῳ καὶ Δεσπότῃ πάντων, τηλικαύτην Πόλιν ἣν τῷ ἰδίῳ ἐξηγοράσατο Αἵματι, διαφεῖναι τοῖς αὐτὸν μὴ ἐπιγινώσκουσιν.

οὕτω

Digitized by Google

οὕτω δὲ τούτων καταφοιτησάντων τὸν συμπαθέστατον ἀνθυπενεγκεῖν Μάρτυρα. καὶ τὴν ἀπόκρισιν τῷ Δεσπότῃ πάντων κατεπισκέψαι προσενεγκεῖν, ἔχουσαν οὕτως. οἶδα τοὺς οἰκτιρμούς σου φιλάνθρωπε Κύριε, νικῶντας ἀεὶ τὴν σὴν ἀγανάκτησιν, ἣν αἱ ἁμαρτίαι ἡμῶν ὑπανάπτουσιν. οἶδά σε τὴν ψυχὴν ὑπὲρ τῶν ἁμαρτωλῶν τεθεικότα, καὶ τὸ ἴδιον Αἷμα ὑπὲρ τούτων ἐκχέαντα, καὶ μηδαμοῦ τὴν εὐδοκίαν σου ταύτην παρεμποδισθῆναι ταῖς ἁμαρτίαις ἡμῶν. καὶ ἐπεὶ κἀμὲ τῆς δὲ τῆς Πόλεως κατέστησας φύλακα, σὲ τὸν Δεσπότην μιμήσομαι, τὴν ψυχήν μου ὑπὲρ τούτων θήσομαι, καὶ ἀπολλυμένοις, ἀπολεσθήσομαι. τὸ ὄνομά σου γὰρ ἐπικέκληται, καὶ σοῦ οὐκ ἀπέστησαν, κἂν ἥμαρτον. καὶ αὐτὸς Θεὸς εἶ τῶν μετανοούντων. Πρὸς ταῦτα τοὺς ἄνδρας εἰπεῖν· ταῦτα ἐροῦμεν τῷ πέμψαντι, ταῦτα ἀπαγγελοῦμεν τῷ Βασιλεῖ, δέος μὴ λυπηθῇ ἐπὶ σέ. τὸν δὲ ταῦτα ἐρεῖν, καὶ αὖθις εἰπεῖν, καὶ τῷ κοιμητηρίῳ παλιννοστῆσαι, τό θ' ἱερὸν ἀποκλεῖσαι κιβώτιον, ἔμπροσθεν τῶν ἀγγελιαφόρων, ἤδη ἐπαπιόντων τοῖς λόγοις. ταῦτα ὁ Ἱερὸς Ἰλλούστριος ἐν ἐκστάσει ὁρᾶν τρανῶς καὶ ἀκούειν, ἢ δι' ὁράματος ἀναφανδὸν διετείνετο, καὶ ἅμα λέγων, ἀπῄει παραθαρρύνων τὸ ἐγκατάλειμμα τῆς Πόλεως, κατεπτηχὸς ἤδη καὶ ἀδρανὲς ὄν, καὶ προνυγησαμένῳ λοιμώδει νοσήματι, τῇ τοῦ ἔθνους ἐφόδῳ, ἄτονον πάντῃ καὶ ἐν ἀμηχανίᾳ καθήμενον, ἐπείθετε λέγων μετ' αὐτῶν εἶναι τὸν Ἅγιον, καὶ τῇ αὐτοῦ πρεσβείᾳ διασωθῆναι ἐπληροφόρει. καθὰ δὴ καὶ ἡ τῶν πραγμάτων ἔκβασις πεποίηκεν ὕστερον. Τοῦ δὲ νεωκόρου Ὀνησιφόρου, τοῦ ἐν τῇ ἁγίᾳ σορῷ προσεδρεύοντος, καὶ περὶ τὰς τῶν λύχνων καὶ λαμπάδων ἀφὰς πονουμένου, καὶ κακουργοῦντος περὶ ταῦτα, καὶ τοὺς κηροὺς καὶ λαμπάδας ἀποκλέπτοντος, καὶ τοῦτο ἐπὶ πλεῖστον ποιοῦντος, οὐκ εἴασε τὴν φρενοβλαβῆ καὶ ἐπόλεθρον προαίρεσιν ἀνιάτευτον, ἀλλ' ὄναρ αὐτῷ ἐπιστάς, διελέγχει, καὶ ὑφηγεῖται τὸ πρακτέον φιλανθρωπότερον. ἔφη γάρ, ἀδελφὲ Ὀνησιφόρε, οὐκ ἀρέσκει μοι τὸ δρώμενον ὑπὸ σοῦ ἐπὶ ταῖς λαμπάσιν. ἴσθι γάρ, τοῦτο ποιῶν, ὡς καὶ τοὺς προσφέροντας τὰ μέγιστα ζημιοῖς, καὶ σεαυτὸν εἰς τὸ τῆς ἀπωλείας βάραθρον ἐξωθεῖς. ἐπὶ πολὺ γὰρ τῶν λαμπάδων ἡμμένων, ἐπὶ πλέον ἱλεοῦται καὶ τὸ θεῖον τῷ προσάγοντι. θᾶττον δὲ ἀφαιρουμένων, ὑποτέμνεται μὲν ἐκείνου τὸν ἔλεον τὸ πρᾶγμα. ὑπαυξάνει δὲ τὸ κατάκριμα τοῦ ὑφελομένου. τούτοις ὁ Ὀνησιφόρος μικρὸν ἐπισχών, αὖθις τῷ ἡμέρῳ τοῦ ὁράματος χαυνωθείς, εἰς ἤθη ἐπάνεισι τὰ αὐτοῦ, ἀδεῶς τολμῶν τὰ συνήθη. καὶ ποτέ τις τῶν ἀσεβῶν βαθείας νυκτὸς ἐπιστάς, κηροὺς προσήγαγεν εὐμεγέθεις καὶ διαφανεῖς. τούτοις ἀλοὺς ὁ Ὀνησιφόρος, προσῆλθεν ἅμα τῷ ὀφθῆναι προσαφελέσθαι, μεταβάντος ἤδη τοῦ δεξαμένου. ἀλλ' ὅρα μοι τοῦ Ἁγίου προμηθές. ἅμα τῷ τὴν χεῖρα ἁπλῶσαι πρὸς τοὺς κηρούς, φωνὴν ἐμβριθῆ ὁ Ἅγιος ἀπὸ τῆς ὑποκειμένης ἀναπέμψας σοροῦ ἔφη. πάλιν τὰ αὐτά; ταύτῃ βληθεὶς ὁ Ὀνησιφόρος, ἐπὶ τὸ ἔδαφος κατηνέχθη πτῶμα δεινόν, ἐμβροντηθεὶς τῷ δέει καὶ τῇ βολῇ τῆς φωνῆς, ἕως τις τῶν τοῦ Κλήρου καὶ συνήθων παρελθών, ἀνέστησε τοῦ πτώματος, καὶ τῆς ἐκστάσεως ἐπανήγαγεν. αὐτὸς δὲ εἰς ἑαυτὸν ἐλθών, ἐξωμολογεῖτο ἐπὶ πάντων τῆς τε ἰδίας ἀφροσύνης τὸ τόλμημα, καὶ τὴν τοῦ Ἁγίου περὶ αὐτὸν κηδεμονίαν τὸ πρότερον, καὶ παιδείαν μετὰ φιλανθρωπίας τὸ δεύτερον, ὡς μὴ μόνον αὐτόν, ἀλλὰ καὶ ἑτέρους ὠφεληθῆναι τῷ θαύματι.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Μάρτυρες Ἀρτεμίδωρος, καὶ Βασίλειος ξίφει τελειοῦνται.

Στίχος. Ἀρτεμίδωρος ὢ τέλους ψῆφος ξίφος,
Σὺν ἆθλον Βασίλειον εἶχε πρὸς ξίφος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Μάρτυς Λεπτίνα κατὰ γῆς συρομένη τελειοῦται.

Στ. Ἐν γῇ συρεῖσα χερσὶ δυσσεβοφόρων.
Ἀφῆκεν εἰς γῆν Λεπτίνα σαρκὸς πάχος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Γλύκων ξίφει τελειοῦται.

Στίχ.

Digitized by Google

Στ. Ξίφει προτείνας μάρτυς αὐχένα Γλύκων,
Σπονδὴν γλυκεῖαν αἷμά σου Χριστῷ χέεις.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ μεγάλου καὶ φρικώδους Σεισμοῦ.

Στ. Ἔσεισας, ἀλλ᾽ ἔσωσας αὖθις γῆν Λόγε.
Τῆς σῆς γὰρ ὀργῆς οἶκτος ἐστὶ τὸ πλέον.

Τῷ εἰκοστῷ τετάρτῳ ἔτει τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου, Ἰνδικτιῶνος ἐννάτης, εἰκοστῇ ἕκτῃ μηνὸς Ὀκτωβρίου, ἐγένετο Σεισμὸς μέγας καὶ φοβερὸς ἐν Κωνσταντινουπόλει, ὥστε τὰ ὑπερῷα, καὶ τῶν ἄλλων ὡραιότερα οἰκήματα καταπεσεῖν, καὶ πολλοὺς συγκαταθῆναι τοῖς καταπεσοῦσι. διὸ καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ τοῦ Μεγαλομάρτυρος Δημητρίου ποιούμεθα καὶ τὴν μνήμην τῆς φοβερᾶς ἐκείνης ἀπειλῆς τοῦ Σεισμοῦ, ἀπερχόμενοι μετὰ Λιτῆς εἰς τὸν ἐν Βλαχέρναις Ναὸν τῆς Παναγνοῦ, καὶ ἁγίας ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας, ἐκτελοῦντες ἐν αὐτῷ καὶ τὴν θείαν Μυσταγωγίαν. Ἧς ταῖς πρεσβείαις ῥυσθείημεν ἀπὸ πάσης ἀπειλῆς, καὶ τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

„Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο, Ἄγγελος τοῖς Ὁσίοις Παισί. τοὺς Χαλδαίους δὲ, καταφλέγον πρόσταγμα Θεοῦ, τὸν Τύραννον ἔπεισε βοᾶν, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὑπερύμνητος εἶ Κύριε μακρόθυμε, ὅτι οὐκ ἐθανάτωσας τοὺς οἰκέτας σου, σπαραγμῷ καὶ κλόνῳ φοβερῷ, τῆς γῆς ἀλλ᾽ ἐφόβισας ζητῶν, τοῦ ἐπιστρέψαι τῶν κακῶν, καὶ ζῆσαι πάντας ἡμᾶς.

Στεναγμὸν ἀπὸ καρδίας ἀναπέμψωμεν, καὶ δάκρυα προχέωμεν, ὅπως ἵλεων τὸν Δεσπότην ἕξωμεν Χριστὸν, ἐκτρῖψαι Σεισμῷ πάντας ἡμᾶς, διὰ πλῆθος ἁμαρτιῶν, ἐπαπειλοῦντα δεινῶς.

Οἴμοι κράξωμεν καὶ χεῖρας ἐκπετάσωμεν, πρὸς τὸν Θεὸν τὸν ὕψιστον, καὶ παυσώμεθα, τοῦ λοιποῦ ποιεῖν τὸ πονηρόν. ἰδοὺ ὁ Σωτὴρ ἀγανακτῶν, σαλεύει ἅπασαν τὴν γῆν, στηρίξαι θέλων ἡμᾶς.

Θεοτοκίον.

Νεῦσον ἄχραντε σωθῆναι τοὺς οἰκέτας σου, ἀπολεσθῆναι μέλλοντας, ἐν ὀργῇ Θεοῦ, καὶ θυμῷ μεγάλῳ καὶ φρικτῷ, τῆς νῦν ἐπελθούσης ἀπειλῆς, διὰ τὸ πλῆθος τῶν πολλῶν ἁμαρτημάτων ἡμῶν.

Ἄλλος. Ἐν τῇ καμίνῳ.

Λελαμπρυσμένος, τῇ θείᾳ δόξῃ καὶ τῇ χάριτι, Μάρτυς ἀθλοφόρε λάμπεις φωτοειδῶς, καὶ φωτίζεις τοὺς κραυγάζοντας. εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Ὡς πορφυρίδι, κεκοσμημένος τῷ σῷ αἵματι, ἔχων ἀντὶ σκήπτρου ἔνδοξε τὸν Σταυρὸν, τῷ Χριστῷ συμβασιλεύεις νῦν, Μάρτυς Δημήτριε, εἰς αἰῶνας βασιλείαν τὴν μὴ διαπίπτουσαν. Θεοτ.

Δεδοξασμένη πεφωτισμένη Μητροπάρθενε, πάντας τοὺς τιμῶντάς σε τὴν παναληθῆ, Θεοτόκον περιφρούρησον. εὐλογημένη σὺ ἐν γυναιξὶ, πανάμωμε Δέσποινα. Ἄλλος. Οὐκ ἐλάτρευσαν.

Ἱερούργησας τὸ αἷμά σου Δημήτριε, σπείρας πανάριστε, τῷ Βασιλεῖ τοῦ παντός. πλευρὰν δὲ λελόγχευσαι, τοῦτον μιμούμενος. ὅθεν δίδωσι, τὴν ἀμοιβὴν κατάλληλον, μῦρον ἄλλοις δεδειχώς σε.

Σεσωμάτωται τὸ μῦρον τὸ οὐράνιον, Χριστὸς ὁ Κύριος, διὰ φιλίαν βροτῶν, αὐτὸν δὲ Δημήτριος, φιλήσας ἄριστα. Χριστὸς γίνεται, μύρῳ καινῷ χρισάμενος, καὶ σαρκὸς ἐκβλύζει μύρα.

Μύρῳ χρίσας με Χριστὸς ἀγαλλιάσεως, δουλείας ἔλυσε, καὶ τυραννίδος πικρᾶς. ἀλλ᾽ αὖθις δεδούλωμαι, αἰσχίσταις πράξεσιν· ἐλευθέρωσον, αἰσχρᾶς δουλείας ἄριστε, σὺ τῷ μύρῳ καταχρίσας. Θεοτ.

Ἐκλεξάμενος, Νυμφίος ὁ ὡραῖός σου, Παρθένε Δέσποινα, τῶν γηγενῶν ἐκ φυλῆς, λαμπρῶς παρεστήσατο, ἐκ δεξιῶν αὐτοῦ. δεῦρο Νύμφη μου, ἀπὸ Λιβάνου λέγων σοι, δεῦρο Νύμφη μου καὶ Μῆτερ.

Κα-

Digitized by Google

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ η'. Ὁ Εἱρμός.

„Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγα-
„σας, καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας·
„ἅπαντα γὰρ δρᾷς Χριστὲ μόνῳ τῷ βούλε-
„σθαι, σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς
„αἰῶνας.

Τῆς δικαίας σου ταύτης ὀργῆς φιλάνθρωπε, ἐπελθούσης ἀθρόως συνεταράχθημεν, καὶ ἀπελπισμῷ παντελεῖ συνεσχέθημεν, προσαγανακτοῦντος, Οἰκτίρμων καθ' ἡμῶν σου.

Ἀνατείνωμεν χεῖρας πιστοὶ καὶ ὄμματα, πρὸς τὸν μόνον Δεσπότην σώζειν δυνάμενον, κράζοντες Χριστέ, τὸν θυμόν σου ἀπόστρεψον, ἀφ' ἡμῶν ταχέως, φιλάνθρωπος ὑπάρχων.

Χιλιάδες Ἀγγέλων Μαρτύρων σύλλογος, Προφητῶν Ἀποστόλων Ὁσίων Ἱεραρχῶν, Ἅγιος χορός, ἱκετεύει σε Δέσποτα. φεῖσαι τοῦ λαοῦ σου τοῦ τεταπεινωμένου.

Ὁ γινώσκων οἰκτίρμων τὸ ἀσθενὲς ἡμῶν, καὶ εὐόλισθον πάντα καὶ ἀδιόρθωτον, ἄνες τὴν ὀργήν, καὶ τὸν τάραχον κόπασον, καὶ τῷ σῷ ἐλέει, οἰκτείρησον τὸν Κόσμον.

Θεοτοκίον.

Συμπαθὴς Θεοτόκε τὸν εὐσυμπάθητον, ἡ τεκοῦσα Σωτῆρα ἴδε τὴν κάκωσιν, καὶ τὸν στεναγμὸν τοῦ λαοῦ σου καὶ τάχιον, τοῦ παρακαλέσαι ἡμᾶς οἰκτειρηθῆναι.

Ἄλλος. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ἠμαύρωσας πᾶσαν τοῦ ἐχθροῦ, μανίαν ἔνδοξε, καὶ τὰ παλαίσματα, τὴν ἀκαθαίρετον δύναμιν, τοῦ Χριστοῦ περιζωσάμενος, καὶ νικηφόρος γεγονὼς Μάρτυς Δημήτριε, ἀνεβόας· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Μαρτύρων εὐστάθειαν δεικνύς, Μαρτύρων εὔκλειαν, Μάρτυς Δημήτριε, λουτρὸν λουσάμενος ἅγιον, ὃ δευτέραις οὐ μολύνεται, ἁμαρτημάτων προσβολαῖς, λόγχῃ νυττόμενος, καὶ κραυγάζων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἡ τῶν θαυμασίων σου πληθύς, ἡ ὑπὲρ νοῦν δωρεῶν, ἣν σοι παρέσχε Χριστός, τοῖς πᾶσιν ἔνδοξε δείκνυσι. ἡ χάρις τῶν ἰάσεων, τὴν ὑπὲρ λόγον σοι σαφῶς χάριν κηρύττει ἡμῖν, τοῖς βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον. Θεοτοκ.

Τὴν μόνην ἐν πάσαις γενεαῖς, Παρθενομήτορα, καὶ Θεοτόκον Ἁγνήν, ὑμνολογήσωμεν. αὕτη γάρ, σωτηρίας ἡμῖν πρόξενος, ὡς τὸν τοῦ Κόσμου λυτρωτήν, Λόγον γεννήσασα, ᾧ βοῶμεν· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἄλλος. Παῖδας εὐαγεῖς.

Ὑψώσας Χριστὸν ἐν Ἐκκλησίᾳ, ἀλήθειάν σου ὁ λάρυγξ ἐμελέτησε. στόμα σὸν λελάληκε, σοφίας τὰ ῥήματα, τῶν ἀρωμάτων ὤφθησαν αἱ σιαγόνες σου, φιάλαι. διὰ τοῦτο Χριστός σε, μύρου θείου κρήνην, ἀνέδειξε τῷ Κόσμῳ.

Τὰ ῥημάτων ἰσχύι σου Στεφηφόρε, ὡς βέλη τοῦ δυνατοῦ ὁ σὸς ἀντίπαλος, φρίττων ἀνὰ χεῖράς σου, πόρρωθεν στρεφόμενα, σοῦ τὴν πλευρὰν ἀνώρυξε, μυρίῳ δόρατι. ἣ μύρων ἀναδοῦσα θαλάσσας, ὡς τοὺς Αἰγυπτίους, αὐτὸν καταβαπτίζει.

Ὁ μέγας φρουρὸς Θεσσαλονίκης, ὁ ῥύστης ἐν τοῖς κινδύνοις ὁ ἐξαίρετος. πρόμαχος ὁ κράτιστος, πάσης Ἐκκλησίας τε, οἷα πατὴρ φιλόστοργος, τοῖς τέκνοις δίδωσι, θηλὴν αὐξητικὴν ψυχοτρόφον, τὴν πλευρὰν ὡς γάλα, τὸ μύρον χορηγοῦσαν.

Νόσων καὶ δεινῶν ἀρρωστημάτων, δαιμόνων ἐπιβουλῆς τε σὺ διέσωσας, μέγιστε Δημήτριε, μύρου ταῖς ἀρδείαις σου, τὴν πατρικὴν οἰκίαν μοι, ἥνπερ ἐφίλησας, τιμῶν τὴν ἀρετὴν τῶν τεκόντων, οἷς ἡμᾶς συνάπτρις, ὑμνοῦντάς σου τὴν χάριν.

Θεοτοκίον.

Ὄλβον σε κοινὸν ὦ Θεοτόκε, καὶ δόξαν οἱ σὲ τιμῶντες πάντες ἔχοντες, πίστει σοι προστρέχομεν, πόθῳ σου δεόμεθα, τῆς ἀδοξίας λυτρῶσαι, τῆς ἐν τῷ μέλλοντι τρυφῆς τῆς αἰωνίου καὶ δόξης, ἐν σκηναῖς Δικαίων, ἡμᾶς καταξιοῦσα.

Καταβασία. Παῖδας εὐαγεῖς.



Digitized by Google

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„ Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ
„ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγ-
„ ματα. διὰ σοῦ δὲ Πάναγνε ὡράθη βρο-
„ τοῖς, Λόγος σεσαρκωμένος, ὃν μεγα-
„ λύνοντες, σὺν ταῖς οὐρανίαις στρατιαῖς,
„ σὲ μακαρίζομεν.

Ἰδοὺ οἱ πάντες ἡμεῖς ἐπταίσαμεν, καὶ φοβερῶς ἡ γῆ μηδὲ σφαλεῖσα κολάζεται. νουθετεῖ γὰρ ἡμᾶς ὁ φιλάνθρωπος, ὅλην αὐτὴν σαλεύει. λάβωμεν αἴσθησιν, καὶ τῆς σωτηρίας ἑαυτῶν, ἐπιμελώμεθα.

Ὡρῶν καὶ χρόνων ὑπάρχων Κύριος, μιᾷ ῥοπῇ ἠθέλησας ἐκτρίψαι τοὺς δούλους σου. ὑπὸ δὲ τῆς πολλῆς εὐσπλαγχνίας σου, Δέσποτα ἐκωλύθης, εὐχαριστοῦμέν σοι, οἱ ἀναπολόγητοι ἡμεῖς, μόνε φιλάνθρωπε.

Σεισμοῦ μαχαίρας πικρᾶς ἁλώσεως, καὶ ἐθνικῆς Χριστὲ ἐπιδρομῆς καὶ συμβάσεως, καὶ λιμοῦ καὶ λοιμοῦ καὶ κακώσεως, πάσης ἄλλης Οἰκτίρμων, ῥῦσαι τὴν Πόλιν σου, ἅπασάν τε χώραν, τῶν πιστῶς ὑμνολογούντων σε.

Ἡ γῆ ἀγλώσσως βοᾷ στενάζουσα· τίνι κακοῖς μιαίνετε πολλοῖς πάντες ἄνθρωποι; καὶ ὑμῶν ὁ Δεσπότης φειδόμενος, ὅλην ἐμὲ μαστίζει, λάβετε αἴσθησιν, καὶ ἐν μετανοίᾳ, τὸν Θεὸν ἐξιλεώσασθε.

Θεοτοκίον.

Φθορὰν τῷ τίκτειν μὴ ὑπομείνασα, πάσης φθορᾶς, Παρθένε ἐξέλου ἡμᾶς ἅπαντας, καὶ Σεισμοῦ βαρυτάτου καὶ θλίψεως, παύουσα τοῦ Δεσπότου, τὴν ἀγανάκτησιν, ταῖς σαῖς μητρικαῖς καταλλαγαῖς, Θεοχαρίτωτε.

Ἄλλος. Λίθος ἀχειρότμητος.

Ῥῆξον τὰ δεσμὰ τῶν πταισμάτων, τῶν σὲ ὑμνούντων ἀθλοφόρε. παῦσον τῶν παθῶν τὰς προσβολάς. τὸν σάλον λῦσον τὸν τῶν αἱρέσεων. τῶν πειρασμῶν κατεύνασον, τὴν καταιγίδα ταῖς πρεσβείαις σου.

Ἵνα τῶν στεφάνων τῆς δόξης, καὶ οὐρανίου Βασιλείας, τύχῃς τοὺς ὑμνοῦντάς σε ταύτης, τυχεῖν δυσώπει Μάρτυς Δημήτριε, τὸν ζωοδότην Κύριον, καὶ Βασιλέα τῶν Δυνάμεων.

Ἤθυνον πρὸς τρίβους εὐθείας, τῆς οὐρανίου Βασιλείας, τὴν ἱερωτάτην σου ποίμνην, στεφανηφόρε Μάρτυς Δημήτριε, ἐπὶ νομὴν σωτήριον, ἐπὶ τὴν τόπον τὸν αἰώνιον.

Θεοτοκίον.

Ὡς ῥίζαν, πηγήν, καὶ αἰτίαν, τῆς ἀφθαρσίας σε Παρθένε, πάντες οἱ πιστοὶ πεπεισμένοι, ταῖς εὐφημίαις καταγεραίρομεν. σὺ γὰρ τὴν ἐνυπόστατον, ἀθανασίαν ἡμῖν ἔβλυσας.

Ἄλλος. Ἅπας γηγενής.

Γῆ καὶ Οὐρανὸς, τὸ πρᾶγμα θαυμάζουσι τὸ σὸν Δημήτριε. τὴν γὰρ ἐν σαρκὶ ζωὴν, καλῶν παντοίων κοσμήσας εἴδεσι, τὸ κατ' εἰκόνα βέλτιστε, λαμπρῶς ἀπείληφας. τὸ δὲ σῶμα, βάψας σου τοῖς αἵμασι, Βασιλεὺς ὡς λαμπρὸς μύρῳ κέχρισαι.

Ἣν ἡ στολὴν, ἐνδύσῃ Δημήτριε ἣν ἐξεδύσατο, πρὶν ὁ παλαιὸς Ἀδάμ, Ἀδὰμ τὸν νέον καλῶν ἐνδέδυκας, καὶ τῆς σαρκὸς τὸ κώδιον, χαίρων ἀπέῤῥιψας. διὰ τοῦτο, μύροις τε, καὶ στέμμασι, Βασιλεία λαμπρά σοι μνηστεύεται.

Τίς οὐκ ἐξαρκεῖ, καὶ λόγος ἀνθρώπινος ἐκδιηγήσασθαι, τοὺς ὑπερφυεῖς τιμὰς, καὶ δόξας Μάρτυς, ἅς περ ἀπείληφας. συμβασιλεύων ἄληκτα Χριστῷ μακάριε. τὸ δὲ μύρον, σύμβολον σαφέστατον, ὑπὲρ φύσιν ἐκβλύζον σῆς κόνεως.

Ὑπὲρ ἀθλητὰ, Χριστὸς ἐξηγόρασε Ποίμνην τῷ Αἵματι, λόγοις ἱεροῖς καὶ σὺ, καὶ μόνοις αἵμασί τε συνέστησας. ἀλλὰ καὶ νῦν τοῖς μύροις σου τρέφων, καὶ θαύμασιν, εἰς αἰῶνας, ἄτρωτον συντήρησον, χαλεπῶν ἐξ αἱρέσεων μέγιστε.

Θεοτοκίον.

Ὕμνους εὐτελεῖς, δεήσεις τε πρόσδεξαι, τὰς ἡμῶν Δέσποινα, λῦσον συμφορῶν πικρῶν, ἡμῖν τὸ νέφος, κοινῶν ἰδίων τε. τῆς Ἐκκλησίας κοίμισον, Ἁγνὴ τὸν κλύδωνα. τῶν Βαρβάρων, σκόρπισον τὰς φάλαγγας. καὶ μελλούσης Κολάσεως λύτρωσαι.

Καταβασία. Ἅπας γηγενής.

Ἐξα-

Digitized by Google

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Μάρτυς Χριστοῦ Δημήτριε, ὡς ποτὲ τοῦ Λυαίου, τὴν ὀφρὺν καὶ τὴν ἔπαρσιν, καὶ τὸ ἵππειον θράσος, καθεῖλες χάριτι θείᾳ, τὸν γενναῖον κρατύνας, ἐν τῷ σταδίῳ Νέστορα, τοῦ Σταυροῦ τῇ δυνάμει. οὕτω κἀμὲ, ταῖς ἀχαῖς συγκράτυνον Ἀθλοφόρε, κατὰ δαιμόνων πάντοτε, καὶ παθῶν ψυχοφθόρων. Θεοτοκίον. Ὅμοιον.

Τὸν σαρκωθέντα Κύριον, ἐξ ἁγνῶν σου αἱμάτων, Παρθενομῆτορ ἄχραντε, δυσωποῦσα μὴ παύσῃ, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων. ὅπως εὕρωμεν χάριν, καὶ εὔκαιρον βοήθειαν, ἐν ἡμέρᾳ ἀνάγκης, γένος βροτῶν, ἀπειλῆς Σεισμοῦ τε τοῦ βαρυτάτου, κινδύνων τε ἐξαίρουσα, μητρικαῖς σου πρεσβείαις.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στ. δ. καὶ ψάλλομεν γ. προσόμοια. Ἦχος Πλ. α.

Χαίροις ἀσκητικῶν.

Δεῦρο Μάρτυς Χριστοῦ πρὸς ἡμᾶς, σοὺς δεομένους συμπαθοῦς ἐπισκέψεως. καὶ ῥῦσαι κεκακωμένους, τυραννικαῖς ἀπειλαῖς, καὶ δεινῇ μανίᾳ τῆς αἱρέσεως. ὑφ' ἧς ὡς αἰχμάλωτοι, καὶ γυμνοὶ διωκόμεθα. τόπον ἐκ τόπου, συνεχῶς διαμείβοντες, καὶ πλανώμενοι, ἐν σπηλαίοις καὶ ὄρεσιν. οἰκτιρμὸν οὖν παμμάκαρ, καὶ δὸς ἡμῖν ἄφεσιν, παῦσον τὴν ζάλην καὶ σβέσον, τὴν καθ' ἡμῶν ἀγανάκτησιν, Θεὸν ἱκετεύων, τὸν παρέχοντα τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Δίς.

Τεῖχος ὠχυρωμένον ἡμῖν, τὰς ἑλεπόλεις τῶν ἐχθρῶν μὴ πτοούμενος, ἐδόθης τὰς τῶν βαρβάρων, ἐπιδρομὰς καταργῶν, καὶ τῶν νόσων παύων τὰ συμπτώματα. κρηπὶς ἀκατάβλητος, καὶ θεμέλιος ἄρρηκτος. καὶ πολιοῦχος, οἰκιστὴς καὶ ὑπέρμαχος, ἐχρημάτισας, τῇ σῇ Πόλει Δημήτριε. ἣν καὶ νῦν παμμακάριστε, δεινῶς κινδυνεύουσαν, καὶ τρυχομένην ἀθλίως, ταῖς σαῖς πρεσβείαις διάσωσον, Χριστὸν ἱκετεύων, τὸν παρέχοντα τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Πᾶσαν τὴν ἀρετὴν συλλαβὼν, τῶν ἀθλοφόρων ὁ χορὸς ἀναδείκνυται, ἐντεῦθεν τῆς ἀκηράτου καὶ μακαρίας ζωῆς, τὴν τρυφὴν ἀξίως ἐκληρώσαντο· ἐν οἷς ἀξιάγαστε, διαπρέπων Δημήτριε. καὶ τῇ μιμήσει, τοῦ Χριστοῦ σεμνυνόμενος, καὶ καυχώμενος, τῇ τῆς λόγχης ἰσότητι. αἴτησαι ἐκτενέστερον, ἡμᾶς τοὺς τιμῶντάς σε, τῶν παθημάτων ῥυσθῆναι, καὶ χαλεπῶν περιστάσεων, θερμῶς ἱκετεύων, τὸν παρέχοντα τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος δ. Ἀνδρέου Ἱεροσολυμίτου.

Τὸν λόγχαις κληρωσάμενον, τῆς σωτηρίου Πλευρᾶς τὴν χάριν, τῆς μυηθείσης τῇ λόγχῃ· ἐξ ἧς ἡμῖν πηγάζει ὁ Σωτὴρ ζωῆς καὶ ἀφθαρσίας νάματα. Δημήτριον τιμήσωμεν τὸν σοφώτατον ἐν διδαχαῖς, καὶ στεφανίτην ἐν Μάρτυσι. τὸν δι' αἵματος τελέσαντα, τὸν τῆς ἀθλήσεως δρόμον, καὶ θαύμασιν ἐκλάμψαντα πάσῃ τῇ Οἰκουμένῃ. τὸν ζηλωτὴν τοῦ Δεσπότου, καὶ συμπαθῆ φιλόπτωχον. τὸν ἐν πολλοῖς καὶ πολλάκις κινδύνοις χαλεποῖς, τοῖς Θεσσαλονικεῦσι προϊστάμενον. οὗ καὶ τὴν ἐτήσιον μνήμην γεραίροντες, δοξάζομεν Χριστὸν τὸν Θεὸν, τὸν ἐνεργοῦντα δι' αὐτοῦ πᾶσι τὰ ἰάματα. Καὶ νῦν. Θεοτοκίον.

Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν, Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, ἡ τεκοῦσα τὸν τῶν ὅλων Ποιητήν. ἵνα πάντες κράζωμέν σοι· χαῖρε ἡ μόνη προστασία τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Δίδοται καὶ Ἅγιον Μύρον ἐκ τοῦ Ἁγίου. Ψαλλομένων τῶν Ἰδιομέλων αὐτοῦ.

Εἰς τὴν Λειτουργίαν Τυπικὰ, καὶ ἐκ τῶν Κανόνων τοῦ Ἁγίου. Ὠδὴ γ. καὶ ϛ. Προκείμενον. Ἦχος βαρύς. Εὐφρανθήσεται δίκαιος. στ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου. Ὁ Ἀπόστολος, πρὸς Τιμόθεον. Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ. Ἀλληλούϊα. Ἦχος δ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. Εὐαγγέλιον κατὰ Ματθαῖον. Τῷ καιρῷ ἐκείνῳ, ἐμβάντι τῷ Ἰησοῦ εἰς πλοῖον. Ζήτει τῇ ε. τῆς β. Ἑβδομάδος τοῦ Ματθαίου. Κοινωνικ. Εἰς μνημόσυνον αἰώνιον. Καὶ γίνεται [illegible] τοῖς ἀδελφοῖς.

Digitized by Google

## Τῷ αὐτῷ Μηνὶ ΚΖ΄.

### Τοῦ Ἁγίου Μάρτυρος Νέστορος.

Στιχηρά. Ἦχος Πλ. δ΄.
Ὢ τοῦ παραδόξου θαύματος.

Νέστωρ ἀθλητὰ μακάριε, τὴν παμποίκιλον Χριστοῦ, σταυρὸν περιθέμενος, αἰσθητῶς Λυαῖον μὲν, συμπλακεὶς τοῦτον ὤλεσας. ταῖς ἀοράτοις δὲ τὸν ἀόρατον, λαβαῖς Βελίαρ σὺ συνεποδίσας, καὶ ἐθανάτωσας, νίκης διαδήματι. ὅθεν τὴν σὴν, κάραν ἐστεφάνωσεν, ὁ μεγαλόδωρος.

Λόγοις ἐνθέοις μυούμενος, Νέστορ σοφὲ ἀληθῶς, Δημητρίου τοῦ Μάρτυρος, ἀλαζόνα Τύραννον, ἀνδρικῶς ἐθανάτωσας, καὶ τὸν θανόντα. καὶ ᾅδην λύσαντα, ὁμολογήσας, Θεὸν ἀθάνατον, θάνατον ἄδικον, καθυπέστης ἔνδοξε. ὅθεν ζωὴν, χαίρων ἀτελεύτητον, ἐκληρονόμησας.

Θεῖος νεανίας πέφυκας, σώματος ὥρᾳ σοφὲ, διαπρέπων καὶ χάριτι, θείκῃ κοσμούμενος, καὶ ῥώμῃ σεμνυνόμενος. ὅθεν Λυαίου λύσας τὴν δύναμιν, τῇ δυναστείᾳ τοῦ Παντοκράτορος, χαίρων ἐνήθλησας, καὶ χοροῖς ἠρίθμησαι, τῶν Ἀθλητῶν, οἷς συναγαλλόμενος, ἡμῶν μνημόνευε.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαῖρε παλάτιον ἔμψυχον, περιστερὰ λογική. χαῖρε Πόλις τοῦ Κτίστου σου. χαῖρε καταφύγιον, τῶν πιστῶν καὶ προπύργιον. ἡ προστασία τῶν πεποιθότων ἐν σοὶ, καὶ σωτηρία καὶ ἀπολύτρωσις. χαῖρε ἡ γέφυρα, πάντας ἡ μετάγουσα πρὸς Οὐρανόν. χαῖρε πανταλόγητε, ἁγία Δέσποινα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σὲ καθηλούμενον βλέπουσα, ἐν τῷ σταυρῷ Ἰησοῦ, καὶ τὰ πάθη δεχόμενον, ἑκουσίως Δέσποτα, ἡ Παρθένος καὶ Μήτηρ σου. οἴμοι ἐβόα, τέκνον γλυκύτατον. πληγὰς ἀδίκως πῶς φέρεις ὁ ἰατρός; ὁ ἰασάμενος, βροτῶν τὴν ἀσθένειαν καὶ τῆς φθορᾶς, ἅπαντας ῥυσάμενος, τῇ εὐσπλαγχνίᾳ σου.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου ὁ Κανών.

Ὠδὴ α΄. Ἦχος δ΄. Ἅρματα Φαραώ.

Ἅρματι φλογερῷ, τῷ σῷ αἵματι σοφὲ, χαίρων ἐπιβέβηκας, καὶ πρὸς Οὐράνιον ὕψος, ἔνθα Ἰησοῦς τὸ ἄδυτον φῶς, μετὰ χαρᾶς ἀφελήλυθας.

Θώρακα νοητὸν, τὸν τῆς Πίστεως σαυτῷ, Νέστορ περιθέμενος, καὶ τὸν Σταυρὸν ὡς δόρυ ἔχων ἐν χερσὶ, τὰς τοῦ ἐχθροῦ στεῤῥῶς συνέκοψας φάλαγγας.

Ζέσει τῆς τοῦ Χριστοῦ, κραταιούμενος στοργῆς, ἔνδον εἰσεπήδησας ἐν τῷ σταδίῳ καὶ πάσας, ἔλυσας Λυαίου μηχανὰς, καὶ νίκης τρόπαιον ἔστησας.

Θεοτοκίον.

Συνέλαβες ἐν γαστρὶ, τὸν συνάναρχον Πατρὶ, ἔτεκες ἀπειρόγαμε, ὑπερφυῶς κατὰ σάρκα, μείνασα Παρθένος ὄντως Ἁγνή. διό σε πάντες γεραίρομεν.

Ὠδὴ γ΄. Ὁ στερεῶν βροντήν.

Δυναμωθεὶς τῷ κράτει τῆς ἰσχύος, τοῦ τοὺς μοχλοὺς συντρίψαντος, καὶ τὰς τοῦ ᾅδου πύλας συνθλάσαντος, εἰς τὸ στάδιον εἰσῆλθες. καὶ κραταιῶς συνέτριψας, ἐχθροῦ μηχανήματα.

Ὁ παλαιᾶς τῆς πλάνης ἀρχηγέτης, πρὸ τῶν ποδῶν σου ἥπλωται. νεανικῶς γὰρ πρὸς ἐκτομὴν, προσεχώρησας τοῦ ξίφους, Νέστορ Μαρτύρων καύχημα. διὸ εὐφημοῦμέν σε.

Προκαταλύσας θράσος παρανόμων, Θεῷ θυσίαν ἔθυσας, Μάρτυς τὸ αἷμά σου ἀμοιβὴν, ἱερὰν αὐτῷ παρέχων. διό σε ἀντημείψατο, πλουσίοις χαρίσμασι.

Θεοτοκίον.

Τὴν τοῦ Ἀδὰμ τοῦ γένους ἀμορφίαν, ἐπεισαχθεῖσαν βρώματι, κυοφορούμενος Ἰησοῦ, ἐν γαστρὶ τῆς Θεοτόκου, ὑπερφυῶς ἀνέπλασας, τὸ πρῶτον ἀξίωμα.

Ὁ Εἱρμός.

„ Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦ-
„ μα, στερέωσόν με Κύριε, ἵνα ὑμνῶ
„ σε εἰλικρινῶς, καὶ ποιῶ τὸ θέλημά σου,
„ ὅτι οὐκ ἔστιν ἅγιος, ὡς σὺ ὁ Θεὸς ἡμῶν.



Digitized by Google

Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθεὶς.

Οὐ κατεπλάγης τῶν ἐχθρῶν τὴν μανίαν. οὐκ ἐδειλίασας σαρκὸς ἀλγηδόνας. ἀλλ' ἀπτοήτως ἔδραμες πρὸς πάλην σοφὲ, φέρων τὸ ὑπέρμαχον, τοῦ Σταυροῦ θεῖον ὅπλον. ὅθεν τὸν ἀλάστορα, παραδόξως θανατώσας, ἐθανατώθης Νέστωρ καὶ ζωῆς, κατηξιώθης Χριστῷ παριστάμενος.

Θεοτοκίον. Ὅμοιον.

Ὁ ἐπὶ θρόνου χερουβὶμ καθεζόμενος, καὶ ἐν τοῖς κόλποις τοῦ Πατρὸς αὐλιζόμενος, ὡς ἐπὶ θρόνου κάθηται ἁγίου αὐτοῦ, Δέσποινα ἐν κόλποις σου, σαρκικῶς ὁ Θεὸς γάρ. οὕτως ἐβασίλευσεν, ἐπὶ πάντα τὰ ἔθνη. καὶ συνετῶς νῦν ψάλλομεν αὐτῷ. ὃν ἐκδυσώπει, σωθῆναι τοὺς δούλους σου.

Σταυροθεοτοκίον. Ταχὺ προκατάλαβε.

Ἐσταυρωμένον σε ὑψούμενον, ὡς ἐθεάσατο, ἡ ἄχραντος Μήτηρ σου, Λόγε Θεοῦ Μητρικῶς, θρηνοῦσα ἐφθέγγετο. τί τὸ καινὸν καὶ ξένον, τοῦτο Υἱέ μου θαῦμα; πῶς ἡ ζωὴ τῶν ὅλων, ὁμιλεῖς τῷ θανάτῳ; ζωῶσαι τοὺς τεθνεῶτας θέλων ὡς εὔσπλαγχνος.

Ὠδὴ δ'. Εἰσακήκοα ὁ Θεός.

Δημητρίου καταυγασθεὶς, ταῖς φωτοβόλοις διδασκαλίαις, τῆς Ἑλλήνων ματαιότητος, τὴν ἀχλὺν διέφυγες, καὶ Μαρτυρίου φέγγος ἀπήστραψας.

Ἀπιστίας τὴν ἁλμυρὰν, ταράξας θάλασσαν γλυκασμῷ σου, τῆς μονίμου Νέστωρ Πίστεως, ἀσεβῶν στρατεύματα, βυθῷ τῶν σῶν αἱμάτων ἀπέπνιξας.

Φυτευόμενον πρὸς ζωὴν, ἐδείχθης δένδρον τῇ εὐκαρπίᾳ, διατρέφων τῶν ἀγώνων σου, τῶν πιστῶν τὸ πλήρωμα, Νέστωρ Χριστοῦ Μαρτύρων τὸ καύχημα.

Θεοτοκίον.

Καθαρτήριόν μοι γενοῦ ἁμαρτημάτων, καὶ δός μοι χεῖρα βοηθείας κινδυνεύοντι, Παναγία Δέσποινα, Χριστιανῶν βεβαία ἀντίληψις.

Ὠδὴ ε'. Ὄρθρον φαεινόν μοι.

Λόγοις θείας γνώσεως τὴν διάνοιαν, καταυγασθεὶς, μαρτυρίου στάχυν ὥριμον, ἔνδοξε Νέστωρ ἐβλάστησας.

Ἴαμα τῶν λόγων σου, ὦ Δημήτριε, Μάρτυς τοῦ Χριστοῦ, ἀθείας τὸ ἀνόμημα, ὁ Νέστωρ τὸ μέγα κατέπαυσεν.

Ἐχθρὸν προορώμενον, συμπλεκόμενος τὴν τοῦ Θεοῦ, ἀοράτως συμμαχίαν, ἐκέκτησο Νέστωρ ἀοίδιμε.

Θεοτοκίον.

Χαῖρε ἡ κυήσασα τὸν Θεὸν ἄνευ σπορᾶς. χαῖρε μόνη Θεομῆτορ παναγίασμα πάντων ... χαῖρε Νύμφη ἀνύμφευτε.

Ὠδὴ ς'. Ζάλη με λογισμῶν.

Ἐσφραγίδι σημανθεὶς σου τὴν καρδίαν, γενναίως κατέστρωσας, τῷ τῆς ἀνδρείας σου δόρυ, τὴν καρδίαν Λυαίου ἀθλητά. καὶ χαίρων θανατοῦσαι, διὰ τὴν πάντων ζωήν.

Νυμφίος ἐκ παστάδος τῆς σαρκός σου, Νέστωρ ἐκπεπόρευσαι, στολαῖς ταῖς ἐξυφανθείσαις, ἐξ αἱμάτων σου Μάρτυς ἱερῶν, φαιδρῶς ὡραϊσμένος, τῷ σῷ Δεσπότῃ παρέστης Χριστῷ.

Ὑψώσας ἐπὶ πέτραν σου τοὺς πόδας, ἀσεβείας ἔστησε, Χριστὸς ὁ τῆς ζωῆς ἡ πέτρα, κατεύθυνε Νέστωρ, πρὸς αὐτὸν πορείας σου, καὶ τοὺς ἐχθρούς σου κατήσχυνε.

Θεοτοκίον.

Ῥῆξόν μου τὰς σειρὰς τῶν ἐγκλημάτων, ἡ Θεὸν κυήσασα, τὸν αἴροντα τὴν τοῦ Κόσμου ἁμαρτίαν, Παρθένε Μαριάμ. ἐν σοὶ γὰρ τὰς ἐλπίδας, τῆς σωτηρίας ἀνέθηκα.

Ὁ Εἱρμός.

„Ζάλη με λογισμῶν καταλαβοῦσα, εἰς „βυθὸν καθέλκει με, ἀμέτρων πλημ„μελημάτων. ἀλλὰ σὺ κυβερνῆτα ἀγαθὲ, „προφθάσας διάσωσόν με.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἀθλήσας καλῶς, ἀθάνατον τὴν εὔκλειαν, κεκλήρωσαι νῦν, ὡς στρατιώτης ἄριστος, τοῦ Δεσπότου γέγονας, ταῖς εὐχαῖς Δημητρίου τοῦ Μάρτυρος. σὺν αὐτῷ οὖν Νέστωρ σοφὲ, πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Ῥώμῃ Θεοῦ ἀθλήσας παμμάκαρ, νικηφόρος ἐδείχθης, τὸν ἐχθρὸν τοῖς

ποσὶ

Digitized by Google

ποσὶ καταπατήσας δεδέξασαι. στεφανίτης σὺν ταῖς χορείαις τῶν σεπτῶν Ἀθλοφόρων Νέστωρ ἐφάνης, καὶ Ἀαρὼν ὑπερήρθης Χριστοῦ ἀθλητά, σὺν Ἄβελ αἷμα τὸ θεῖόν σου. καὶ θρόνῳ θείῳ τοῦ κτίσαντος παρεστώς, σὺν Ἀγγέλων τοῖς τάγμασι, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Τῷ αὐτῷ Μηνὶ ΚΖ΄. Τοῦ Ἁγίου Μεγαλομάρτυρος Νέστορος.

Στίχ. Ὁμοῦ Λυαῖον, καὶ λύμην τὴν τῆς πλάνης,
Κτείνας ὁ Νέστωρ, τέμνεται διὰ ξίφους.

Οὗτος κομιδῇ νέος ὢν καὶ ὡραῖος, καὶ γνωστὸς ὢν τῷ Μεγαλομάρτυρι Δημητρίῳ, προσδραμὼν ἐν ᾧ ἐφυλάττετο τόπῳ, πεσὼν πρὸς τοὺς πόδας αὐτοῦ, δοῦλε τοῦ Θεοῦ, ἔφη, βούλομαι τῷ Λυαίῳ μονομαχῆσαι, καὶ εὖξαί μοι, τὸν Χριστὸν ὀνομάσας. ὁ δὲ Ἅγιος σφραγίσας αὐτὸν τῷ τιμίῳ Σταυρῷ, εἶπε· καὶ τὸν Λυαῖον νικήσεις, καὶ ὑπὲρ Χριστοῦ μαρτυρήσεις. ἐλθὼν οὖν ἐν τῷ μαγγάνῳ, θεωροῦντος τοῦ Μαξιμιανοῦ, καὶ εἰπών, ὁ Θεὸς Δημητρίου βοήθει μοι, συμπλακεὶς τῷ παλαμναίῳ Λυαίῳ ἐκείνῳ, καὶ καιρίαν αὐτῷ βαλὼν κατὰ τῆς καρδίας, ἀνῄρηκε, καὶ τῷ Βασιλεῖ ψυχικὴν περιεποιήσατο σύγχυσιν. καὶ αὐτίκα, τὸν μὲν ἅγιον Δημήτριον προσέταξε λόγχαις τρωθῆναι, ὡς αἴτιον τῆς σφαγῆς τοῦ Λυαίου. τὸν δὲ ἅγιον Νέστορα τῷ ἰδίῳ ξίφει ἀναιρεθῆναι.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Καπιτωλίνης, καὶ Ἐρωτηΐδος.

Στ. Κτείνουσι δούλην ἐκ ξίφους καὶ κυρίαν.
Δούλας Τριάδος, τῆς ἀληθοῦς Κυρίας.
Εἰκάδι ἀμφίπολον τάμον ἑβδόμῃ ἠδὲ κυρίαν.

Αὗται ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ Βασιλέως, καὶ Ζιλικινθίου Ἄρχοντος Καππαδοκίας. καὶ ἡ μὲν Καπιτωλίνη, εὐγενὴς ὑπάρχουσα καὶ πλουσία, πάντα τὰ προσόντα αὐτῇ πτωχοῖς διανείμασα, καὶ τοὺς οἰκέτας ἐλευθερίᾳ τιμήσασα, παρρησιάζεται πρὸς τὸν Ἄρχοντα, καὶ τῇ εἱρκτῇ ἐγκλεισθεῖσα, ἕωθεν διὰ ξίφους τιμωρίαν ὑπέστη. ἡ δὲ Ἐρωτηΐς, ἡ καὶ δούλη τῆς Ἁγίας, ἐπεὶ καὶ λίθοις τὸν ἔπαρχον ἔβαλε, ῥάβδοις τύπτεται. ὡς δὲ Χριστοῦ χάριτι ἔμεινεν ἀβλαβής, ξίφει τὴν κεφαλὴν ἀποτέμνεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Κυριακοῦ, Πατριάρχου Κωνσταντινουπόλεως.

Στ. Ὁ Κυριακὸς ἐκλιπὼν γῆν καὶ βίον,
Πρὸς αὐτὸν ἥκει Κύριον τῶν Κυρίων.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Πρόκλης, συζύγου τοῦ Πιλάτου.

Στίχ. Ἔχει παρεστῶσάν σε Πρόκλα Δεσπότης,
Ὁ Πιλάτῳ πρὶν σῷ παραστὰς συζύγῳ.

Διήγησις περὶ τῶν Ἰβήρων, ὅπως ἦλθον εἰς Θεογνωσίαν.

Ἐν ταῖς ἡμέραις Κωνσταντίνου τοῦ ἐν ἁγίοις Βασιλέως τοῦ μεγάλου, γυνή τις ἀπαχθεῖσα εἰς τοὺς Ἴβηρας, ἄκρως τὴν ἀσκητικὴν ἀγωγὴν παιδόθεν ἐκπαιδευθεῖσα, καὶ αἰχμάλωτος γενομένη, τῶν αὐτῶν εἴχετο πόνων. καὶ ἐπεὶ τῆς Ἰατρικῆς ἐπιστήμης οἱ Ἴβηρες πάμπαν σπανίζοντες πρὸς ἀλλήλους, φοιτᾶν εἰώθασιν, ὡς ἀπὸ πείρας ἐπιζητοῦντες ἐπὶ τοῖς συμβαίνουσι νοσήμασι τὸν τρόπον τῆς ὑγείας, ἀφίκετό τις πρὸς τὸ ἀξιέπαινον γύναιον, παιδίον νόσου δεινῇ μάστιγι πιεζόμενον ἐπιφερομένη, τὸ πρακτέον τάχα ζητοῦσα μαθεῖν. ἡ οὖν αἰχμάλωτος τοῦτο λαβοῦσα, καὶ ἀνακλίνασα, προσηύξατο, λυθῆναι τοῦ παιδαρίου τὴν νόσον. ἤκουσεν ὁ τὰ κρυπτὰ τῶν καρδιῶν εἰδώς, καὶ παρέσχε μὴ μελήσας τὴν ὑγείαν. Ἐντεῦθεν ἡ θαυμασία γυνὴ πολυθρύλλητος γέγονεν. ὡς καὶ εἰς ὦτα τῆς τοῦ Βασιλέως συζύγου διελθεῖν τὸ γενόμενον, ἥτις καὶ παραυτίκα ταύτην μεταπεμψαμένη (κατείχετο γὰρ καὶ αὐτὴ χαλεπῷ πάθει) ἡ δὲ μετριοφρονοῦσα γυνή, ἀναξίαν ἑαυτὴν κρίνασα πρὸς τὴν Βασιλίδα ἀφικέσθαι, καταπειθὴς οὐκ ἦν. ἀλλ' ἡ Βασίλισσα τὸ τῆς Βασιλείας ἐπηρμένον εἰς οὐδὲν λογισαμένη, πρὸς τὴν δορυάλωτον ἔδραμεν. ἡ δὲ καὶ ταύτην τὴν

Βασίλισσαν πρὸς τὴν παντελῆ ταύτης κλίνην κατακλίνασα, ἐν ᾗ καὶ τὸ παιδάριον, φάρμακον τοῦ πάθους ἀλεξίκακον, τὴν προσευχὴν προσενήνοχεν. ἡ δὲ Βασίλισσα τοῦ πάθους ἀπαλλαγεῖσα, χρυσὸν καὶ ἄργυρον καὶ χιτῶνας, καὶ ἕτερα οὐκ ὀλίγα ἐδίδου, ὅσα τῆς Βασιλικῆς φιλοτιμίας, ἀμοιβομένη τὴν οὕτω ταχέως καὶ κεχαρισμένως τὸ πάθος διώξασαν. ἀλλ' ἡ Θεία ἐκείνη γυνή, τούτων μὴ χρείαν κεκτῆσθαι ἔλεγε, μισθὸν δὲ μέγαν ἡγεῖσθαι τὴν τῆς εὐσεβείας ἐπίγνωσιν. καὶ τῷ ἀπαλλάξαντι τοῦ πάθους καὶ σεσωκότι Θεῷ παρηγγυᾶτο Ναὸν ἀνεγεῖραι. τούτων ἐκείνη ἀκούσασα, κατέλαβε τὰ Βασίλεια. καὶ τὸν μὲν Βασιλέα ἐξέπληξε τῷ παραδόξῳ τῆς ἰάσεως. διηγεῖτο δὲ καὶ τὸν τρόπον, καὶ διεβεβαίου τὸν τῆς αἰχμαλώτου Θεόν, τοῦτον εἶναι κυρίως καὶ ἀληθῶς Θεόν. καὶ Ναὸν δείμασθαι προσῆκον διὰ τάχους αἰτεῖ, καὶ τὸ ὅλον ἔθνος εἰς τὴν τούτου θεραπείαν μεταθεῖναι. ὁ δὲ, τὸ μὲν θαῦμα ἐξεπλήττετο, Ναὸν δὲ δείμασθαι οὐκ ἤθελεν. ὀλίγου δὲ διελθόντος χρόνου, εἰς θήραν ἐξελθὼν, οἱ μὲν σὺν αὐτῷ θηρεύοντες, ἀκωλύτως ἐθήρευον. οὗτος δὲ μόνος ὁ Βασιλεὺς ὑπολειφθεὶς, τοῖς τῆς ἀορασίας κατεσχέθη δεσμοῖς. ἐν ἀπορίᾳ οὖν γενόμενος, καὶ εἰς νοῦν τὴν ἀπείθειαν λαβὼν, τὸν τῆς αἰχμαλώτου Θεὸν ἐπικαλεσάμενος εἰς ἐπικουρίαν, ἀπηλλάγη τῆς νόσου, καὶ τὴν ἀξιάγαστον δορυάλωτον καταλαβὼν, ὑποδεῖξαι εἰς τὸ σχῆμα τῆς οἰκοδομῆς, ἠντιβόλει. καὶ ἡ μὲν διέγραφεν, οἱ δὲ τοῦ Βασιλέως ᾠκοδόμουν. ἐπεὶ δὲ καὶ πέρας ὁ Ναὸς εἰλήφει, καὶ ὁ ὄροφος ἐπετέθη, καὶ μόνον ἐδεῖτο τῶν Ἱερέων, εὗρε καὶ τούτου πόρον ἡ θαυμαστὴ γυνή. ἔπεισέ τε τὸν τοῦ ἔθνους Ἰβήρων Ἡγούμενον, πρὸς τὸν τῶν Ῥωμαίων πρεσβεύσασθαι Βασιλέα, καὶ αἰτήσασθαι, σταλῆναι διδάσκαλον εὐσεβείας. ὁ μὲν συνδεξάμενος τὴν εἰσήγησιν, τοὺς πρεσβεύσοντας ἐξέπεμψεν. Ὁ δὲ Βασιλεὺς Κωνσταντῖνος τὴν αἰτίαν μαθὼν, τοὺς πρεσβευτὰς φιλοφρόνως δεξάμενος, τῷ Θεῷ ηὐχαρίστησεν· ἄνδρα δὲ πίστει καὶ συνέσει καὶ βίῳ κοσμούμενον, καὶ τῆς Ἀρχιερωσύνης ἠξιωμένον, κήρυκα τῷ ἔθνει τῆς θεογνωσίας ἐξέπεμψε μετὰ δώρων ὅτι μάλιστα πλείστων. ὃς καὶ ἀπελθὼν, θαύμασι καὶ διδασκαλίαις πρὸς τὴν ἀκραιφνῆ τῶν Χριστιανῶν Πίστιν πάντας ἑλκύσας, καὶ βαπτίσας, καὶ Ἱεροὺς Ναοὺς διαφόρους ἐγείρας, καὶ Ἱερεῖς χρίσας, καὶ πᾶσαν τὴν τῶν Ἰβήρων χώραν εἰς θεογνωσίαν μετενεγκὼν, ἀπῆλθε πρὸς Κύριον. Οὗτος ὁ τρόπος τῆς τῶν Ἰβήρων πρὸς Θεὸν ἐπιγνώσεως.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Ὁ ἐν τῷ ὄρει Μωσεῖ.

Ὁ καταυγάσας τῶν πιστῶν τὰς καρδίας, ἀκτῖσι τῶν ἀγώνων τοῦ ἀθλοφόρου, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῆς ἀσεβείας κατασβέσας τὴν φλόγα, τῇ δρόσῳ τῶν αἱμάτων σου Μάρτυς Νέστωρ. εὐλογητὸς εἶ μέλπεις νῦν, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θυσία ζῶσα εἰς ὀσμὴν εὐωδίας, Κυρίῳ προσαγόμενος Μάρτυς Νέστωρ. εὐλογητὸς εἶ ἔκραζες, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἁγιωτέρα Χερουβὶμ ἀνεδείχθης, τεκοῦσα ὑπεράγιον Θεὸν Λόγον, Ὑπεραγία Δέσποινα, τὸν ἡμᾶς ἁγιάζοντα.

Ὠδὴ η΄. Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ.

Γῆ τὸ αἷμά σου τὸ σεπτὸν, ἐδέξατο χυθὲν ὑπὲρ Χριστοῦ, οἱ Οὐρανοὶ δὲ τὴν ψυχὴν, ὥσπερ νύμφην ὡραϊσμένην Μαρτύρων χορεῖαι, καὶ Δικαίων ἁπάντων τὰ πνεύματα, ἐν ἀγαλλιάσει, ὑπήντησάν σοι Μάρτυς.

Ὢ ψυχῆς σου θεοφιλοῦς, τὸν θάνατον τὸν πρόσκαιρον, οὐδὲν ἡγησαμένης, τὸ δὲ ζῆν ἐν Κυρίῳ ἐκλεξαμένης. ὢ Θείας ἀνδρείας, ἀνανδρείαν ἐχθρῶν κραταιότατα, τῶν μὴ ὁμολογούντων Χριστὸν στηλιτευσάσης.

Τὸν ἀγῶνά σου τὸν καλὸν, ἠγώνισαι τὸν δρόμον ἀληθῶς, Νέστορ τετέλεκας σοφὲ,

Digitized by Google

σοφὲ, καὶ τετήρηκάς σου τὴν Πίστιν. λοιπὸν σοὶ τὸ στέφος τὸ τῆς δικαιοσύνης ἀπόκειται, ὅπερ παρέξει Χριστὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Οὐ πτοοῦμαι τοῦ δυσμενοῦς, τὰ θήρατρα σὲ ἔχων βοηθὸν, οὐ φοβηθήσομαι κακὰ, σοὶ προστρέχων Θεοκυῆτορ. ἐν σοὶ γὰρ καυχῶμαι, καὶ ἐν σοὶ ὑπερβήσομαι Παμάγνε, τεῖχος ἁμαρτίας, σωθεὶς τῇ σῇ πρεσβείᾳ. Ὁ Εἱρμός.

„ Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ, θάλασσα καὶ „ πᾶσαι αἱ πηγαὶ, οἱ Οὐρανοὶ τῶν „ Οὐρανῶν, φῶς καὶ σκότος, ψῦχος καὶ „ καύσων, Υἱοὶ τῶν ἀνθρώπων, Ἱερεῖς „ εὐλογεῖτε τὸν Κύριον, καὶ ὑπερυψοῦτε „ εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὅτι ἐποίησέ σοι μεγαλεῖα.

Πορφύραν ἐξ αἱμάτων, βεβαμμένην σου Ἱερῶν, φορέσας καὶ κατέχων δεξιᾷ, ὥσπερ σκῆπτρον τὸν Σταυρὸν, συμβασιλεύεις τῷ Χριστῷ Νέστορ μακάριε.

Πέπειρος βότρυς ὤφθης, τῆς ἀμπέλου τῆς νοητῆς. ληνοῖς δὲ μαρτυρίου ἐκθλιβεὶς, κατανύξεως ἡμῖν οἶνον, ἀναλύσας Πιστοῖς Νέστορ πολύαθλε.

Χορεύων μετ' Ἀγγέλων πρὸ προσώπου τοῦ Ἰησοῦ, καὶ δόξης ἀπολαβὼν τῆς αὐτοῦ, τῶν τελούντων σου πιστῶς, Νέστωρ τὴν μνήμην τὴν σεπτὴν, ἀεὶ μνημόνευε.

Θεοτοκίον.

Φωτὸς ὤφθης δοχεῖον τοῦ σκεδάσαντος τὴν ἀχλὺν, τῆς πάλαι ἀγνωσίας ἀληθῶς. ἁγιάσματος σκηνὴ, χρυσῆ λυχνία οὐσιῶν, ὑψηλοτέρα Ἁγνή.

Ὁ Εἱρμός. Ὅτι ἐποίησέ σοι μεγαλεῖα.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Ὡς γνώμην ὑπερήφανον, καὶ βάρβαρον θρασύτητα, Λυαίου ἔλυσας Νέστωρ, καὶ σὺν αὐτῷ τῶν τυράννων. ὡσαύτως τῶν ὑμνούντων σε, τὰ ἐμπαθῆ κινήματα, Μάρτυς Χριστοῦ κατάβαλε, ἐν ἀπαθείᾳ σε ὅπως, Μάρτυς Χριστοῦ ἀνυμνοῦμεν.

Θεοτοκίον.

Συνήθως τὰ ἐλέη σου, φιλάγαθε πανύμνητε, καὶ τοὺς πολλοὺς οἰκτιρμούς σου, δεῖξον, καὶ νῦν Θεοτόκε. ἐκ πάσης περιστάσεως, κινδύνων τε καὶ θλίψεων, πάντας ἡμᾶς ἐξαίρουσα, τῆς ἀπειλῆς τοῦ Σεισμοῦ τε, τῆς φοβερᾶς λυτρουμένη.

Εἰς τὸν Σ. Π. τῆς Ὀκτωήχου.

Εἰς τὴν Λειτουργίαν ὡς σύνηθες. Ζήτει εἰς Μάρτυρας.

---

Τῷ αὐτῷ Μηνὶ ΚΗ΄.

Τῶν Ἁγίων Μαρτύρων, Τερεντίου καὶ Νεονίλλης. καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Στεφάνου τοῦ Σαββαΐτου.

Στιχηρὰ τῶν Μαρτύρων. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Πολυτρόποις κολάσεσιν, ἀνδρικῶς ὑπομείναντες, τοῦ ἐχθροῦ τὴν ἔπαρσιν κατεβάλετε. ὁμολογοῦντες μακάριοι, Τυράννων ἐνώπιον, τὸν σαρκωθέντα δι' ἡμᾶς, ἐν παχύτητι σώματος, καὶ τὰ ἄχραντα, ὑπομείναντα πάθη, ἑκουσίως, καὶ πηγάσαντα τῷ Κόσμῳ, τὸν ἱλασμὸν καὶ τὸ ἔλεος.

Τερεντίῳ συνήστραψε, Νεονίλλα ἡ ἔνδοξος, Νιτᾶς τε καὶ Σάρβιλος οἱ θαυμάσιοι, Φωκᾶς Ἱέραξ σὺν τούτοις τε, νομίμως ἀθλήσαντες, καὶ τὸ πῦρ τῶν αἰκισμῶν, θείᾳ δρόσῳ τοῦ Πνεύματος, ἀποσβέσαντες. καὶ γενόμενοι πύργοι, ἀσεβείας, καὶ εὐπρόσδεκτοι θυσίαι, καὶ προσφοραὶ καθαρώταται.

Ὡς πολύφωτος Ἥλιος, τῇ Σελήνῃ ἑνούμενος, Νεονίλλῃ τέτοκας, ὦ Τερέντιε, χορὸν ἀστέρων ἑπτάριθμον, Μαρτύρων ἐν αἵματι, φοινιχθέντων καὶ φαιδρὰν, ἀφιέντων τὴν ἔλλαμψιν, σκηνωσάντων τε, εἰς ἀμέσωτερον λῆξιν, ἔνθα πάντων, ἀθλοφόρων αἱ ἀγέλαι, περιφανῶς πολιτεύονται.

Ἕτερα Π. τοῦ Ὁσίου. Ἦχος Πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ θεοφόρε Στέφανε, θείᾳ φρονήσει τὸν νοῦν, ὀχυρώσας λαμπρότατα, τὸν θυμὸν ἀνδρείᾳ τε, σωφροσύνῃ τὴν ἔφεσιν. δικαιοσύνῃ πᾶσαν τὴν δύναμιν,



Digitized by Google

ψυχῆς ἰθύνας φιλοσοφώτατα. ἅρμα τερπνότατον, ἀρετῶν συνήρμοσας, ᾧ ἐπιβὰς, χαίρων ἀπελήλυθας, πρὸς ὕψος Ὅσιε.

Πάτερ θεόῤῥημον Στέφανε, θεολογίᾳ τὸν νοῦν, κατελάμπρυνας Ὅσιε, δυρυφόρον οἷά περ, τὸν θυμὸν προτεινόμενος, κατὰ βλασφήμων μάκαρ αἱρέσεων, ἐπιθυμίᾳ τρυφῆς τῆς ἄνωθεν. ἧς κατηξίωσαι, μεταχεῖν θεωπέσιε, παρεστηκὼς, θρόνῳ τοῦ Παντάνακτος, καὶ Παντοκράτορος.

Πάτερ θεόῤῥημον Στέφανε, δι' ἐγκρατείας τὸν νοῦν, πιαινόμενος πάντοθεν, πρὸς τὸ πρῶτον αἴτιον, ἀνατρέχειν ἐποίησας, καὶ κατανάσας παθῶν τὸν τάραχον, καὶ τοὺς θορύβους ἀποσεισάμενος, νοῦ καθαρότητι, συνεκράθης πάνσοφε, τῶν ἐφετῶν, ὄντως τὸ ἀκρότατον, θεόφρον Ὅσιε.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Σῶσόν με σῶσον πανάμωμε, ἡ τὸν Σωτῆρα Χριστὸν, ἀποῤῥήτως κυήσασα. σὲ γὰρ μόνην κέκτημαι, προστασίαν καὶ ἄῤῥηκτον, τεῖχος καὶ σκέπην καὶ ἀγαλλίαμα, καὶ τῆς ψυχῆς μου θείαν παράκλησιν. σύ οὖν με λύτρωσαι, ἀκοιμήτου σκώληκος, καὶ τοῦ πυρὸς, τοῦ διαιωνίζοντος, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σὲ καθηλώμενον βλέπουσα, ἐν τῷ Σταυρῷ Ἰησοῦ, καὶ τὰ πάθη δεχόμενον, ἑκουσίως Δέσποτα, ἡ Παρθένος καὶ Μήτηρ σου, Τέκνον ἐβόα, τέκνον γλυκύτατον, πληγὰς ἀδίκως πῶς φέρεις ὁ Ἰατρὸς, ὁ ἰασάμενος, βροτῶν τὴν ἀσθένειαν, καὶ τῆς φθορᾶς, ἅπαντας ῥυσάμενος, τῇ εὐσπλαγχνίᾳ σου;

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. Κανὼν Ὀκτωήχου, εἷς, καὶ τῶν Ἁγίων, δύω.

Ὁ Κανὼν τῶν Μαρτύρων.

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Βυθῷ χειμαζόμενος, τῆς ἁμαρτίας φιλάνθρωπε, πρὸς μόνον τὸ πέλαγος, τῆς εὐσπλαγχνίας σου, ἀτενίζω μου, τὸ ὄμμα τῆς καρδίας. κυβέρνησον σῶσόν με, τῶν Ἀθλοφόρων εὐχαῖς.

Ὁ ἄδυτος Ἥλιος, ὑμᾶς ἀστέρας ἀνέδειξεν, ἐν τῷ στερεώματι, τῆς Ἐκκλησίας αὐτοῦ, καταυγάζοντας, τῇ λάμψει τῶν ἀγώνων, Μάρτυρες πανεύφημοι, ταύτης τὸ πλήρωμα.

Τῆς Πίστεως πρόβολος, τῆς Ἐκκλησίας ἑδραίωμα, Τερέντιος γέγονε, Νιτᾶς τε Σάρβιλος, καὶ Θεόδουλος, Ἱέραξ Νεονίλλα, Βίλης ὁ θαυμάσιος, Εὐνίκη τε καὶ Φωκᾶς. Θεοτοκ...

Χαρᾶς ἡμῖν πρόξενος, ὡς δεξαμένη τὸ πλήρωμα, τῆς ὅλης Θεότητος, ὤφθης Πανάμωμε. ὅθεν πάντες σοὶ, τὸ χαῖρε τοῦ Ἀγγέλου, σύμφωνως κραυγάζομεν, Θεοχαρίτωτε.

Ἕτερος Κανὼν τοῦ Ὁσίου.

Θεοφάνους. Ὠδὴ α'. Ἦχος β'.

Ἐν βυθῷ κατέστρωσε.

Σοὶ τῆς σῆς παμμάκαρ διδαχῆς, χρέος προσκομίζοντες, τὴν ὀφειλὴν ἀπονέμομεν Στέφανε, ἐγκώμιον πλέκοντες. σὺ δὲ ἵλεως, δεδειγμένος πανόλβιε, ταῖς σαῖς ἱκεσίαις, χάριν μοι παράσχου τὴν τοῦ Πνεύματος.

Ὀλεθρίων ὅρμημα παθῶν, Πάτερ κατεμάρανας, λογιστικῷ κεχρημένος θεόφρονι· ἀμενὴς γὰρ γέγονας, εὐπροσήγορος, πρωσηνής τε καὶ μέτριος, λόγῳ τε σοφίας, Στέφανε καὶ γνώσεως στεφόμενος.

Ἱερῶς ἐκόσμησας σαυτὸν, Πάτερ διὰ γνώσεως, καὶ πρακτικῆς ἐνεργείας χαρίσματος, θεόῤῥημον Στέφανε, ἐφιέμενος τῶν στεφάνων, τῆς δόξης Χριστοῦ, καὶ τῆς σῆς ἐλπίδος, ἄριστα παμμάκαρ οὐ διήμαρτες. Θεοτοκίον.

Τῶν κτισμάτων πέφηνας Ἁγνὴ, πάντων ἀοράτων τε, καὶ ὁρατῶν ὑπερτέρα πανάμωμε. τὸν γὰρ Κτίστην τέτοκας, ὡς ηὐδόκησε σαρκωθῆναι ἐν μήτρᾳ σου, ᾧ σὺ παῤῥησίᾳ, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ὠδὴ γ'. Οὐκ ἐν σοφίᾳ.

Ἥλιος ὥς περ, πολυφώτῳ Σελήνῃ ἑνούμενος, Νεονίλλῃ ὁ κλεινὸς, Τερέντιος ἀπεγέννησεν, ἀστέρων ἑπτάριθμον, χορὸν Μαρτύρων Χριστοῦ.



Digitized by Google

Ἠ συντριβὴ σου, τῶν μελῶν Ἀθλοφόρε Τερέντιε, τῆς ἀπάτης τὰ ὀςᾶ, καθάπερ χοῦν ἐξελέπτυνε. σοὶ δὲ προεξένησε, δόξαν τὴν ἄφραςον.

Κεχρυσωμέναις, ἀναπτᾶσα Εὐνίκη ταῖς πτέρυξι, τῶν ἀμώμων ἰξεῶν, τὰς πανουργίας ἐξέφυγες, καὶ ἔνδον ἐσκήνωσας, παςάδος τῆς μονῆς. Θεοτοκίον.

Σὲ ἡ σοφία, τοῦ Θεοῦ καθαρώτατον σκήνωμα, δραμένη ἐκ τῶν σῶν, ἁγνῶν αἱμάτων σεσάρκωται, καὶ μετὰ τὴν κύησιν, ἄφθορον ἔδειξεν.

Ἄλλος. Ἐξηνώθησεν ἡ ἔρημος.

Ἐξέλαμψεν ὁ βίος σου, θεοφόρε Στέφανε, ὁλολαμπὴς ὡς Ἥλιος, ἐν τῷ Κόσμῳ καὶ κατεφώτισε, τοὺς σοὶ Πίςει καὶ πόθῳ προσανέχοντας.

Φωτίζεται τὰ πέρατα, διδαχαῖς σου Ὅσιε. ὡς γὰρ φωςὴρ ἐξέλαμψας, θεοφόρε τῇ Ἐκκλησίᾳ Χριςοῦ, ἐν ᾗ ἐςερεώθη ἡ καρδία σου.

Ἀδούλωτον ἐτήρησας, τὴν ψυχὴν σου πάθεσι, καὶ ἡδοναῖς τοῦ σώματος, θεοφόρε Στέφανε τίμιε. διὸ νῦν ἐπαξίως, εὐφημοῦμέν σε. Θεοτοκίον.

Ἐφάνης καθαρότητι, ὡσεὶ κρίνον Δέσποινα, τῶν ἀκανθῶν ἐκλάμψασα, λαμπηδόσι τῆς Παρθενίας σου, ἐν μέσῳ Θεοτόκε πανσεβάσμιε. Ὁ Εἱρμός.

„Ἐξηνώθησεν ἡ ἔρημος, ὡσεὶ κρίνον „Κύριε, ἡ τῶν ἐθνῶν ςειρεύουσα, Ἐκ„κλησία τῇ παρουσίᾳ σου, ἐν ᾗ ἐςερεώθη ἡ „καρδία μου.

ᾠδὴ δ΄. Ἦχος Πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ὡς ἀςέρες Ἡλίου φωτοειδεῖς, Τερέντιε οἱ παῖδες οἱ Ἱεροὶ, ὡς φῶς ἀνατέλλουσι, καὶ τὴν Κτίσιν αὐγάζουσιν, ἀνδρικῶν ἀγώνων γενναίοις πυρσεύμασι. πολυθείας ὄντως, τὴν νύκτα σκεδάσαντες. οὓς ἐν εὐφροσύνῃ, μακαρίσωμεν πίςει, ὡς ὄντας θεράποντας, τοῦ Θεοῦ καὶ βοήσωμεν. ἀθλοφόροι πανεύφημοι, πρεσβεύσατε Χριςῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Ἕτερον τοῦ Ὁσίου. Ἦχος ὁ αὐτός.

Ἀνέςης ἐκ νεκρῶν.

Ναὸν φωτοειδῆ, τοῦ Ἁγίου Πνεύματος, τελέσας τὴν ψυχὴν, Πάτερ πανόσιε, ἔνδον ἔσχες ἀφράςως τὸν Βασιλέα Χριςὸν καὶ Κύριον, εὗρες πλοῦτον θαυμάτων, καὶ Κόσμῳ νέμεις χάριν τὴν ἄφθονον. διὸ κινδύνων πάντας καὶ φθορᾶς, συντήρει τοὺς ὑμνοῦντάς σε.

Θεοτοκίον. Ὅμοιον.

Παρθένε Μαριὰμ, τῶν Ἀγγέλων ἡ δόξα. ὡραῖσμα τερπνὸν, καὶ γηγενῶν ὁ κόσμος, δώρησαι τοῖς σὲ ὑμνοῦσιν, ἁμαρτημάτων τὴν συγχώρησιν. ἵλαθι τοῖς σοῖς δούλοις, ὅτι ὑπάρχεις Ἁγνὴ ἡ λύτρωσις, ἀπεγνωσμένων ὄντως ἰσχυρὸν, προσφύγιον ἀνθρώπων.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἄσπιλος ἀμνὰς, τὸν ἀμνὸν καὶ Ποιμένα, κρεμάμενον Σταυρῷ, κατιδοῦσα ἐβόα. Τέκνον μου τί τὸ ξένον καὶ παρ' ἐλπίδα τοῦτο τὸ θέαμα; πῶς ἡ ζωὴ θανάτῳ, βροτοῖς ὁμοίως καταδικάζεται; ἀλλὰ ἀνάςηθι ἐκ τῶν νεκρῶν τριήμερος ὡς ἔφησας, ἵνα χαίρων δοξάζω σε.

Ὠδὴ ε΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἡ ἑπτάδελφος χορεία τῶν ἀθλοφόρων, σὺν τοῖς δυσὶ γεννήτορσιν, ἄμωμος θυσία, σοὶ τῷ διὰ σοῦ θαυμαςῶς, τυθέντι ὡς πρόβατον, Δέσποτα Χριςὲ προσηνέχθησαν.

Ἡ τοῦ Πνεύματός σοι χάρις ὥσπερ ἐν εἴδει, περιςερᾶς ὀπτάνεται ἔνδοξε Εὐνίκη, τοῦ ἐπικειμένου σε, κουφίζουσα κλύδωνος, τῶν δεινῶν βασάνων καὶ θλίψεων.

Ἐπαιρόμενον τῷ κράτει τῆς ἀσεβείας, τὸν ἀλαζόνα τύραννον, Πίςεως τοῖς ὅπλοις, Μάρτυρες πανεύφημοι, καθείλετε ψάλλοντες, δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Ὁ θελήματι τὰ πάντα δημιουργήσας, δημιουργεῖται θέλων, ἐξ ἁγνῶν σου αἱμάτων, σῴζων ἀπειρόγαμε, τοὺς πίςει κραυγάζοντας· δόξα τῇ δυνάμει σου Κύριε.



Digitized by Google

Ἄλλος. Ἐλήλυθας ἐκ Παρθένου.

Σὺ Στέφανε, μοναζόντων ἐγένου στεφάνωμα, οὐ λίθον πολύτιμον, ἀλλ' ἀρετὴν περικείμενος. ὤφθης γὰρ μακαρίως, θεοχαριτωτον ὄντως ἐνδιαίτημα.

Τὴν ἔνθεον, Θεοφόρε σοφίαν τετίμηκας, τῶν χαρίτων σε, αὐτῆς Στεφάνων ἐλάμπρυνε, δόξαν τὴν ἀΐδιον, σοὶ προξενήσασα Πάτερ παναοίδιμε.

Ἐπόθησας, ὁλοκλήροις καρδίας κινήμασιν, ὀρεκτὸν τὸ ἔσχατον, Κόσμου λιπὼν τὴν τερπνότητα, πόθῳ δὲ κατάλληλον, καὶ τὴν ἀπόλαυσιν εὗρες παμμακάριστε.

Θεοτοκίον.

Νεκρώσεως, τὸν καρπόν μοι ἡ Εὔα προσήγαγε, ζωὴν δὲ γεννήσασα, τὴν ἐνυπόστατον Πάναγνε, αὖθίς με ἀνώρθωσας. διὸ κραυγάζω σοι, δόξα τῇ κυήσει σου Δέσποινα.

ᾨδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Σὲ Κύριε ἰσχύν, κεκτημένοι οἱ Μάρτυρες, στρεβλώσεων καὶ μαστίγων, καὶ πυρὸς καὶ θανάτου, ἀνδρείως κατετόλμησαν.

Ὢ παῖδες Ἱεροί, ὢ θεόδεκτα σφάγια, ὢ σύστημα διαλῦσαν, μηχανὰς πολυπλόκους, ἐχθροῦ τοῦ πολεμήτορος.

Νίκαις τὴν κεφαλήν, ἀθανάτοις κατέστεψας, νικήσασα τὸν τὴν Εὔαν, ἐκνικήσαντα ὄφιν, Εὐνίκη καλλιπάρθενε.

Θεοτοκίον.

Φῶς ἄχρονον ἡμῖν, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, γεγέννηκας ὑπὸ χρόνον, ἀγαθότητος πλούτῳ, γενόμενον Πανάμωμε.

Ἄλλος. Μεσίτης Θεοῦ.

Ὁρμὴν τῶν παθῶν, ἀπαθείας ἔρωτι κατέσβεσας, Θεοφόρε Στέφανε, καὶ ταῖς θεωρίαις καὶ ταῖς πράξεσι, κατελάμπρυνας πᾶσαν, τὴν τῆς ψυχῆς κατάστασιν.

Νοὶ καθαρῷ, ταῖς γραφαῖς ὡμίλησας τοῦ Πνεύματος, θεόρρημον Στέφανε. καὶ τῆς θεωρίας καὶ τῆς πράξεως, συνελέξω τὸν πλοῦτον, θεόφρον Πάτερ Ὅσιε.

Σοφίας βυθόν, ἐρευνήσας Στέφανε κατέλαβες, εὗρεν ὅσον χρήσιμον. καὶ τὸν μαργαρίτην τὸν πολύτιμον, διὰ πόνων ἐκτήσω, Παμμάκαρ τὸν τῆς γνώσεως.

Θεοτοκίον.

Ἰδοὺ ἐν Γαστρί, Θεοτόκε Πάναγνε Χριστὸν τὸν Θεόν, ὑπὲρ λόγον ἔσχηκας, ὥσπερ Ἡσαΐας προηγόρευσεν, ὑπὲρ φύσιν δὲ τοῦτον, Θεογεννήτορ τέτοκας.

ᾨδὴ ς'. Θύσω σοι μετὰ φωνῆς.

Ἀείρεσθαι, ἀνηλεῶς προστάξας ὁ Τύραννος, καὶ τοῖς τροχοῖς συνδεσμεῖσθαι, πολυτρόπῳ θέᾳ τοὺς Μάρτυρας. ἀλλ' ᾐσχύνθη· ἀηττήτους αὐτοὺς θεασάμενος.

Γάρβιλος, Νεονίλλα Φωκᾶς καὶ Θεόδουλος, Βήλης Ἱέραξ Εὐνίκη, καὶ Νίτας ὁ Θεῖος σὺν Τερεντίῳ, ὡς γενναῖοι, ἀσεβῶς ἀφηνιάθωσαν Μάρτυρες.

Λειμῶνι, τῆς ὑμῶν εἰσιόντες ἀθλήσεως, ὀσμῆς πληρούμεθα θείας, τῶν ὑμῶν ἀγώνων μακάριοι, τὸ δυσῶδες, τῶν παθῶν ἐκ ψυχῆς ἀποῤῥίπτοντες.

Θεοτοκίον.

Ἡ βάτος, προετύπου τὸ μέγα μυστήριον, τῆς ὑπὲρ νοῦν σου λοχείας, τὸ πυρὶ διόλου σπαργανουμένη, καὶ μηδόλως, καιομένη Παρθένε Πανύμνητε.

Ἄλλος. Ἐν ἀβύσσῳ πταισμάτων.

Οἰκουμένης φωστὴρ φαεινότατος, Πάτερ ἀναδέδειξαι λόγου λαμπρότησι, καταφωτίζων Στέφανε, τοὺς σοὶ πίστει καὶ πόθῳ προστρέχοντας.

Μακαρίως τὸν βίον διέδραμες, μύσας τὰς αἰσθήσεις γὰρ ἔξω γενόμενος, τῆς κοσμικῆς συγχύσεως, καὶ Θεῷ προσωμίλησας Στέφανε.

Ὡς καλὸς ὡς ὡραῖός σοι στέφανος, ὃν νῦν ἐστεφάνωσαι πάνσοφε Στέφανε, ταῖς ἀρεταῖς στεφόμενος, καὶ παθῶν βασιλεύσας πανάριστε.

Θεοτοκίον.

Ὑπὲρ φύσιν Παρθένος ἐκύησας, καὶ δικαιωμίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς Θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Ὁ Εἱρμός.

„Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος,
„τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχ-

„μίας

Digitized by Google

,, μίας σου, ἐπικαλοῦμαι ἄβυσσον, ἐκ φθο-
,, ρᾶς ὁ Θεός με ἀνάγαγε.

Κοντάκ. τοῦ Ὁσίου. Ἦχος δ'. Ὁ ὑψωθεὶς.

Καταφυτεύσας ἀρετῶν τὸν Παράδεισον, καὶ καταρδεύσας ταῖς ῥοαῖς τῶν δακρύων σου, ὡς τῆς ζωῆς παμπαράδοξε τοῦ ξύλου τυχὼν, σῶσον ἱκεσίαις σου, ἐκ φθορᾶς τὴν σὴν ποίμνην, ῥῦσαι περιστάσεως τοὺς θερμῶς σε τιμῶντας. σὲ γὰρ προστάτην μέγιστον σοφὲ, πάντες ἐν πίστει καὶ πόθῳ κεκτήμεθα.

Ὁ Οἶκος.

Ὡς καθαιρέτην τῶν παθῶν, καὶ τύπον ὀρθοῦ βίου, ἀλείπτην τε ἀζύγων, κανόνα μοναζόντων, καὶ ἀρετῶν ὑπογραμμὸν, πάντες συνελθόντες ἐν τῇ μνήμῃ σου σοφὲ, οἱ φοιτηταί σου κράζομεν. δόξα τῷ σὲ ἀξίως δοξάσαντι, τέρασιν ἀλήκτοις, καὶ σημείοις φοβεροῖς, οὐκ ἐν τῷ νῦν μόνον, ἀλλὰ καὶ μετὰ τέλος. διὸ ἐκδυσώπει Χριστῷ μὴ ἐλλείπῃς τοῖς τιμῶσί σε ἀεὶ, καταπεμφθῆναι λύσιν τῶν πολλῶν καὶ χαλεπῶν ἐγκλημάτων. σὲ γὰρ προστάτην μέγιστον σοφὲ, πάντες ἐν πίστει καὶ πόθῳ κεκτήμεθα.

Τῷ αὐτῷ Μηνὶ ΚΗ'. Τῶν Ἁγίων Μαρτύρων, Ἀφρικανοῦ, Τερεντίου, Μαξίμου, Πομπηίου, καὶ ἑτέρων τριάκοντα ἕξ.

ά. Τέμνουσι Τερέντιον, ὃς βλύσας γάλα
Ἔδειξε καινὸν καὶ τετμημένος τέρας.
Δειρὴν ὀγδοάτῃ τε Τερέντιος εἰκάδι τμήθη.

Οὗτοι οἱ Ἅγιοι Μάρτυρες ἤθλησαν ἐπὶ Δεκίου Βασιλέως, καὶ Φορτουνάτου Ἡγεμόνος, ἐν Ἀφρικῇ γεννηθέντες καὶ ἀγωνισάμενοι. τύπτονται σὺν μοχλοῖς ὠμοῖς. εἶτα ῥάβδοις, καὶ πυρωθεῖσιν ὀβελίσκοις τὰ νῶτα καίονται. καὶ ἐπιχεομένου ὄξους σὺν ἅλμῃ, τριχίνοις ὑφάσμασιν ἀνατρίβονται. καὶ δεσμῷ μετὰ τὴν ἐρώτησιν βάλλονται, καὶ γυμνοὶ ὑπὸ γῆν σύρονται ἐπάνω πυρός. εἶτα ξέονται, καὶ εἰς βόθρον ἀπορρίπτονται ὄφεων καὶ σκορπίων μεστόν. καὶ ἀβλαβεῖς διαμείναντες, ξίφει ἐτελειώθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Τερεντίου, Νεονίλλης, καὶ τῶν τέκνων αὐτῶν, Νιτᾶ, Σαρβίλου, Ἱέρακος, Θεοδούλου, Φωκᾶ, Βήλης, καὶ Εὐνίκης.

Στίχ. Σὺν ἑπτὰ τέκνοις ἡ δυὰς τῶν συζύγων,
Τιμὴν μίαν ἡγεῖτο τὴν ἐκ τοῦ ξίφους.

Οὗτοι οἱ Ἅγιοι ἐν ἑνὶ οἴκῳ διάγοντες, καὶ τῷ Θεῷ ἀεὶ ἐν κρυπτῷ λατρεύοντες, διεβλήθησαν, καὶ παρέστησαν τῷ δικαστηρίῳ, καὶ τὸν Χριστὸν ὡμολόγουν, τὰ δὲ εἴδωλα ἐκωμῴδουν, καὶ κρεμασθέντες ἐξέοντο. εἶτα ὄξει δριμυτάτῳ ταῖς πληγαῖς κατερραντίζοντο, καὶ πυρκαϊᾶς κάτωθεν φλογιζομένης, προσηύχοντο σωτηρίως, ἀλλήλους ἐπαλείφοντες. οὐ παρεῖδεν οὖν ὁ Θεὸς τὴν δέησιν αὐτῶν. Ἄγγελοι γὰρ ἀοράτως τοὺς Ἁγίους τῶν δεσμῶν ἠλευθέρουν, καὶ τὴν θεραπείαν παρεῖχον. τοὺς δὲ ἀσεβεῖς ἔκπληξις καὶ φόβος κατεῖχε, καὶ ἡ φυλακὴ τοὺς Ἁγίους εἶχε. τῇ δὲ ἑξῆς, ῥοπάλοις τύπτονται. εἶτα ἐν τροχῷ δεθέντες, τῷ δοκεῖν ἐμαστίζοντο, καὶ ἐν μηδενὶ μηδὲν δεινὸν πεπονθότες, βορὰ τοῖς θηρσὶ παραδίδονται. οὕτως οἱ Ἅγιοι Μάρτυρες ἀβλαβεῖς ἐκ πάντων διατηρηθέντες, λέβησιν ἐκ πίσσης παμφλάζουσιν ἐμβάλλονται. καὶ ὁ βρασμὸς τῆς πίσσης εἰς ὕδωρ μετεβλήθη. ἰδόντες οὖν οἱ δυσσεβεῖς, ὅτι αἱ κολάσεις τοῖς Ἁγίοις αὐτῶν οὐδαμῶς ἐλογίσθησαν, ξίφει τὰς κεφαλὰς αὐτῶν ἔτεμον.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Φιρμιλιανοῦ, Ἐπισκόπου Καισαρείας, καὶ Μελχίωνος σοφιστοῦ, Πρεσβυτέρου Ἀντιοχείας, οἵτινες καθεῖλον Παῦλον τὸν Σαμοσατέα.

β'. Εἰρηνικῶς θνήσκουσιν εἰρήνης τέκνα,
Φιρμιλιανὸς καὶ σὺν αὐτῷ Μελχίων.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χοζεβίτου.

Στ. Ῥυσθεὶς ἀπείρων πειρατηρίων βίου.
Ἰωάννης ἄπειρα λήψεται γέρα.

Οὗτος ὥρμητο ἐκ Θηβῶν, Παῖς γεγονὼς μεγάλων καὶ περιφανῶν γονέων. ἀπεβάλλετο δὲ τὴν ἐν Χαλκηδόνι Σύνοδον, καὶ τῆς Καθολικῆς Ἐκκλησίας ἀφίστα ἑαυτόν. παραγενόμενος δὲ εἰς τοὺς σεβασμίους



Digitized by Google

τόπους, ἐφ᾽ ᾧ τὸν τίμιον Σταυρὸν προσκυνῆσαι, κωλυόμενος προσεγγίσαι, φωνῆς ἔδοξεν ἐπακοῦσαι, ὅτι οἱ μὴ τῇ Καθολικῇ Ἐκκλησίᾳ κοινωνοῦντες, ἀνάξιοι τῆς τοῦ Σταυροῦ προσκυνήσεως τυγχάνουσι. τοῦτο δὲ ἰδὼν ἐν ὁράματι καὶ διυπνισθεὶς, τῇ Ἐκκλησίᾳ προσῆλθε. καὶ εὐθέως εἰς τὴν ἔρημον διελθὼν, ἔμεινεν ἐν τόπῳ λεγομένῳ Χοζεβᾶ, ἐν ᾧ ὑπερβάλλουσαν ἄσκησιν, καὶ ἀρετῆς ἀνάβασιν ἐκτήσατο, πολλὰ κατεργασάμενος θαύματα, καὶ πολλῶν Μοναχῶν γενόμενος καθηγούμενος. διὸ καὶ ἐν αὐτῷ τῷ τόπῳ τῆς ἐρήμου μακαρίως ἐκοιμήθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Φεβρωνίας, Θυγατρὸς Ἡρακλείου Βασιλέως, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Στεφάνου τοῦ Σαββαΐτου, Μαθητοῦ τοῦ Ἁγίου Σάββα, καὶ τοῦ Ἁγίου Ἱερομάρτυρος Κυριακοῦ, τοῦ φανερώσαντος τὸν τίμιον Σταυρὸν, ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου τοῦ μεγάλου, καὶ Ἑλένης τῆς αὐτοῦ Μητρός.

Στ. Μίξας ἐλαίῳ Κυριακὲ παμμάκαρ.
Σὸν αἷμα σεπτὸν, μίγμα καινὸν εἰργάσω.

Οὗτος μετὰ τὸ φανερῶσαι τὸν τίμιον Σταυρὸν καὶ πιστεῦσαι, καὶ βαπτισθῆναι, γέγονεν Ἐπίσκοπος Ἱεροσολύμων μετὰ Μακάριον, καὶ παρέτεινεν ἡ ζωὴ αὐτοῦ μέχρι τῆς Βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου. ὃς κατὰ τῶν Περσῶν ἐκστρατεύσας, ἀπῆλθε καὶ εἰς Ἱερουσαλήμ. καὶ μαθὼν περὶ τοῦ Ἁγίου, καὶ κρατήσας αὐτὸν, ἑαυτῷ παρέστησε. καὶ ἀναγκάσας θῦσαι τοῖς εἰδώλοις, ἠλέγχθη παρ᾽ αὐτοῦ. ὅθεν καὶ ἐκέλευσε κοπῆναι τὴν δεξιὰν αὐτοῦ χεῖρα, εἰπὼν, ὅτι ἐπιστολὰς πολλὰς γράψας μετὰ τῆς χειρὸς ταύτης, πολλοὺς ἀπέστρεψας ἀπὸ τῶν Θεῶν. εἶτα διέχεε μόλυβδον ἐν τῷ στόματι αὐτοῦ. καὶ μετὰ ταῦτα ἐτέθη ἐπὶ κραββάτου πεπυρακτωμένου κατὰ πρόσωπον. ἐλθοῦσα δὲ πρὸς αὐτὸν ἡ Μήτηρ αὐτοῦ, καὶ αὐτὴ ἐκρατήθη, καὶ κρεμασθῆναι ταύτην προστάττει ἐκ τῶν τριχῶν. καὶ ξεομένη, τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο. εἶτα ἐμβληθεὶς καὶ αὐτὸς εἰς λέβητα, ἐπλήγη μετὰ ξίφους, καὶ ἐτελειώθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Μήτηρ τοῦ Ἁγίου Κυριακοῦ, λαμπάσι φλεχθεῖσα, καὶ ξεσθεῖσα, τελειοῦται.

Στ. Φλεχθεῖσα σάρκα Μάρτυς Ἄννα λαμπάσιν,
Ἀειφανὴς ὑπῆρξε λαμπὰς Κυρίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Κοσμᾶ, καὶ Δαμιανοῦ, καὶ τῶν σὺν αὐτοῖς ἑτέρων τριῶν ἀδελφῶν αὐτῶν.

Στίχ. Ἐκ τοῦ γένους Ἄραβας, ἐκ δὲ τοῦ ξίφους,
Θείους ἀριστεῖς, οἶδα τοὺς Ἀναργύρους.

Οὗτοι, τῆς Ἀράβων ὁρμώμενοι γῆς, καὶ τῆς Ἰατρικῆς ἐπιστήμης ἔμπειροι ὄντες, διήρχοντο κατὰ πᾶσαν πόλιν καὶ χώραν, ἀμισθὶ τοῖς δεομένοις τὰς ἰατρείας παρέχοντες. καὶ προφάσει τῆς τέχνης, τὴν τοῦ Χριστοῦ καταγγέλλοντες πίστιν, κατὰ τὸν χρόνον Διοκλητιανοῦ, καὶ Μαξιμιανοῦ. συλληφθέντες δὲ ἐν Κιλικίᾳ, παρέστησαν Λυσίᾳ τῷ Ἡγεμόνι ἐν Αἰγαῖς τῇ πόλει. καὶ τυφθέντες ἀνηλεῶς καὶ ἀπανθρώπως, τῷ τῆς θαλάσσης βυθῷ ἀπορρίπτονται. περισωθέντες δὲ θείᾳ ῥοπῇ, καὶ ἐπὶ ξηρᾶς εὑρεθέντες, αὖθις ἐν καμίνῳ πυρὸς ἀπορρίπτονται, καὶ ἀβλαβεῖς διαμείναντες, Σταυρῷ ἀναρτῶνται, ἔπειτα, τὰς κεφαλὰς ἀποτέμνονται οἱ μακάριοι οὗτοι πεντάδελφοι.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Ἐν τῇ καμίνῳ, τῶν αἰκισμῶν οἱ Θεῖοι Μάρτυρες, δρόσον οὐρανόθεν εὗρον ὑπομονῆς, ἀχαρίστως ἀνεμέλποντες. εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Ἐρηρεισμένον, τὸ τῆς ψυχῆς ἔχοντες φρόνημα, πέτρᾳ τῆς ἀτρέπτου Πίστεως τοῦ Χριστοῦ, τῶν ἀθέων τὰ φρυάγματα, σεισμὸν οἱ Μάρτυρες, δι᾽ ἀρχῆς ἐκτελοῦντες κατέβαλον.

Ἡρμαρτηθέντες, καὶ τὰς πλευρὰς αὐτοὺς ξεόμενοι, ὀξεῖ δριμυτάτῳ τε καὶ πυρκαϊᾷ, συμφλεγόμενοι μακάριοι, πᾶσαν ἐφλέξατε, τὴν ὑλώδη ἀπάτην, ὑμνοῦντες τὸν Κύριον.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Ὁ περιβάλλων, τὸν Οὐρανὸν ἐν νεφέλαις παναχραντε, ἄλλον Οὐρανόν σε ἔδειξεν ἐπὶ γῆς, καὶ ἐκ σοῦ περιεβάλετο, ὅλον τὸν ἄνθρωπον, καὶ Θεοῖ με δι' οἶκτον ἀμέτρητον.

Ἄλλος. Ἀντίθεον πρόσταγμα.

Μυρίζουσιν Ὄσιε τὴν τῶν δογμάτων, οἱ λόγοι τῆς χάριτος, τοῦ Πνεύματος λαμπόμενοι. Θεότητα μίαν γὰρ, σέβων προσώποις τρισὶ, Λόγου τε τὴν σάρκωσιν ὑμνῶν, εὐωδιάζεις ἡμᾶς πανόλβιε.

Ὁ βίος τῷ λόγῳ σου συνδραμὼν Πάτερ, διπλοῦν σοι τὸν Στέφανον, παμμάκαρ προεξένησε. σοφίας γὰρ ὄργανον, Πάτερ παναοίδιμε, γέγονας τῷ Κτίστῃ σου βοῶν. εὐλογημένος εἶ, καὶ ὑπερένδοξος.

Ὁ λόγος σου ἅλατι ἠρτυμένος, ἡ βίος σου χάριτι, παμμάκαρ λαμπρυνόμενος, ἐδείχθη Θεσπέσιε. διὸ τὰς ψυχὰς μονάζοντων ἀνέσης σοφῶς Χριστῷ, σὺν παρρησίᾳ νῦν παριστάμενος.

Θεοτοκίον.

Ἰθύνασα Πάναγνε τὸν ἐμὸν βίον, πρὸς τὸν σὸν πανόλβιον, λιμένα καθοδήγησον, Θεὸν ὡς κυήσασα, τὴν ἀγαθῶν τὴν πηγὴν, τὸν πᾶσι παρέχοντα πιστοῖς, τῆς ἀφθαρσίας τὴν ἀγαθότητα.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας.

Πυρὸς κατετόλμησαν φωτὶ, τοῦ Θείου Πνεύματος καταλαμπόμενοι, λεόντων βρώσματα ἔδειξαν, ἀνενέργητα τὴν ἔνθεον, ἀναψυχὴν ἐξ Οὐρανοῦ οἱ Θεῖοι Μάρτυρες, δεδεγμένοι, οὓς ἐπαξίως πιστοὶ ἀνυμνήσωμεν.

Ἀγγέλων ἐπέφανε πληθὺς, ἐν τῷ σταδίῳ φαιδρῶς παραθαρρύνουσα, ὑμᾶς πανεύφημοι Μάρτυρες, καὶ τὴν πόνων ὑπεξαίρουσα, μεθ' ὧν τῶν Παίδων τὴν ᾠδὴν ἀνεκραυγάζετε, εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἐγρήγορον ἔχων πρὸς Θεὸν, τὸ ὄμμα Σαρβήλε, τὸ τῆς καρδίας σου, βλεφάρων ἔφερες καύστωσιν, διελέγχων τὸν δικαζόμενα, τῆς ἀθείας τῇ νυκτὶ περιkρατούμενον. ὅθεν πάντες, σὲ ὡς ἡμέρας Υἱὸν μακαρίζομεν.

Θεοτοκίον.

Πατρὸς εὐδοκίᾳ τὸν Υἱὸν, ἐν μήτρᾳ εἴληφας ἐπισκιάσαντος, τοῦ Θείου Πνεύματος Ἄχραντε, καὶ τεκοῦσα ὡς πρὶν Παρθένος, διαμεμένηκας. πρὸς ὃν ἀπαύστως πρέσβευε, λυτρωθῆναι πάντας τὸν Κόσμον φθορᾶς καὶ κολάσεως.

Ἄλλος. Κάμινος ποτέ.

Στέφος εὐπρεπὲς, Χριστὸς ὁ ζωοδότης, τῇ κορυφῇ σου ἐπιτέθεικε, φερώνυμε Στέφανε. καὶ γὰρ πράξεσι διέπρεψας, καὶ θεωρίαις ἔλαμψας. κράζων ὑπερυψοῦτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Μάρτυρας Χριστοῦ, θεόφρων ἀνύμνησας, καὶ τῶν ἁγίων τὰ ἀνδραγαθήματα, σὺν τούτοις ἐκλέϊσας, εὐφροσύνης ἐμφορούμενος, καὶ θείας ἀπολαύσεως, κράζων ὑπερυψοῦτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Νοῦς ὁ ἀπαθὴς, ἐν Μήτρᾳ σου ἐνοῦται, τῷ ἀνθρωπίνῳ νοΐ Πάναγνε, σαρκός τε παχύτητι, ὑπὸ χρόνον δὲ γενόμενος, αἰώνων ὁ ὑπέρτερος. ὅθεν σε Θεοτόκον, πίστει καὶ πόθῳ δοξάζομεν.

Ὁ Εἱρμός.

„ Κάμινος ποτὲ, πυρὸς ἐν Βαβυλῶνι,
„ τὰς ἐνεργείας διεμέριζε, τῷ Θείῳ
„ προστάγματι, τοὺς Χαλδαίους καταφλέ-
„ γουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα, ψάλ-
„ λοντας. εὐλογεῖτε, πάντα τὰ ἔργα Κυ-
„ ρίου τὸν Κύριον.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Παράδεισος ὤφθητε μέσον, ζωῆς τὸ ξύλον κεκτημένοι. κρουνῆτε προχέοντα κρουνοὺς, τῶν ἰαμάτων καὶ ποταμὸς ἀληθῶς, πεπληρωμένοι ἅγιοι, θείων ναμάτων τοῦ Πνεύματος.

Πύργοι τῆς Χριστοῦ Ἐκκλησίας, καὶ γαληνότατοι λιμένες, τῶν ἐν τῷ πελάγει τῶν δεινῶν, χειμαζομένων Μάρτυρες ὤφθητε, καὶ τῆς εἰρήνης τρόφιμοι, καὶ τῶν Ἀγγέλων ὁμοδίαιτοι.

Τῶν ἀμαραντίνων στεφάνων, ἐπιτυχόντες ἀθλοφόροι, καὶ τοῦ Παραδείσου

τὸ

Digitized by Google

τὸ πλάτος, χοροβατοῦντες πάσης στενώσεως, καὶ πειρασμῶν λυτρώσασθε, τοὺς ἐπὶ γῆς ὑμᾶς γεραίροντας. Θεοτοκίον.

Τῶν Οὐρανῶν πλατυτέρα, καὶ Χερουβὶμ ἁγιωτέρα, πάσης τε τῆς Κτίσεως ὄντως, τιμιωτέρα Θεὸν ὃν ἔτεκες, ὑπὲρ ἡμῶν ἱκέτευε, Παρθενομῆτορ τῶν τιμώντων σε.

Ἄλλος. Ἀνάρχου Γεννήτορος.

Ὑπέρτιμε Στέφανε νῦν καθαρῶς ἡδόμενος, ἐν τρυφῆς ἀπολαύσει τῆς ὑπὲρ ἔννοιαν. ἔνθα τῶν Ἁγίων οἱ δῆμοι, περὶ Θεὸν, χορεύουσι μάκαρ, τοὺς σοὶ καταφεύγοντας, μεσιτείαις πρὸς σὲ ἕλκυσον.

Μετέστης γηθόμενος πρὸς ἐφετῶν ἀκρότατον, πρὸς τὸ μόνον τῷ ὄντι σαφῶς μακάριον, πρὸς τὸ παμυπέρτατον κάλλος, πρὸς τὴν ζωὴν, τὴν ὄντως ἀγήρω, πρὸς φῶς τὸ ἀμεσώτερον, Θεοφόρε Πάτερ Στέφανε.

Ὡς ἥλιος ἔλαμψας ἐν Μοναστῶν σχήματι, ἀπαλῶν δὲ ὀνύχων καθιερούμενος, οἷά περ ἀκτῖνας ἐκπέμπων, τὰς ἀρετὰς, τῆς σῆς πολιτείας, γλυκύτατε Στέφανε, Θεοφόρε Πάτερ Ὅσιε. Θεοτοκίον.

Νοήσαντες πόῤῥωθεν προβλεπτικῶς τοῖς ὄμμασιν, οἱ Προφῆται σε πάντες προανεφώνησαν, μέλλουσαν Μητέρα γενέσθαι, τοῦ παντουργοῦ, καὶ πάντων Δεσπότου. διό σε Πανύμνητε, Θεοτόκε μεγαλύνομεν. Ὁ Εἱρμός.

„ Ἀνάρχου Γεννήτορος Υἱὸς Θεὸς καὶ
„ Κύριος, σαρκωθεὶς ἐκ Παρθένου
„ ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα φωτί-
„ σαι, συναγαγεῖν, τὰ ἐσκορπισμένα.
„ διὸ τὴν πανύμνητον, Θεοτόκον μεγα-
„ λύνομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Σὺν Τερεντίῳ ἤστραψεν, ἡ σεπτὴ Νεονίλλα, Νιτᾶς Φωκᾶς καὶ Σάρβιλος, Βήλητε καὶ Ἱέραξ, Θεόδουλος καὶ Εὐνίκη. τοῦ Χριστοῦ γὰρ προθύμως, γενναίως ὑπερήθλησαν. καὶ Τυράννους καθεῖλον, οἱ εὐκλεεῖς, Ἀθλοφόροι Μάρτυρες οὓς τιμῶντες, φαιδρῶς μακαρίζομεν, τὴν λαμπρὰν αὐτῶν μνήμην.

Ἕτερον τοῦ Ὁσίου. Ὅμοιον.

Στεφανηφόρε Στέφανε, σὺ δεξάμενος ζέσιν, τοῦ Παναγίου Πνεύματος, ἀπεῤῥάγης τοῦ Κόσμου, τὸν σὸν Σταυρὸν ἄρας Πάτερ. συγκραθεὶς τῷ Χριστῷ δὲ, δι' ἀκριβοῦς ἀσκήσεως, καὶ Ἁγνῆς Παρθενίας, τῶν ὑπὲρ νοῦν, χαρισμάτων Ὅσιε ἠξιώθης. ἐξ ὧν πλατύνας πάνσοφε, τὴν ὑφήλιον πᾶσαν. Θεοτοκίον.

Τὸν σαρκωθέντα Κύριον, ἐξ ἁγνῶν σου αἱμάτων, Παρθενομῆτορ Ἄχραντε, δυσωποῦσα μὴ παύσῃ, ὑπὲρ ἀχρείων δούλων σου, ὅπως εὕρωμεν χάριν, καὶ εὔκαιρον βοήθειαν, ἐν ἡμέρᾳ ἀνάγκης, τοῖς βροτοῖς, ὡς Θεὸς παρέχων τὰ κατ' ἀξίαν. σὲ γὰρ προστάτιν ἅπαντες, ἔχομεν ἐν ἀνάγκαις.

Εἰς τὸν Ν. τὰ τῆς Ὀκτωήχου.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ, καὶ τὰ λοιπὰ ὡς συνήθως.

---

## Τῷ αὐτῷ Μηνὶ ΚΘ.

Τῆς Ἁγίας Μεγαλομάρτυρος Ἀναστασίας τῆς Ῥωμαίας. Καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀβραμίου.

Στιχηρὰ τῆς Ἁγίας. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τὰς στρεβλώσεις τοῦ σώματος, καρτερῶς τὴν ἀφαίρεσιν, καὶ χειρῶν ὑπέφερες καρτερώτατα, καὶ τῶν ὀδόντων ἐκρίζωσιν, πλάκων τὴν κατάφλεξιν, τῶν ποδῶν τὴν ἐκκοπὴν, καὶ τὸν ἄδικον θάνατον. ὅθεν εἴληφας, τοὺς στεφάνους τῆς νίκης, Οὐρανίους, ἐν θαλάμοις κατοικοῦσα, Ἀναστασία πολύαθλε.

Παρθενίας κειμήλιον, κεκλεισμένος Παράδεισος, ἱερὸν ἀνάθημα θεῖον τέμενος, Νύμφη Χριστοῦ παναγήρατε, καὶ ἔμψυχον ἄγαλμα, ἀσκητῶν ὑπογραμμὸς, τῶν Μαρτύρων ἀγλάϊσμα, κρουνὸν βρύουσα, ποταμοὺς ἰαμάτων ἀνεδείχθης, τοῖς τελοῦσι τὴν μνήμην, Ἀναστασία πανεύφημε.

Τῶν

Digitized by Google

Τῶν Μαρτύρων ἀγλάϊσμα, τῶν Παρθένων ἀπάνθισμα, τῶν Ὁσίων μέγιστον ἐγκαλλώπισμα, Ἀναστασία πολύαθλε, τῆς Ῥώμης τὸ καύχημα, καὶ τερπνότατον Θεοῦ, καὶ ἀμώμητον σφάγιον, τὴν ἀκράδαντον, ἀσεβείας κρηπῖδα, δεῦτε πάντες, ἀνυμνήσωμεν προθύμως, περιφανῶς ἐναθλήσασαν.

Ἕτερα τὰ πρ. τοῦ Ὁσίου. Ἦχος Πλ. δ'.
Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ θεόφρον Ἀβράμιε, τοῦ Ἀβραὰμ μιμητὴς, χρηματίσας ἐν Πράγματι, μετανάστης γέγονας, τῆς πατρίδος μακάριε. σαρκὸς ὀρέξεις ἀπαρνησάμενος, καὶ ἐν οἰκίσκῳ σμικρῷ συνέκλεισας, χαίρων τὸ σῶμά σου, ψυχὴν δὲ ἐπτέρωσας, πρὸς Οὐρανόν. ἔνθα τὸ πολίτευμα, σαφῶς ἐκέκτησο.

Ὄσιε Πάτερ Ἀβράμιε, ἀβραμιαίαν ψυχὴν, φερωνύμως κτησάμενος, πειρασμοὺς ὑπήνεγκας, θεῖα πίστει ῥωννύμενος, καὶ δὲ ἀγάπης Θεῷ ἐνύμενος, ἐπαγγελίας τὴν γῆν κεκλήρωσαι, ὡραϊζόμενος, ἀρετῶν λαμπρότησιν. ὅθεν τὴν σὴν, μνήμην εὐφραινόμενοι, πανηγυρίζομεν.

Ὄσιε Πάτερ Ἀβράμιε, τὴν ταῖς ἀπάταις δεινῶς, ὑπαχθεῖσαν τοῦ ὄφεως, καὶ κατολισθήσασαν, ἀπωλείας πρὸς βάραθραν, διὰ ἐπιπνοίας θείας ἀνείλκυσας, καὶ σῳζομένην Θεῷ παρέστησας. ἧς τὴν μετάνοιαν, πάντες κατεπλάγησαν, οἱ εὐσεβῶς, Κύριον δοξάζοντες, τὸν ὑπεράγαθον.

Δόξα, καὶ νῦν. Θεοτ. ἡ Σταυροθεοτοκίον.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου.

Ἀπολυτίκ. Ἦχος δ'. Ἡ Ἀμνάς σου Ἰησοῦ.

Καὶ τοῦ Ὁσίου. Ἦχος πλ. δ'. Ἐν σοὶ Πάτερ.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. Κανὼν τῆς Ὀκτωήχου, εἷς, καὶ τῶν Ἁγίων, δύω.

Ὁ Κανὼν τῆς Ἁγίας. Οὗ ἡ ἀκροστ.

Τὰς ἀνδρικὰς σου Μάρτυς εὐφημῶ πόνους. Ἰωσήφ.

Ὠδὴ α'. Ἦχος Πλ. δ'.
Ἄσωμεν τῷ Κυρίῳ.

Ταύτην τὴν φωτοφόρον, μνήμην σου γεραίροντι θεόνυμφε, φωτισμόν μοι παράσχου, τῆς ψυχῆς μου τὸ σκότος διώκουσα.

Ἄλην ἀπὸ ἀναγκαίων, σεαυτὴν ἀφέθηκας τῷ Κτίστῃ σου, καὶ πυρὶ ἐγκρατείας, τὰ τοῦ σώματος πάθη κατέφλεξας.

Υἱὸς πρὸς Μαρτυρίου, Μάρτυς ἀναστάσεως ἐπώνυμε, ἀνυψώθης παστάδος, νυμφικῶς ὡς παρθένος ἠξίωσαι.

Θεοτοκίον.

Σὲ τὴν οὐρανομήκη, κλίμακα ἐν ᾗ Θεὸς ἐπεστήρικτο, τοὺς βροτοὺς οὐρανίους, ἐργαζόμενος Κόρη γεραίρομεν.

Ἕτερος Κανὼν τοῦ Ὁσίου.

Οὗ ἡ ἀκροστιχίς.

Τὸν σὸν γεραίρω παμφαῆ βίον μάκαρ. Ἰωσήφ.

Ὠδὴ α'. Ἦχος ὁ αὐτός.
Ὑγρὰν διοδεύσας.

Ταῖς θείαις λαμπόμενος ἀστραπαῖς, τὴν φωτοφόρον, ἐκτελοῦντας σου ἑορτὴν, παθῶν ἀμαυρότητος παμμάκαρ, ταῖς προσευχαῖς σου Ἀβράμιε λύτρωσαι.

Ὁ θεῖος ἀνάψας σου τὴν ψυχὴν, Ἀβράμιε πόθος, ἀναπέσβεσε τῆς σαρκὸς, τοὺς ἔρωτας Πάτερ καὶ ἀΰλως, ἐπὶ τῆς γῆς σε βιῶσαι ἐποίησεν.

Νεκρώσας τὰ μέλη τὰ ἐπὶ γῆς, μνηστείαν καὶ πάσαις, κακουχίαις Πάτερ σοφὲ. ζωῆς ἠξιώθης τῆς ἀμείνω, ἐν Οὐρανοῖς Θεοφόρε Ἀβράμιε.

Θεοτοκίον.

Σαρκὸς ἐξ αἱμάτων σου Ἱερῶν, Θεοῦ Πατρὸς Λόγος, ἐσαρκώθη ὑπερφυῶς, Παρθένε Μαρία· ὃν δυσώπει, τὰ τῆς σαρκός μου νεκρῶσαι φρονήματα.

Ὠδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.

Ἵστασο πρὸ βήματος, Τυραννικοῦ Χερσὸν Ἄνακτα, καὶ Ποιητὴν, πάντων καὶ Δεσπότην, Θεὸν λόγον κηρύττουσα.

Κάλλος τὸ ἐγκάρδιον, τῇ ὁρατῇ μορφῇ ἔνδοξε, διαδοθὲν, σοὶ ὡραιοτάτην, τοῖς ὁρῶσιν ὑπέφαινεν.

Ὄλβον ἀναφαίρετον, τῶν ἰαμάτων σοι δίδωσι, Κόρη Χριστὸς, ὃ Ἀναστασία, τὴν πτωχείαν ἠγάπησας.

Θεοτοκίον.

Ἴλην ἁμαρτίας μου, σῶν πρεσβειῶν πυρὶ σύμφλεξον, Μήτηρ Θεοῦ, δρόσον μοι τὴν θείαν, τῆς ἀφέσεως φέρουσα.

Digitized by Google

Ἄλλος. Οὐρανίας ἁψίδος.

Ὁ λογιστόπως ποθήσας, τῶν ὀρεκτῶν ἔσχατον, Κόσμου καὶ σαρκὸς Θεοφόρε ἔξω γεγένησαι. ὅθεν ἀπείληφας, τὴν ὑπερκόσμιον δόξαν, καὶ θείαν ἀπόλαυσιν Πάτερ Ἀβράμιε.

Ναὸς ζῶν ἀνεδείχθης, τοῦ Παντουργοῦ Πνεύματος, Πάτερ ἐν οἰκίσκῳ τὸ σῶμα συγκλείσας Ὅσιε. ὅθεν ἀπήστραψας, τῶν ἀρετῶν λαμπηδόνας, ἱερῶς κοσμούμενος Πάτερ Ἀβράμιε.

Γεωργία τῶν πόνων, τῶν ἀρετῶν ὥριμον, Ὅσιε ἐξηλώθησας στάχυν, Πάτερ Ἀβράμιε. ᾧ διατρέφονται, μιμητικῶς οἱ τὴν θείαν, καὶ σεπτὴν σου κοίμησιν πανηγυρίζοντες.

Θεοτοκίον.

Ἐπὶ σοὶ Παναγία, ὁ τοῦ παντὸς αἴτιος, δι᾽ ὑπερβολὴν εὐσπλαγχνίας, θέλων ἐσκήνωσε, καὶ καθηγίασε, τὴν τῶν ἀνθρώπων οὐσίαν, παραβάσει πρότερον ἐξολισθήσασαν.

Ὁ Εἱρμός.

„Οὐρανίας ἁψίδος, ὀροφουργὲ Κύριε, καὶ „τῆς Ἐκκλησίας δομήτωρ, σύ με στε„ρέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφε„τῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, „μόνε φιλάνθρωπε.

Κα. Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Ἐκ βρέφους τῷ Θεῷ, ἀνετέθης ὁσία, νεκρώσασα σαρκὸς ἐγκρατείᾳ τὰ πάθη. εἰς ὕψος ἀνέδραμες, μαρτυρίου περίδοξον, ἐναθλήσασα, Ἀναστασία νομίμως. καὶ τὸν δράκοντα, καταβαλοῦσα εἰς χάος, δυνάμει τοῦ Πνεύματος.

Ὅμοιον. Τοῦ Ὁσίου.

Τὸν πάλαι Ἀβραὰμ, ἐκμιμούμενος Πάτερ, ἐμάκρυνας σαυτὸν, γυναικὸς κατὰ σάρκα, πειθόμενος Ἀβράμιε, τῷ καλοῦντι Θεῷ ἡμῶν. ὅθεν ἤσκησας, καὶ τὴν ψυχὴν λαμπροτέραν ἐναπέδειξας, τῶν τοῦ Ἡλίου ἀκτίνων, θεόφρον πανόλβιε.

Θεοτοκίον.

Τὴν βάτον ἣν Μωσῆς, ἀκατάφλεκτον εἶδε. τὸ ὄρος τοῦ Θεοῦ, τὴν ἁγίαν νεφέλην. σκηνὴν τὴν ἀμόλυντον, τὴν θεόδεκτον τράπεζαν· τὸ παλάτιον, τοῦ ὑψηλοῦ Βασιλέως, τὴν ὁλόφωτον, καὶ ἀδιόδευτον πύλην, Παρθένον ὑμνοῦμέν σε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὑμνῶ σου τὸν Σταυρὸν, προσκυνῶ καὶ τὰ Πάθη. δοξάζω καὶ τὴν σὴν, ἀγαθότητα Τέκνον. ἑκὼν γὰρ καθυπέμεινας, ἐπονείδιστον θάνατον. τί τὸ ξένον σου, καὶ φρικωδέστατον Σῶτερ, τῆς ἀφράστου σου, οἰκονομίας τὸ βάθος; ἡ Μήτηρ ἐβόα σοι.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἐπὶ ζυγὸν ἐλαφρότατον, Μάρτυς τὴν βαστάσασαν ἐκ νεότητος, σιδηροῦν κλοιὸν προσφέρειν σε, οἱ παρανομοῦντες κατεδίκασαν.

Ἐσταλαγμοὶ τῶν αἱμάτων σου, τῆς πολυθείας ἔσβεσαν ἄνθρακας. ὁ πυρσὸς δὲ τῶν θαυμάτων σου, τῶν παθῶν τὴν ὕλην ἀπετέφρωσεν.

Οὐκ ἐγύμνωσε χάριτος, σῶμά σου γυμνώσας ὁ πονηρότατος, ὕφαντον δὲ μᾶλλον ἄνωθεν, ἄρραγῆ χιτῶνα προεξένει σοι.

Ὑπὲρ γῆν αἰρομένης σου, πῦρ ἐπὶ τὰ στέρνα μάκαρ ἐφήπτετο, ὑπεξάπτον σου τὸν ἔρωτα, τὸν πρὸς τὸν Δεσπότην καλλιπάρθενε.

Θεοτοκίον.

Μετὰ τόκον διέμεινας, ἄφθορος Παρθένε ὡς πρὸ γεννήσεως. νέον βρέφος γὰρ ἐκύησας, τὸν πρὸ τῶν αἰώνων γνωριζόμενον.

Ὁ αὐτός.

Ῥείθροις Πάτερ δακρύων σου, ψυχικὰς κηλίδας ἀπονιψάμενος, θεῖον γέγονας τοῦ Πνεύματος, καὶ σεπτὸν παμμάκαρ καταγώγιον.

Ἀγρυπνίαν παννύχιον, προσευχὴν ἄσμαον ἀπροσπάθειαν, καὶ ἀγάπην ἀνυπόκριτον, καὶ τελείαν πίστιν Πάτερ ἤσκησας.

Τὰ πταίειν νοσήματα, καὶ ἀποδιώκειν Ὅσιε πνεύματα, χάριν εἴληφας Ἀβράμιε, ὡς Θεοῦ θεράπων ἀληθέστατος. Θεοτ.

Ῥαθυμία κρατούμενον, καὶ τῇ ἁμαρτίᾳ με βυθιζόμενον, τῇ πρεσβείᾳ σου με λύτρωσαι, Θεοτόκε Μήτηρ Ἀπειρόγαμε.



Digitized by Google

Ὠδὴ ε΄. Ὀρθρίζοντες βοῶμέν σοι.

Ἀμάλωτος πυρὶ τῷ ἐν ξύλῳ ἐδείχθης Μάρτυς· πῦρ γάρ σε ἐγκάρδιον, θείας ἀγάπης ἐδρόσιζεν.

Ῥαπίσματι τὸ πρόσωπον μάρτυς ὡραιωθεῖσα, ἐχθρῶν ἀπερρύπωσας, δυσειδεστάτων τὰ πρόσωπα.

Ταθεῖσα ἐπὶ ξύλου Θεόφρον Ἀμαστασία, πόθῳ τοῦ νυμφίου σου, θεῖον πάθος ἐκόμιζες. Θεοτοκίον.

Ὑμνοῦμέν σε Παναύμνητε Δέσποινα Θεοτόκε, Θεὸν ὑπερύμνητον, σαρκὶ ἀσπόρως κυήσασαν.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Ὡς κατάκαρπον κλῆμα, βότρυας ἐξελώθησας Πάτερ Ἀβράμιε, ἀρετῶν ἐνθέων, κατανύξεως οἶνον πηγάζοντας, καὶ παθῶν τὴν μέθην, ἐκ τῶν ψυχῶν ἀποσοβοῦντας, καὶ καρδίας πιστῶν κατευφραίνοντας.

Πειρασμούς σοι ποικίλους, ὄφις ὁ παμπόνηρος Πάτερ ἐξήγειρεν, ἀλλ' αὐτὸς τῷ ὅπλῳ, τοῦ Σταυροῦ θεοφόρε ἐνέκρωσας, καὶ τῆς νίκης στέφος, παρὰ Θεοῦ δικαίᾳ ψήφῳ, ἐκομίσω Θεόφρον Ἀβράμιε.

Ἁγιώτατος οἶκος, Πάτερ Θείου Πνεύματος πίστει γενόμενος, ἐδομήσω οἶκον, ἱερὸν καὶ πανίερον σύστημα, ἀνιέρου πλάνης, μεταβαλὼν ταῖς νουθεσίαις, τῷ τῶν ὅλων Θεῷ καθιέρωσας.

Θεοτοκίον.

Μητροπάρθενε Κόρη, θείῳ φωτιζόμενοι Πνεύματι Πάναγνε, Ἱεροὶ Προφῆται, ἱεραῖς ἐν φωναῖς σε προήγγειλαν. ἐξ ἧς Θεὸς Λόγος, ὑπὲρ αἰτίαν τε καὶ λόγον, ἐσαρκώθη δι' οἶκτον ἀμέτρητον.

Ὠδὴ ς΄. Χιτῶνά μοι παράσχου.

Ἐστρεβλωμένον τὸ σῶμα αἰκισμοῖς, ἐδήλου τὸ ὄρθιον, τῆς σῆς προαιρέσεως, πρὸς Θεὸν Ἀμαστασία πανεύφημε.

Ἐκρέμασο μετέωρος πληγάς, Μάρτυς ὑποφέρουσα, καὶ ἄπληγον σῴζουσα, τῆς ψυχῆς τὸ ἀγενὲς ἀξιάγαστε.

Ὑπέφερες μαζῶν τὴν ἐκκοπήν, πιστοὺς διατρέφουσα, τῷ γάλακτι ἔνδοξε, τῆς μιμήσεως τῆς σῆς ἐμφανέστατα.

Θεοτοκίον.

Φιλάνθρωπον κυήσασα Θεόν, φιλάγαθε Δέσποινα· αὐτὸν καθικέτευε, τῆς γεέννης τοῦ πυρὸς λυτρωθῆναί με.

Ἄλλος. Τὴν δέησιν ἐκχεῶ.

Φωστῆρά σε οἱ ἐν σκότει τῆς πλάνης, ἀπλανῶς καθοδηγοῦντα εὑρόντες, πρὸς τὰς ὁδοὺς, τῆς ζωῆς θεοφόρε, τῆς ἀγνωσίας τὸ σκότος ἀπέλιπον, γενόμενοι φωτοειδεῖς, διὰ πίστεως θείας Ἀβράμιε.

Ἀγρύπνως ἐξευμενίσας τὸ θεῖον, ἐπιπέμψας φωτισμὸν σωτηρίας, τοῖς ἐν νυκτὶ, τῆς εἰδωλομανίας, κατασχεθεῖσι θεόφρον Ἀβράμιε, ἀνέδειξας πάντας Υἱοὺς, καὶ φωτὸς καὶ ἡμέρας ἐν χάριτι.

Ἡσύχως σὺ τὴν ζωὴν ἐκτελέσας, τὰς ἐν βίῳ τρικυμίας παμμάκαρ, τῇ πρὸς Θεὸν, πεποιθήσει παρῆλθες, καὶ γαληνοὺς πρὸς λιμένας κατήντησας, Ἀβράμιε τῆς Οὐρανῶν, Βασιλείας καὶ θείας λαμπρότητος. Θεοτοκίον.

Βαρούμενον νυσταγμῷ ῥαθυμίας, διανάστησον τῇ σῇ μεσιτείᾳ, Μήτηρ Θεοῦ, καὶ μὴ δῷς ὑπνῶσαι, τῆς ἁμαρτίας Παρθένε εἰς θάνατον. προστάτιν γὰρ καὶ ὁδηγὸν, τῆς ἐμῆς σε ζωῆς ἐπιγράφομαι. Ὁ Εἱρμός.

„ Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι „ κακῶν, ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου „ τῷ ᾅδῃ προσήγγισε. καὶ δέομαι ὡς Ἰωνᾶς, „ ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Κοντάκιον τοῦ Ὁσίου. Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον.

Ἐν σαρκὶ ὡς Ἄγγελος, ἐπὶ τῆς γῆς ἀνεδείχθης. καὶ ἀσκήσας γέγονας, πεφυτευμένον ὡς ξύλον, ὕδατι τῆς ἐγκρατείας καλῶς αὐξήσας. ῥεύμασι τῶν σῶν δακρύων ῥύπον ἐκπλύνας. διὰ τοῦτο ἀνεδείχθης, δοχεῖον Θεῖον, Ἀβράμιε Πνεύματος. Ὁ Οἶκος.

Τὰ φθαρτὰ παιδόθεν, τὴν ἀφθαρσίαν εἴληφας, τὰς τερπνὰς ἡδονὰς τοῦ σώματος ἐμίσησας σοφὲ ἀπὸ βρέφους, ποθήσας ἁγνείαν. ὅθεν θαλάμου καὶ Κόσμου ἀπέδρασας· συζύγου τε εὔκλειαν, καὶ τῶν γονέων

Digitized by Google

μέων διέκλινας. μόνε Θεοῦ σοφὲ τὸν ἔρωτα ἐπιποθήσας, καὶ ἀγαπήσας ἐξ ὅλης Πάτερ τῆς ψυχῆς, καὶ διανοίας ἀληθῶς, διὰ τοῦτο ἀνεδείχθης παρθενίας καὶ ἁγνείας δοχεῖον θεῖον Ἀβράμιε Πνεύματος.

Τῷ αὐτῷ Μηνὶ ΚΘ΄. Τῆς Ἁγίας Ὁσιομάρτυρος Ἀναστασίας τῆς Ῥωμαίας.

Στ. Κάρας τομὴν ἤνεγκε ῥώμῃ καρδίας.
Βλάστημα Ῥώμης Μάρτυς Ἀναστασία.
Τὴν Ἀναστασίην ἐννάτῃ ξίφος εἰκάδι ὀξύ.

Αὕτη ὑπῆρχεν ἐπὶ Δεκίου καὶ Βαλλεριανοῦ τῶν Βασιλέων, καὶ Πρόβου ἡγεμόνος, Ῥωμαία τῷ γένει, νέαν ἄγουσα τὴν ἡλικίαν, καὶ ἔν τινι Μοναστηρίῳ διατρίβουσα. αὕτη παῤῥησίᾳ τὸν Χριστὸν ὁμολογήσασα, ῥαπίζεται τὸ πρόσωπον. καὶ ἐπ᾽ ἀνθράκων πυρὸς ἁπλωθεῖσα, ῥάβδοις μαστίζεται. καὶ ἐπὶ ξύλου κρεμασθεῖσα, μαγγανίοις τισὶ πιέζεται, καὶ ὀγγίνοις ὀξέσι καταπείρεται. καὶ κρεμασθεῖσα, καθ᾽ ὅλου τοῦ σώματος ξέεται. καὶ τοὺς μαστοὺς ἐκτέμνεται. καὶ τοὺς ὄνυχας ἐκριζοῦται. τὰς χεῖρας καὶ τοὺς πόδας ἀκρωτηριάζεται. καὶ τὴν γλῶτταν ἀφαιρεῖται, καὶ τοὺς ὀδόντας ἐκριζοῦται. καὶ τελευταῖον τὴν κεφαλὴν ἀποτέμνεται.

Τῇ αὐτῇ ἡμέρᾳ. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀβραμίου, καὶ Μαρίας τῆς ἀνεψιᾶς αὐτοῦ.

Στ. Σαρκὸς νεκρώσας Ἀβράμιε πᾶν μέλος.
Θανὼν συνοικεῖς τοῖς ἀσάρκοις Ἀγγέλοις.
Ἀφεῖσα σαρκὸς τὰς ἐραστὰς Μαρία.
Ψυχῶν ἐραστῇ μυστικῶς περιπλέκῃ.

Οὗτος ἐγένετο Παῖς χριστιανῶν γονέων. γυναῖκα δὲ γήμας ἀβουλήτως, διὰ τὸν πρὸς Κύριον πόθον καταλιπὼν πάντας, καὶ ἀναχωρήσας, ἑαυτὸν καθεῖρξεν ἔν τινι οἰκίσκῳ, πᾶσαν σκληραγωγίαν μετερχόμενος. καὶ μετὰ χρόνους δέκα χειροτονεῖται Πρεσβύτερος. τελευτήσαντος δὲ τοῦ κατὰ σάρκα ἀδελφοῦ αὐτοῦ, καὶ παιδίον θῆλυ καταλείψαντος ὡσεὶ χρόνων ἑπτά, τοῦτο ἀνελάβετο, καὶ πλησίον τοῦ κελλίου αὐτοῦ, ἕτερον κελλίον ποιήσας, ἔθετο. ἐν δὲ τῷ εἰκοστῷ χρόνῳ τῆς ἡλικίας αὐτῆς, ἐπεὶ συνέβη αὐτὴν περιπεσεῖν πτώματι, καὶ ἐν πανδοχείῳ μετὰ τῶν ἑταιριζομένων γενέσθαι γυναικῶν, στρατιώτου σχῆμα ὁ Ἅγιος ὑποδὺς, καὶ ἐπιβὰς ἵππῳ, τοῦ πτώματος αὐτὴν ἐξήρπασε, καὶ πρὸς τὸν ἴδιον ἀπεκατέστησε τόπον. ἥτις τοσαύτην μετάνοιαν ἐπεδείξατο, ὡς μετ᾽ ὀλίγον χρόνον, μεγάλα θαύματα ἐκτελεῖν. ἀνεπαύσατο δὲ ὁ Μακάριος Ἀβράμιος κατὰ τὴν εἰκοστὴν ἐννάτην τοῦ Ὀκτωβρίου Μηνὸς, καὶ αὕτη ὡσαύτως μετ᾽ ὀλίγον.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Κυρίλλου.

Στ. Ὑπόσχεσιν μέλλοντος οὖσαν μοι στέφους,
Κύριλλος οἶδα τὴν ἀπειλὴν τοῦ ξίφους.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Σάββας ὁ Στρατηλάτης, ἔνθεν κἀκεῖθεν κεντηθεὶς, τελειοῦται.

Στίχ. Σάββας κατ᾽ ἄμφω κλήσεως μέρη Σάββας.
Ὅθεν κατ᾽ ἄμφω νύττεται λόγχαις μέρη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ὁσίας Μητρὸς ἡμῶν Ἄννης, τῆς μετονομασθείσης Εὐφημιανός.

Αὕτη ἡ ὁσία Μήτηρ ἡμῶν Ἄννα γεννᾶται ἐν τῷ Βυζαντίῳ, παρὰ εὐλαβοῦς τινὸς Διακόνου τοῦ Ναοῦ τῶν Βλαχερνῶν τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου. ἀπορφανισθεῖσα δὲ τῶν γεννητόρων, ἐσπούδασεν ἡ μάμμη αὐτῆς εὐλαβεστάτῳ συζεῦξαι αὐτὴν, ὃ καὶ πεποίηκε. καὶ ἐλθὼν ἐκ τοῦ Ὀλύμπου ὁ πρὸς πατρὸς θεῖος αὐτῆς, ἀνὴρ ἀσκητικώτατος καὶ διορατικώτατος, ὃς καὶ ὑπὸ τοῦ Εἰκονομάχου Λέοντος τὴν γλῶτταν ἐκκοπεὶς, λαλῶν δὲ καὶ μετὰ τὸ ἐκκοπῆναι ταύτην τρανῶς καὶ ἀνεμποδίστως, ὡς εἶδε ταύτην ἀνδρὶ συζευχθεῖσαν, ἵνα τί τὴν πρὸς θείους ἀγῶνας καὶ πόνους ἀφορῶσαν ἔφη, ἀνδρὶ συνεζεύξατε; καὶ ἐπευξάμενος αὐτῇ ἀνεχώρησε. χρόνων δέ τινων παρεῤῥυηκότων, καὶ τοῦ δυσσεβοῦς ἐκείνου Βασιλέως εἰς ᾅδου ταμεῖα καταχθέντος, Εἰρήνη καὶ Κωνσταντῖνος, οἱ ὀρθόδοξοι καὶ πιστότατοι Βασιλεῖς, τὸν Ἅγιον ἐκεῖνον ἄνδρα μεταστειλάμενοι, καὶ οἷα πάθοι ἀναδιδαχθέντες παρὰ τοῦ πρὸ αὐτῶν βασιλεύσαντος, τὴν εὐλογίαν ἐκ τούτου ἐλάμ-

Digitized by Google

ἐλάμβανον, καὶ τὰς εὐχὰς ἐκομίζοντο. οὗτος δὲ πάλιν τὰ συντείνοντα πρὸς εὐαρέστησιν Θεοῦ ὑποθεὶς, τὴν πρὸς τὰ ἴδια ἐβάδιζε. τότε πάλιν ἰδὼν τὴν μακαρίαν ταύτην, ἀνδρίζου καὶ ἴσχυε τέκνον φησί. πολλαὶ γὰρ αἱ θλίψεις τῶν δικαίων, γινώσκουσα δὲ, ὅτι, μὴ πρότερον γεννηθῆναι τὸ ἐν τῇ κοιλίᾳ σου παιδίον, πρὶν ἢ τὸν ἄνδρα σου τῷ τάφῳ καλύψεις, ὃ καὶ γέγονε. μετὰ γὰρ ἕκτον μῆνα τῆς συλλήψεως τέθνηκεν ὁ ταύτης ἀνήρ. ἡ δὲ, πολλὰ θρηνήσασα, καὶ τῇ λύπῃ ἑαυτὴν κατατήξασα, τὸ μὲν παιδίον ἀπογαλακτίσασα, δέδωκεν εἰς χεῖρας τοῦ ἑτέρου θείου αὐτῆς. ἡ δὲ πρὸς τοὺς ἀγῶνας ἀπεδύσατο. ὁποίους δὲ καὶ ἡλίκους, ἴσασιν οἱ μεμυημένοι, καὶ ἄκρως τὸν ἀσκητικὸν δρόμον τελέσαντες. ἐν τούτοις οὖν αὐτῆς οὔσης, παραγίνεται ἐκ τοῦ Ὀλύμπου ὁ διορατικώτατος ἐκεῖνος ἀνήρ. αὐτὴ δὲ παρὰ τοὺς πόδας αὐτοῦ πεσοῦσα, καὶ τὴν εὐλογίαν αἰτησαμένη, ἐνδυναμοῦ ἐν Κυρίῳ τέκνον ἤκουε, καὶ ποῦ τὸ παιδίον; ὁ θαυμάσιος ἐκεῖνος φησίν. ἡ δὲ, τὸ μὲν ἓν, τῷ ἀδελφῷ σου καὶ εὐεργέτῃ μου μετὰ Θεὸν ἀνεθέμην, τὸ δὲ ἕτερον παρ᾽ ἐμοί ἐστι. καὶ ταῦτα εἰποῦσα, καὶ ἕτερα, τὰ συγχύσεως καὶ καρδίας ὀδυνωμένης οὐ μικρῶς ῥήματα, καὶ ἀμφοτέρους τοὺς παῖδας τῷ τιμίῳ ἐκείνῳ παραστήσασα γέροντι. εὖξαι ὦ πάτερ τίμιε, ὑπὲρ τῶν τέκνων, δακρυρροοῦσα ἠντιβόλει. ὁ δὲ, οὐ χρείαν ἔχουσι ταῦτα εὐχῆς. ἡ δὲ, βαρέως τοῦτο τοῖς ὠσὶ δεξαμένη, καὶ ἐκ βάθους στενάξασα, οἴμοι τῇ ἁμαρτωλῷ ἔφη. τί ἄρα καὶ πάλιν τὸ παρ᾽ ἡμῖν; καὶ ὁ γέρων. οὐκ εἶπόν σοι τέκνον, πολλαὶ αἱ θλίψεις τῶν δικαίων; εἰ μὴ ἡμεῖς ὑπομείνωμεν, οὐκ ἄν ποτε δικαιωθῶμεν. οὕτω γάρ ἐστι πρέπον καὶ ἀρέσκον Θεῷ. ἡ δὲ, μὴ Κύριέ μου ἔδοξε τῷ Δεσπότῃ, ἡ τῶν ἀνηλίκων μου παίδων πρὸς τὰ ἐκεῖθεν μεταστάσεις; καὶ ὁ θαυμάσιος. καλῶς εἶπας ὦ τέκνον. ἐν τάχει γὰρ λήψεται ταῦτα ὁ Δεσπότης ὑπὸ σοῦ. καὶ τῷ Θεῷ αὕτη ὡς εἰκὸς εὐχαριστήσασα, καὶ τοῖς ποσὶ τοῦ τιμίου γέροντος προσπεσοῦσα, καὶ τὴν εὐχὴν κομισαμένη, τὴν τῶν προσόντων αὐτῇ διανομὴν ἀμφοτέραις χερσὶν ἤρξατο, καὶ μετ᾽ οὐ πολὺ τῶν παίδων τελευτησάντων, δάκρυα ἐπὶ τούτοις ἐκχέασα, καὶ τὰ περιλειφθέντα χερσὶ πενήτων ἀποθεμένη, τὰς Ἐκκλησίας περιήει φωταγωγοῦσα, καὶ προσευχομένη, καὶ τὸν συμπακτήριον ἀσπαζομένη. τέλος μοναχόν τινα ἐκ τοῦ Ὀλύμπου εὑροῦσα, καὶ δι᾽ αὐτοῦ ἀποκειραμένη, ἐν τῷ κρυπτῷ μὲν ἀνδρείαν ἐνεδύσατο στολὴν, ἔσωθεν δὲ γυναικείαν. καὶ λαθοῦσα ἐν τοῖς Ὀλύμπου εὑρέθη μέρεσι, τὴν γυναικείαν στολὴν ἀπορρίψασα. προσρυεῖσα δέ τινι τῶν Κοινοβίων, καὶ εἰσελθοῦσα, τῷ πυλωρῷ προσωμίλει, τούτῳ τῶν ἄλλων προτιμότερον ἔχειν λέγουσα, εἰς ὄψιν τοῦ Προεστῶτος ἐλθεῖν. ὁ γοῦν πυλωρὸς προσελθὼν τῷ Προεστῶτι κατὰ τὸ σύνηθες μηνύσας, καὶ τοῦτον μετακληθέντα παραστησάμενος, ἐξήει. τῆς τιμιωτάτης δὲ γυναικὸς πρὸς τοὺς πόδας τοῦ Προεστῶτος κειμένης, καὶ τὴν συνήθη εὐλογίαν ἐξαιτουμένης, ὁ θεῖος οὗτος ἀνὴρ τὴν εὐλογίαν δοὺς, καὶ ἀναστήσας, τίς ἡ πρὸς ἡμᾶς σου ἄφιξις, καὶ τί σου τὸ ὄνομα; ἡ δὲ, τὸ μὲν αἴτιον τῆς πρὸς τὴν ἁγίαν ταύτην Μονὴν ἀφίξεως, τὸ προσόν μοι Πάτερ ἅγιε πλῆθος τῶν ἐπταισμένων, ὅπως ἡσυχάσας, τὸν τῆς ζωῆς μου περιλειφθέντα χρόνον, εἰ καὶ ἀνάξιος, εὕροιμι τὸ θεῖον ἵλεον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. τοὔνομα δὲ, Εὐφημιανός. ὁ δὲ γέρων πρὸς αὐτήν· εἰ τοιοῦτον ὦ τέκνον λογισμὸν ἔχεις ἐν τῇ καρδίᾳ σου, καὶ τὴν σωτηρίαν ποθεῖς, φεῦγε τὴν παρρησίαν, εὐάλωτος γὰρ ἡ τῶν εὐνούχων φύσις τοῖς ἐμπαθέσι λογισμοῖς. ταῦτα εἰπὼν, καὶ τὴν συνήθη εὐχὴν ἐκτελέσας, συνηρίθμησε ταύτην τῇ ἀδελφότητι. ἐπὶ τοσοῦτον δὲ προέκοπτε, καὶ ἐπεδίδου τοῖς ἔμπροσθεν ἐν πάσῃ ἀρετῇ, καὶ ταπεινώσει, ὡς καὶ ὑπογραμμὸς καὶ τύπος γενέσθαι τοῖς ἐν πάσῃ τῇ Μονῇ ἀσκουμένοις Μοναχοῖς. ὁ δὲ Διάκονος τῶν ἐν τῇ οἰκίᾳ αὐτῆς, εἰς αὐτὸ τοῦτο προχειρισθεὶς παρὰ τῆς Ἁγίας, οἰκονομήσας πάντα, ὡς ὑπέθετο δηλονότι τῷ τοιούτῳ, ἐξῆλθε πρὸς ἀναζήτη-

Digitized by Google

ζήτησιν τῆς κυρίας αὐτοῦ· καὶ ἐντυχὼν τῷ Μοναχῷ τῷ ἀποκείραντι ταύτην, ἐπυνθάνετο, εἰ ἄρα συνοῖδε, ποῦ ἐστιν ἡ τὰ γήϊνα λιποῦσα, καὶ τὰ οὐράνια ἐπιζητοῦσα; ὁ δὲ πρὸς αὐτὸν, ὅτι δῆλα περὶ αὐτῆς μοι ἐγένετο ὦ τέκνον, οὐκ ἀρνήσομαι. ποῦ δὲ νῦν ἄρα ἐστὶν, ἀγνοῶ. ἀλλὰ δεῦρο μικρὸν ἅμα πορευθῶμεν εἰς τόδε τὸ Μοναστήριον. καὶ φθάσαντες, ἔμαθον διὰ τοῦ πυλωροῦ, εἴσω τῶν ἀρκύων ἔχειν τὸ ζητούμενον. καὶ ἠξίουν διαμηνυθῆναι ταύτην. τῆς δὲ ἐξελθούσης, ὁ Μοναχὸς τὸν Διάκονον ὑποδείξας, ἰδοὺ φησὶν ὁ πιστότατός σου οἰκονόμος, πολλὰ παθὼν εἰς ἀναζήτησίν σου πάρεστι, καὶ εἰ βούλει, πορευθῶμεν εἰς τὴν ἡμετέραν Λαύραν. τούτων ἀκούσασα ἡ Ἁγία, καὶ τῷ Προεστῶτι τῆς Μονῆς προσελθοῦσα, καὶ τὴν εὐλογίαν ἐξ ἐκείνου καὶ τῶν λοιπῶν Ἀδελφῶν λαβοῦσα, ἐξήει ἐκεῖθεν, καὶ ἀπῆλθεν ἅμα τῷ Διακόνῳ, συνόντος καὶ τοῦ Μοναχοῦ, εἰς τὴν Λαύραν. ἐν ταύτῃ δὲ ἐφ᾽ ἱκανὸν διατρίψασα, θαυμάτων ἀπείρων αὐτουργὸς ἀνεδείχθη. ἀμέλει τῆς τῶν θαυμάτων φήμης διαδοθείσης, πολύ τι πλῆθος ἀποταξαμένων προσερρύη τῇ Μονῇ. ἀλλὰ τὸ τοῦ τόπου ἐστενωμένον καὶ βίαιον, διεκώλυε τὴν τῶν προσερχομένων ἐπίδοσιν. ὅθεν ὁ τῆς Μονῆς Προεστὼς, θεόθεν ἐμπνευσθεὶς, τῷ τηνικαῦτα Πατριάρχῃ Κωνσταντινουπόλεως, τῷ Ἁγίῳ Ταρασίῳ, δηλοποιήσας περὶ τῶν θαυμασίων ἔργων τοῦ Μοναχοῦ Εὐφημιανοῦ, ὅπως τε διακωδωνισθέντων τῶν θαυμάτων, οὐκ ὀλίγων ἀνδρῶν πλῆθος ἀποταξαμένων προσερρύη τῇ Μονῇ, καὶ μὴ χωρεῖσθαι τοὺς προσερχομένους, διὰ τὸ πάνυ ἐστενωμένον τοῦ τόπου καὶ σμικρότατον διεσάφησεν. εὗρε τὸν Πατριάρχην συνευδοκοῦντα τῷ ἰδίῳ θελήματι. καὶ λαβὼν διὰ δωρεᾶς αὐτοῦ τόπον ἐρείπιον, τὸν νῦν ἡ Μονὴ τῶν Ἀβραμιτῶν λεγόμενον, δι᾽ ὀλίγου χρόνου ἐξ αὐτῶν τῶν κρηπίδων φροντιστήριον ἀποκαταστήσας, ὡς πολλῶν ψυχῶν σωτηρίαν, ἐν αὐτῷ τὴν ἁγίαν τὸν λειπόμενον αὐτῇ χρόνον ἀσκητικῶς διανύσαι παρεσκεύασε.

καὶ τούτου γενομένου, καὶ τῆς Ἀγγελικῆς ἐκείνης διαγωγῆς περιβοήτου τοῖς πᾶσι γενομένης, καὶ κατὰ μικρὸν διαγνωσθέντος τοῦ κρυπτομένου, εἰς ὅσον ἄρα ποσὸν οἱ καθ᾽ ἑκάστην προσερχόμενοι περιΐσταντο, οὐ δυνατὸν διαγράψαι. ἐπεὶ καὶ πειρασμός τις ἐπισυνέβη τῇ Ἁγίᾳ, ἀπό τινος τὸ μὲν σχῆμα Μοναχοῦ, ἔργοις δὲ καὶ πράγμασι τὰ πρῶτα φέροντος τῶν προσῳκειωμένων τῷ χαιρεκάκῳ δαίμονι. τούτου μὲν ἔργον αὐτὸ τοῦτο ἀπαραίτητον κεκτημένου, ταχείας ὕβρεις καὶ αἰσχρὰς ὡς κατὰ ἀνοῦχου τῆς Ὁσίας ἐκχέοντος καὶ κατηγοροῦντος ἀναφανδόν· κἀκείνης δὲ, ἀντ᾽ οὐδενὸς ταῦτα λογιζομένης, καὶ εὐεργεσίας ἡγεῖσθαι μᾶλλον τὰ κατ᾽ αὐτῆς λεγόμενα διαβεβαιούσης· γυνή τις θεοφιλὴς, τῶν αἰσχρῶν καὶ μυσαρῶν ῥημάτων τοῦ ὄντως βεβήλου καὶ φονέως μετὰ ταῦτα ἀποδειχθέντος ἀκούσασα, πρόσεχε φησὶν ἀδελφὲ, μήποτε οὐκ ἔστιν ὡς λέγεις ἀνοῦχος, οὐδὲ ἐμπαθὴς ὡς ὑπολαμβάνεις, ἀλλὰ γυνὴ καὶ ἀπαθής. καὶ σὺ μὲν ἔχεις εἰς κέρδος τὴν γέενναν τοῦ πυρὸς, διασύρων τὴν ἀπαθῆ, τοὺς δὲ ἀκούοντας μολύνεις. πρὸ χρόνων γάρ τινων γυνή τις τὰ προσόντα αὐτῇ πάντα διανείμασα, γέγονεν ἀφανὴς, καὶ μήποτε ὃν λέγεις ἀνοῦχον ἐκείνη ἐστὶ, καὶ αὐτὸς εἰς βάραθρον ἀπωλείας τὴν ψυχήν σου κατάγεις. ὁ γοῦν μυσαρὸς ἐκεῖνος καὶ δόλιος, προσθεὶς καὶ τοῦτο τῇ ἰδίᾳ πονηρίᾳ, διετράνωσε τὸν λόγον εἰς πολλοὺς, τὰς λοιδορίας ἀφείς. ἔσπευδε δὲ κατακρημνίσαι τὴν Ἁγίαν εἰς τόπον κατωφερῆ, ὅπως κουφισθέντων ὧν ἠμφίετο, γεγυμνωμένην ἴδῃ, καὶ σχῇ τὸ βέβαιον. οὐκ εἰς μακρὰν δὲ τοῦτο ποιήσας, εἶδε μὲν οὐδὲν, γέγονε δὲ ἡμίξηρος ἐκ θείας δυνάμεως. κἀκεῖθεν ἀπαναστὰς πρὸς τὰ ἴδια ᾤχετο. ἐκεῖσε τοίνυν καταχεθεὶς ὡς καταδίκος, ἐγκλήματι φόνου, τῷ ξύλῳ, τῆς αὐτοῦ κεφαλῆς ὡς ἐν ἀγχόνῃ ὑποπιεσθείσης, τῷ ἐγχωρίως οὕτω λεγομένῳ Φούρκῃ, τὴν ὀλέθριον καὶ μικρὰν ἀπέρρηξε ψυχήν. ἡ δὲ Ἁγία, ὡς ἐκ τούτου διαφημισθεῖσα, καὶ τὰ σκάνδαλα φυγοῦσα, δύω καὶ μόνους ἔχουσα Μο-

Digitized by Google

Μοναχοὺς μεθ᾽ ἑαυτῆς, ἀνέδραμε πρὸς τὰ μέρη τοῦ Στενοῦ. καὶ εὑροῦσα Ἐκκλησίαν ὕδωρ καὶ κηπίον ἔχουσαν, κατῴκησαν ἐν αὐτῇ μετὰ τῶν δύω Μοναχῶν, τοῦ τε Εὐσταθίου καὶ τοῦ Νεοφύτου. κἀκεῖθεν πάλιν ἀπάρασα μετὰ παραδρομὴν χρόνων τινῶν, προσκληθεῖσα ἐν τῷ Βυζαντίῳ παρά τινων Μοναχῶν ἐπὶ τὰ μέρη τοῦ ῥεύματος, ἐκεῖσε τὸ λειπόμενον ταύτῃ τῆς ζωῆς ἔτος διαβιβάσασα θεαρέστως, ἰάσεις τε καὶ θαύματα οὐκ ὀλίγα τοῖς προσιοῦσι χαρισαμένη, πρὸς Κύριον ἐξεδήμησεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Μελιτινῆς.

Αὕτη ἡ Ἁγία Μάρτυς διαβληθεῖσα ὡς Χριστιανὴ, καὶ παραστᾶσα τῷ Ἄρχοντι, πρῶτον μὲν τύπτεται τὰς ὄψεις, καὶ γυμνοῦται ἅπαν τὸ σῶμα. καὶ ὡς θρίαμβος ἵσταται ἐπὶ πολλὰς ὥρας ἀνακρινομένη μέσον τοῦ δικαστηρίου. καὶ οὕτως τὴν νικηφόρισα... καὶ οὕτως τὸν μυκτηρίζουσα τόν τε Ἄρχοντα, καὶ πάντα τὰ σεβάσματα αὐτοῦ. εἶτα πολλαῖς βασάνοις ἐκδοθεῖσα, καὶ διατηρηθεῖσα ἀβλαβὴς, τελευταῖον ξίφει κατετρώθη. καὶ οὕτω τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.

Ἦχος φωνῆς ἑορταζόντων, ἔνθα πέφυκε χορεύεις Ἀθληφόρε σὺν παρθένων χοροῖς, τῷ Κτίστῃ μελῳδοῦσα· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Μέλη συνθλώμενα ὁρῶσα, καὶ ὀνύχων σπαραγμὸν προσκαρτεροῦσα, ἀνηνέχθης Χριστῷ, θυσία μελῳδοῦσα· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὤφθης ὡς ἄμπελος θεόφρων, χεῖρας πόδας τε ὡς κλάδους τεμνομένη. καὶ ἡμῖν νοητὸν, τὸν οἶνον γεωργοῦσα, καρδίας τὸν εὐφραίνοντα, νοητῶς Ἀναστασία.

Πῦρ αἰσθητὸν οὐκ ἐπτοήθης, νεανίας τρεῖς τοὺς πάλαι μιμουμένη. Θείαν δρόσον Ἁγνὴ, ἐδέξω μελῳδοῦσα· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὅλον τὸν ἄνθρωπον φορέσας, ὁ ὑπέρθεος δίχα τῆς ἁμαρτίας, ἐκ γαστρός σου Ἁγνὴ, προῆλθε σαρκοφόρος, ὃν ἐκδυσώπει πίστει σε, τοὺς τιμῶντας διασῶσαι.

Ὁ αὐτός.

Ἵνα τῆς ἄνω Βασιλείας, ἐπιτύχῃς καὶ τῆς δόξης τῆς ἀῤῥήτου, πατουμένης σοφὰ, καὶ φθειρομένης δόξης, ὡς νουνεχὴς καὶ φρόνιμος, κατεφρόνησας ἐμφρόνως.

Ὅτε ὁ λύκος ὁ πανοῦργος, τὴν ἀμνάδα σου ἐσπάραξε δολίως. τότε τούτου σοφὲ, τὰς μύλας διαθλάσας, οἷα Ποιμὴν εἰσήγαγες, μετανοίας ἐν τῇ μάνδρᾳ.

Νόμοις ὑπείκων τοῦ Δεσπότου, τὸ πλανώμενον ἐζήτησας καὶ εὗρες, καὶ τοῖς ὤμοις τοῖς σοῖς, ἀράμενος παμμάκαρ, οἷα Ποιμὴν εἰσήγαγες, μετανοίας ἐν τῇ μάνδρᾳ.

Θεοτοκίον.

Μόνη τὸν ἕνα τῆς Τριάδος, ἀπεγέννησας ἐν δύω ταῖς Οὐσίαις, ὑποστάσει μιᾷ, ὁρώμενον Παρθένε. ὃν μελῳδοῦμεν Πάναγνε, ἀσιγήτως εἰς αἰῶνας.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Νεανικῶς ἠρίστευσας, Ἀθληφόρε πανεύφημε. καὶ κατὰ τῆς πλάνης, ἀνεστήσω τρόπαια. χειρῶν στερουμένη γὰρ, καὶ τῶν ποδῶν ὑπέφερες, καὶ τὴν τῶν μαστῶν, καὶ τῶν ὀδόντων σου Μάρτυς, ἐκρίζωσιν ἠνέσχου, ἐν χαρᾷ μελῳδοῦσα. λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὁλολαμπὴς ὡς Ἥλιος παρθενίας λαμπρότητι, καὶ τῆς μαρτυρίας καλλοναῖς ἐξήστραψας, καὶ Κόσμον ἐφώτισας, ταῖς φωτοβόλοις λάμψεσι, σὺ Ἀναστασία, τῆς πολλῆς καρτερίας, προθύμως ἐκβοῶσα· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὑλομανοῦσαν πάθεσι, τὴν ψυχήν μου Θεόνυμφε, καὶ ἀμαυρουμένην, προσβολαῖς τοῦ ὄφεως, ταῖς σαῖς παρακλήσεσιν, ἐκ τῶν δεινῶν καθάρισον, καὶ φωτιστικῇ ἐπισκιάσει σου Μάρτυς, σεμνὴ Ἀναστασία, καταξίωσον ψάλλειν· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Σὲ τὴν Ἁγνὴν καὶ ἄμωμον, ἡ Παρθένος ποθήσασα, ἄμωμον καὶ σῶμα καὶ ψυχὴν ἐτήρητε. παθῶν ὑπεκκαύματα, ὑπομονῇ τεφρώσασα, πεῖραν τε πολλῶν ὑπενεγκοῦσα βασάνων, καὶ νῦν ἐπουρανίοις ἐν θαλάμοις χορεύει, σὺν σοὶ εὐφραινομένη, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Νικηταὶ τυράννου.

Ἀπωλείας βόθρῳ, τὴν Ἁγνὴν συνώθησε περιεργασάμενος, ὁ κακοῦργος ὄφις· ἀλλ' αὐτὴν ἀνήγαγες Πάτερ σωφρόνως· εὐλογεῖτε μέλπων, τὰ ἔργα τὸν Κύριον.

Καὶ ἐν βίῳ Πάτερ, περιὼν Ἀβράμιε καὶ μετὰ τέλος, Ἰατρὸς νοσούντων, ἀνεδείχθης Πνεύματος χάριτι θείᾳ· εὐλογεῖτε μέλπων, τὰ ἔργα τὸν Κύριον.

Ἀκακίᾳ Πάτερ, καὶ δικαιοσύνῃ τε καὶ σωφροσύνῃ, πίστει διαλάμψας, τοῖς Ἀγγέλοις Ὁσιε συνηριθμήθης· εὐλογεῖτε μέλπων, τὰ ἔργα τὸν Κύριον. Θεοτ.

Ῥεῖθρον ζῶντος ὤφθης, παναγίου σκήνωμα Χριστοῦ οὗ πιόντες, οἱ θανατωθέντες, τὴν ζωὴν πληρούμεθα ἀναβοῶντες· εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ἐκείνῳ ἀνυμνηθὴς Λόγου Θεοῦ, εἰκονίζουσα πάθος σωτήριον, καὶ ἐκκοπὴν, ἤνεγκας χειρῶν σου καὶ τῶν ποδῶν, ὀδόντων τὴν ἐκρίζωσιν, γλώσσης τὴν ἀφαίρεσιν καὶ μαστῶν, Ἁγνὴ Ἀναστασία, Μαρτύρων τὸ κλέος, καὶ τῶν Μαρτύρων ἐγκαλλώπισμα.

Ὡς Νύμφη ὡραιώθης καλλοποιῷ, ἁρμοσθεῖσα Νυμφίῳ παθήμασι, καλλοποιοῖς, ἔνδοθεν θαλάμων φωτοειδῶν. ὡς ἐκλεκτὴ ἐσκήνωσας, φέρουσα λαμπάδα παρθενικὴν· καὶ νῦν συμβασιλεύεις, τῷ ζῶντι εἰς αἰῶνας, Ἀναστασία διαλάμψασα.

Σταλάζουσιν οἱ πόνοι σου γλυκασμὸν, ἁμαρτίας πικρίαν ἐξαίροντες, ἡ δὲ σορὸς, βρύει ἰαμάτων τοὺς ποταμοὺς, καὶ κατακλύζει πάντοτε, πάθη καὶ νοσήματα χαλεπά. εἰς δόξαν τοῦ Σωτῆρος, σεμνὴ Ἀναστασία, τοῦ ἐπαξίως σε δοξάσαντος.

Ἡ εἰσδῦσαν γυναῖκες τῷ σῷ Σταυρῷ, κρατυνθεῖσαι Χριστὲ παντοδύναμε, καὶ τοῦ ἐχθροῦ, χάραν πολυμήχανον ἀνδρικῶς, Λόγε Θεοῦ συνέθλασαν, καὶ τοῦ Παραδείσου χαρμονικῶς, τὴν οἴκησιν λαχοῦσαι, θεώσεως μετέχον, ἐπιτηδείως ἀνυμνοῦσαί σε.

Θεοτοκίον.

Φορέσαντά σε σάρκα ἐκ Γυναικὸς, ὡς ἐπέγνω ἡ Μάρτυς σου Κύριε, παρθενικαῖς, κατηγλαϊσμένη μαρμαρυγαῖς, καὶ Μαρτυρίου αἵματι, περιηνθισμένη σοι τῷ Χριστῷ, ὀπίσω τῆς Μητρός σου, ἐνδόξως προσηνέχθη, ὡς Βασιλεύοντι τῆς Κτίσεως.

Ἄλλος. Κυρίως Θεοτόκον.

Ἰδεῖν κατηξιώθης, Πάτερ θεοφόρε, τὰ δι' ἐλπίδος σοι πάλαι ποθούμενα, ἃ ὀφθαλμὸς οὐ κατεῖδε, καὶ οὓς οὐκ ἤκουσεν.

Ὡραῖος ἀπεφάνθης, θείαις ἀγλαΐαις, τῶν ἀρετῶν διαλάμπων Ἀβράμιε, καὶ τῷ τῶν ὅλων Δεσπότῃ, χαίρων παρέστασαι.

Συνήφθης ταῖς χορείαις, πάντων τῶν Ὁσίων, καὶ σὺν αὐτοῖς τῆς θεώσεως Ὅσιε, ἐπιτυχὼν ἱκετεύεις, εἰς τὸ σωθῆναι ἡμᾶς.

Ἡμέραν εὐφροσύνης, ἄγει χαρμοσύνως, τὴν ἱερὰν σου Ἀβράμιε κοίμησιν, ἡ Ἐκκλησία τιμῶσα, τὴν πολιτείαν σου.

Θεοτοκίον.

Φιλάγαθε Παρθένε, τὴν κεκακωμένην, τῇ ἁμαρτίᾳ ψυχήν μου ἀγάθυνον. καὶ ἀγαθῶν αἰωνίων, μέτοχον ποίησον.

Ὁ Εἱρμός. Κυρίως Θεοτόκον.

Ἐξαποστειλ. Τῆς Ἁγίας. Ὁ Οὐρανὸν.

Ἡ ὁμοζύγων τὸ κλέος, καὶ ὡραιότης Μαρτύρων, Ἀναστασία ὤφθης, ἐν παρθενίᾳ ἀσκοῦσα, καὶ καρτερῶς ἐναθλοῦσα, ὑπὲρ Χριστοῦ τῆς ἀγάπης.

Ἕτερον τοῦ Ὁσίου. Τοῖς Μαθηταῖς.

Ὡς ἐλυτρώσω Ὅσιε, τῷ Θεῷ καὶ Σωτῆρι, ἐκ πλάνης κακοδαίμονας, σύστημα δυσσεβούντων, Ἀβράμιε θεοφόρε, καὶ τὴν πάλαι πεσοῦσαν, εἰς ἀπωλείας βάραθρον.

Digitized by Google

θρον. καὶ ἡμᾶς ταῖς εὐχαῖς σου, ῥῦσαι πολλῶν, πειρασμῶν καὶ θλίψεων καὶ κινδύνων, τοὺς πόθῳ ἐκτελοῦντας σου, τὴν σεβάσμιον μνήμην. Σταυροθτ. Ὅμοιον.

Ἡ θεοφεγγὴς Παράδεισος, ὤφθης ἔχουσα μέσον, ξύλον ζωῆς τὸν Κύριον, ἄχραντε Θεοτόκε, δι' οὗ φαγόντες οὐκ ἔτι, τεθνηξόμεθα ὅλως, ἀλλὰ ζωὴν ἀμείνονα, διὰ σοῦ ζῶμεν πάντες, τὸ τοῦ Σταυροῦ, ὅπλον περιφέροντες καὶ νικῶντες, τὸν ἀποστάτην Τύραννον, σὲ ὑμνοῦντες Παρθένε.

Εἰς τὸν σ. σ. τῆς Ὀκτωήχου.

Εἰ βούλει δὲ καὶ τὰς ἀναγνώσεις ποίησον ἐκ τοῦ βίου τῶν Ἁγίων. Εἰς τὴν Λειτουργίαν, τὴν πᾶσαν Ἀκολουθίαν. Ζήτει εἰς Μάρτυρας καὶ εἰς Ὁσίους.

## Τῷ αὐτῷ Μηνὶ Λ'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Ζηνοβίου, καὶ Ζηνοβίας τῆς Ἀδελφῆς αὐτοῦ. σ. Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Μαρτυρίου ἐν αἵματι, τὴν στολήν σου Ζηνόβιε, ἐπιχρώσας ἔνδοξε ἀπετέλεσας, ἱερωτέραν ἐν χάριτι. μεθ' ἧς εἰσελήλυθας, ὡς σοφὸς Ἀρχιερεὺς, τῶν Ἁγίων εἰς Ἅγια, θῦμα ἄμωμον, διὰ σὲ τῷ τυθέντι καὶ τελεία, προσφορὰ καθαρωτάτη, ἀνενεχθεὶς ἱερώτατε.

Ξεομένου τοῦ σώματος, τῆς ψυχῆς τὸ λαμπρότατον, κάλλος διεδείκνυσο ἀξιάγαστε, Ἱερομάρτυς λαμπρότερον, θεόφρον Ζηνόβιε, Ἱερέων καλλονὴ, Ἀθλοφόρων τὸ καύχημα, τῶν θαυμάτων τε, ἡ ἀέναος βρύσις τῶν πνευμάτων, ἀκαθάρτων ὁ διώκτης, καὶ βραβευτὴς τῶν ψυχῶν ἡμῶν.

Συναθλεῖν σοι προήρηται, ἀδελφὴ συμφρονοῦσά σοι, Ζηνοβία πάνσοφε ἡ ὁμαίμων σου. τὰ τῶν λεβήτων γὰρ βράσματα, ἀνδρείως ὑπέφερε, τοῦ πυρὸς τὴν ἀπειλὴν, καὶ τὸν βίαιον θάνατον. ὅθεν ἔτυχε, μετὰ σοῦ τῶν στεφάνων, τῶν τῆς νίκης, καὶ τῆς ἄνω Βασιλείας, Ἱερομύστα Ζηνόβιε.

Δόξα. Ἦχος Πλ. β'.

Ἰωάννου Μοναχοῦ. οἱ δὲ τοῦ Στουδίτου.

Ἀσματικὴν χορείαν, κροτήσωμεν σήμερον ὦ φιλομάρτυρες, ἐπὶ τῇ μνήμῃ τῶν πανευσεβῶν Ἀθλητῶν, Ζηνοβίου καὶ Ζηνοβίας. οὗτοι γὰρ τῆς Τριάδος γεγόνασιν ὑπέρμαχοι. καὶ ἐν σταδίῳ ἀνδρείως, τὸν ἀόρατον ἐχθρὸν, ἐν τῷ σεπτῷ αὐτῶν αἵματι ἀπέπνιξαν, καὶ τὸν τῆς νίκης στέφανον, ἐνδόξως ἐκομίσαντο. διὸ πρὸς αὐτοὺς ἀναβοήσωμεν· ζεῦγος ἅγιον Κυρίῳ, εὐλογημένη δυὰς καὶ πεφωτισμένη, τὸν Σωτῆρα πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τριήμερος ἀνέστης Χριστέ.

Ἀντίληψις καὶ σκέπη μου, ὑπάρχεις Παναμώμητε. Θεοτόκε, σὲ γὰρ ἔχω βοηθὸν, ἐν θλίψεσι καὶ νόσοις, καὶ ταῖς στενοχωρίαις, καὶ σὲ δοξάζω τὴν ἀμώμητον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν ξύλῳ τὴν ζωὴν ἡμῶν, ὁρῶσα ἡ Παναμώμος, Θεοτόκος κρεμαμένην Μητρικῶς, ὠδύρετο βοῶσα, Υἱέ μου καὶ Θεέ μου, σῶσον τοὺς πόθῳ ἀνυμνοῦντάς σε.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. Κανόνες τῆς Ὀκτωήχου δύω. καὶ τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς.

Ἰωσήφ. Ὠδὴ α'. Ἦχος Πλ. δ'.

Ἆσμα ἀναπέμψωμεν.

Θρόνῳ παριστάμενος Θεοῦ, ὡς ἱερεὺς εὐπρόσδεκτος, καὶ μάρτυς ἀήττητος, Ζηνόβιε τρισμάκαρ, τοὺς πόθῳ τιμῶντάς σου, μνήμην τὴν φωτοφόρον, τῶν τοῦ βίου λύτρωσαι σκανδάλων.

Αἴγλῃ φωτιζόμενος σοφὲ, τῆς Τρισηλίου λάμψεως, σκότος διέλυσας, Ἑλλήνων δυσφημίας, καὶ φέγγει τῶν λόγων σου πάντας καταφωτίσας, νῦν μετέβης πρὸς ἄδυτον φέγγος.

Ἄνθραξ δεδειγμένος νοητὸς, πυρὶ προσαναπτόμενος, τοῦ Θείου Πνεύματος, ἀπάντων τὰς καρδίας, ὑφῆψα πρὸς ἔρωτα, θεῖον Ἱερομύστα, καὶ τὴν πλάνην, κατέφλεξας πᾶσαν. Θεοτοκίον.

Χαίροις ὁ πανάγιος Ναὸς, ὁ πόκος ὁ θεόδροσος, ἐσφραγισμένη πηγὴ, τοῦ ἀθανα-



Digitized by Google

θαμάτων ῥεῖθρα· τὴν ποίμνην σου Δέσποινα, φύλαττε ἐκ παντοίων, πολεμίων ἀπολιόρκητος.

Ὠδὴ γ΄. Τὸν φόβον σου Κύριε.

Τῷ μύρῳ τῆς χρίσεως τοῦ Πνεύματος, κεχρισμένος Ζηνόβιε, ἱεράτευσας ὡς Ἄγγελος, Μαρτύρων ἐπὶ τέλει, κοσμηθεὶς στεφάνοις.

Ψυχῶν ἐπιμέλειαν δεξάμενος, γεωργία θείου Πνεύματος, καρποφόρους ταύτας ἔδειξας. διὸ τῆς τοῦ Κυρίου χαρᾶς ἠξιώθης.

Ὁμαίμων σοι σύμφρων ἀναδέδεικται, Ζηνοβία Ζηνόβιε. συναθλεῖν γάρ σοι προῄρηται, καὶ σὺν σοὶ ἀπολαύειν, τῆς ἐνθέου δόξης.

Θεοτοκίον.

Τριάδος τὸν ἕνα ἀπεκύησας, τὸν ἀνθρώπινον φορέσαντα, Παναγία Μητροπάρθενε. ὃν αἴτησαι σωθῆναι, τοὺς σὲ ἀνυμνοῦντας.

Ὁ Εἱρμός. Τὸν φόβον σου Κύριε.

Καθ. Ἦχος Πλ. δ΄. Τὴν Σοφίαν.

Τὴν σοφὴν ξυνωρίδα τῶν Ἀθλητῶν, εὐφημήσωμεν πίστει μαρτυρικῶς, Ζηνόβιον ἅπαντες, τὸν ἀήττητον Μάρτυρα, Ζηνοβίαν ὡσαύτως, τὸ ζεῦγος τὸ τίμιον, ὡς κρατῆρας θεῖα, προχέοντας νάματα· ὅθεν αἰτήσεως, καθ᾽ ἑκάστην ἀντλοῦμεν, πιστῶς τὰ ἰάματα, εὐσεβῶς ἀνακράζοντες, Ἀθλοφόροι πανεύφημοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ.

Θεοτοκίον. Ὅμοιον.

Ἀσθενείᾳ βαρείᾳ περιπεσὼν, καὶ δεινῶς ἐν τοῖς πόνοις κατακαμφθεὶς, οὐ φέρω τὸν καύσωνα, τῆς δεινῆς ῥαθυμίας μου. ἀλλ᾽ ὁ εἰδὼς ἑκάστου, Σωτὴρ τὴν ἀσθένειαν. καὶ ὡς Πατὴρ παιδεύων, τοὺς γνώμῃ σοι πταίσαντας, σύ με ἐξανάστησον. δυνατὸς γὰρ ὑπάρχεις, ἰᾶσθαι νοσήματα, τῶν ψυχῶν καὶ σωμάτων ἡμῶν, ἵνα πάντοτε κραυγάζωμεν· μεγάλα σου τὰ ἔργα Σωτὴρ, φοβερὰ τὰ θαυμάσια. λυτρῶσαι γὰρ πιστοὺς ἐξ ἀνάγκων, ταῖς πρεσβείαις τῆς μόνης Θεόπαιδος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν τῷ ξύλῳ ὁρῶσα τῷ σταυρικῷ, ἡ Πανάμωμος Μήτηρ τὸν Λυτρωτὴν, ἐθρήνει κραυγάζουσα, καὶ πικρῶς ἀπεφθέγγετο, καὶ συνοχῇ καρδίας, τὰς κόμας ἐσπάραττε, καὶ πρὸς αὐτὸν ἐβόα. Υἱέ μου καὶ Κύριε, πῶς σε ἀνομώτατος, Ἑβραίων δῆμος, ἀδίκως προσεπήγνυσι, τῷ Σταυρῷ ἀναμάρτητε; πῶς καὶ θέλων ὑφίστασαι, τοῦ προσώπου ῥαπίσματα, ὄξος καὶ τὴν τρῆσιν πλευρᾶς, χολήν τε οἴμοι καὶ ἥλους μακρόθυμε; ἀλλὰ δόξα τοῖς Θείοις σου Πάθεσι.

Ὠδὴ δ΄. Ἐπέβης ἐφ᾽ ἵππους.

Ὑψώθης ἐφάψης, ἄθλοις σεπτοῖς ὡραιότατος, καὶ ἐδέξω στεφάνους τῆς νίκης σοφὲ, καὶ αἰωνίου ἔτυχες ἀγαλλιάσεως. διό σε εὐφημοῦμεν, Μάρτυς Ἱεράρχα Ζηνόβιε.

Τὸν ξύλῳ τανθέντα, ἑκουσίως μιμούμενος, ἀνηρτήθης ἐξέσθης Ζηνόβιε, καὶ τῆς φθορᾶς μακάριε, καὶ τῆς νεκρώσεως, ἀπεδύθης τὸ πάχος, ἄφθαρτον στολὴν ἐνδυσάμενος.

Ἐυχῇ σου ἑδραία, τὰ τῶν δαιμόνων ἱδρύματα, κατεπτώθη. ναοὶ δὲ ἐρράγησαν, ἀρραγεστάτῃ πίστει σου ἀφανιζόμενοι, Ζηνόβιε μάκαρ, Ἱερομαρτύρων τὸ καύχημα.

Θεοτοκίον.

Τῷ ξένῳ σου τόκῳ, τοὺς ἐκ Θεοῦ ξενιτεύσαντας, ἐν αὐτῷ οἰκειώσω πανύμνητε. μεγαλοφώνως, ὅθεν σε πίστει δοξάζομεν, καὶ κραυγάζομεν χαῖρε, πάντων γηγενῶν τὸ διάσωσμα.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ἡ τοῦ θήλεως φύσις, Πνεύματι νενεύρωται Θείῳ καὶ ἤχωε, τὸν τὴν Εὔαν πάλαι, τὴν Προμήτορα ἐξαπατήσαντα, καὶ τῆς θείας δόξης, ἐν Οὐρανοῖς κατηξιώθη, Ζηνοβία τοῖς ἄθλοις ἐκλάμψασα.

Ὀμβροτόκος νεφέλη, γέγονεν ἡ γλῶσσά σου ὡς ὑετίζουσα, εὐσεβείας ὄμβρους, καὶ πιστῶν τὰς καρδίας ἀρδεύουσα, καὶ πρὸς εὐκαρπίαν, τὰς διανοίας ὁδηγοῦσα, ἐναρέτων Ζηνόβιε πράξεων.

Παρθενίας ἀκτῖσι, τῆς φιληδονίας τὸ σκότος ἐμείωσας, καὶ φωτὶ τῶν ἄθλων, ἀθείας τὴν νύκτα ἠφάνισας, Ζη-



Digitized by Google

νοβία Μάρτυς, τοῦ Ἰησοῦ ὡραία νύμφη, καταγώγιον θεῖον τοῦ Πνεύματος.

Θεοτοκίον.

Ἁμαρτίας βαρέα, πάντοτε περίκειμαι φορτία ἄχραντε, καὶ βοῶ σοι τούτων, μεσιτείᾳ με θείᾳ ἐλάφρυνον. σὺ γὰρ εἶ προστάτις, ἁμαρτωλῶν δεδοξασμένη, Λυτρωτὴν καὶ Σωτῆρα κυήσασα.

Ὠδὴ ϛ'. Τὴν δέησιν ἐκχεῶ.

Ἡ δέησις τῆς ἐνθέου ψυχῆς σου, προσεδέχθη ὡς θυμίαμα Πάτερ. εἰς γὰρ ὀσμὴν, εὐωδίας παμμάκαρ, τῶν παθημάτων, Ζηνόβιε ἐσπούδασας, τοῦ λάμψαντος ἐκ γυναικὸς, καὶ τὴν σύμπασαν Κτίσιν φωτίσαντος.

Τῷ αἵματι τῆς ἀθλήσεως Μάρτυς, καθηγίασας τὴν γῆν, τὸ δὲ πνεῦμα, ἐν Οὐρανοῖς, ἀνελθὸν πρωτοτόκων, τὴν Ἐκκλησίαν ἐνθέως ἐφαίδρυνε, Ζηνόβιε Ἱεραρχῶν, καὶ Μαρτύρων περίβλεπτον καύχημα.

Ἐστένωσας τὴν ἀσέβειαν μάκαρ, πλατυσμῷ τῆς ἀληθοῦς εὐσεβείας, καὶ τὰς ὁδοὺς, τὰς εἰς ταύτην φερούσας, τοῖς πλανωμένοις λαοῖς καθυπέδειξας, καὶ ἔσωσας τοὺς χαλεπῶς, θαλαττεύοντας πλάνης τοῖς ὕδασιν.

Θεοτοκίον.

Ὡραΐωσον τὴν ψυχήν μου Παρθένε, ἀμορφίᾳ τῶν παθῶν κρατουμένην, καὶ λογισμοῖς, ἀληθοῦς μετανοίας, τὴν ταπεινήν μου καρδίαν ὀχύρωσον, καὶ σῶσόν με τὸν ἐπὶ σοὶ, ἀδιστάκτως Ἁγνὴ καταφεύγοντα.

Ὁ Εἱρμός.

„ Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ
„ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις,
„ ὅτι κακῶν, ἡ ζωή μου ἐπλήσθη, καὶ ἡ
„ ψυχή μου τῷ ᾅδῃ προσήγγισε. καὶ δέομαι
„ ὡς Ἰωνᾶς, ἐκ φθορᾶς ὁ Θεὸς με ἀνάγαγε.

Κοντάκιον. Ἦχος πλ. δ'. Ὡς ἀπαρχάς.

Τῆς ἀληθείας Μάρτυρας, καὶ εὐσεβείας κήρυκας, τὴν δυάδα ἀξίως τιμήσωμεν, ἐν θεοπρεπέσιν ᾄσμασι, τὸν Ζηνόβιον ἅμα καὶ τὴν σοφὴν Ζηνοβίαν, ὁμοῦ βιώσαντας καὶ συναθλήσαντας, διὰ τοῦ Μαρτυρίου δεξαμένους στέφος ἄφθαρτον.

Ὁ Οἶκος.

Τὸν γενναῖον καὶ μέγαν Ζηνόβιον, ἐν ᾀσμάτων ᾠδαῖς εὐφημήσωμεν, σὺν αὐτῷ τὴν Παρθένον καὶ ἄσπιλον Ζηνοβίαν. ὑπάρχει γὰρ συναθλος. οὗτοι καθεῖλον ἐχθροῦ φρυάγματα, τὴν δὲ πίστιν Χριστοῦ κατεστήρωσαν. διὸ περιφανῶς ἐκομίσαντο οὐρανόθεν ἀξίως παρὰ Θεοῦ, Στέφος ἄφθαρτον.

Τῷ αὐτῷ Μηνὶ Λ'. Τῶν Ἁγίων Μαρτύρων καὶ αὐταδέλφων, Ζηνοβίου, καὶ Ζηνοβίας.

Στ. Συγκαρτερεῖ σοι Ζηνόβιε τὸ ξίφος.
Ἡ καρτερόφρων κἂν γυνὴ Ζηνοβία.
Τμηθὴ Ζηνοβίη καὶ ἀδελφεὸς ἐν τριακοστῇ.

Οὗτοι ὑπῆρχον ἐπὶ τῆς Βασιλείας Διοκλητιανοῦ, εὐσεβῶν γεννητόρων τέκνα, καὶ ὁ μὲν Ζηνόβιος συλληφθεὶς, παρέστη τῷ Ἡγεμόνι. ὡς δὲ ἠρωτᾶτο, ἐπέδωκεν ἑαυτὴν ἡ ἀδελφὴ αὐτοῦ Ζηνοβία. τύπτονται οὖν ἀμφότεροι, καὶ εἰς λέβητα πίσσης ἐμβάλλονται. διατηρηθέντες οὖν τῇ τοῦ Χριστοῦ χάριτι ἀβλαβεῖς, τὴν διὰ ξίφους δέχονται τελευτήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Μελιτινῆς. Καὶ τοῦ Ἁγίου Μαρκιανοῦ Ἐπισκόπου Συρακούσης, Μαθητοῦ τοῦ Ἁγίου Ἀποστόλου Πέτρου.

Στ. Χριστοῦ τὸν εὔνουν Μαρκιανὸν οἰκέτην.
Διὰ βρόχου κτείνουσιν οἱ Χριστοκτόνοι.

Οὗτος χειροτονηθεὶς ὑπὸ Πέτρου τοῦ Ἀποστόλου, ἀπεστάλη ἐν Συρακούσαις τῆς Σικελίας. ὃς τοὺς τῶν εἰδώλων ναοὺς ἀρχῆ καταστρεψάμενος, καὶ πολλοὺς πρὸς τὴν ἀλήθειαν ἐπαναγαγὼν, καὶ σημείοις καὶ τέρασι καταπλήξας, Υἱοὺς φωτὸς ἀπειργάσατο. ὅθεν φθόνῳ βαλλόμενοι οἱ Ἰουδαῖοι, μὴ ἐνεγκόντες τὴν παρρησίαν αὐτοῦ, κτείνουσιν αὐτὸν θανάτῳ βιαίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων Ἀλεξάνδρου, Κρονίωνος, Ἰουλιανοῦ, Μακαρίου, καὶ ἑτέρων δέκα καὶ τριῶν.

Στ. Σὺν Ἀλεξάνδρῳ τῆς Τιτάνου τὸ ζέον.
Φέρει Κρονίων, Υἱὸν οὐ σέβων Κρόνου,
Ἰουλιανὸς καὶ Μακάριος ξίφει,



Digitized by Google

Ζωὴν ἐφεῦρον τὴν μακαριωτάτην.
Οἱ πῦρ ἀναφθὲν, ἢ ξίφος δεχθέντες Λόγε,
Δὶς πέντε καὶ τρεῖς ἄνδρας ἐκ σοῦ χωρίσει.

Οὗτοι οἱ Ἅγιοι ἤθλησαν ἐπὶ Δεκίου Βασιλέως ἐν Ἀλεξανδρείᾳ. πρῶτος δὲ Ἀλέξανδρος ἀναχθεὶς, καὶ μὴ δυνάμενος στῆναι ὀρθὸς, διὰ τὸ ποδαλγίαν νοσεῖν, σὺν Κρονίωνι οἰκείῳ αὐτοῦ ὄντι, καμήλοις ὀχούμενος, διὰ μέσης θεατρίζονται, καὶ μετεώρως μαστιχθέντες, τέλος, ἀσβέστου ζέοντος κατ' αὐτῶν ἐκχυθέντος, τὰ πνεύματα τῷ Κυρίῳ παρέδωκαν. Ἰουλιανὸς δὲ καὶ Μακάριος, μετὰ πολλὰς τιμωρίας τὰς κεφαλὰς ἀποτέμνονται. τῶν δὲ λοιπῶν δεκατριῶν, οἱ μὲν ξεσθέντες διαφόρως, οἱ δὲ καυθέντες, οἱ δὲ ξίφεσιν ὑποβληθέντες, καὶ τὴν Πίστιν αὐτῶν μὴ προδόντες, ἅπαντες τὸν διὰ Μαρτυρίου στέφανον ἠνέγκαντο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ἁγίας Μάρτυρος Εὐτροπίας.

Στ. Τὴν Εὐτροπίαν οἷα νύμφην λαμπάδες,
Προὔπεμπον οἴκῳ τοῦ νοητοῦ Νυμφίου.

Αὕτη διεβλήθη τῷ Ἡγεμόνι Ἀπελλιανῷ ὡς Χριστιανὴ, καὶ ὡς ἀσχολουμένη ἐν ταῖς φυλακαῖς, καὶ περιποιουμένη τοὺς ἐναποκλείστους Ἁγίους. καὶ ἐν πρώτοις μὲν κρεμασθεῖσα, λαμπάσι κατεφλέχθη. ἐλογίζετο δὲ τὴν φλόγα ὡς ὕδωρ, καὶ διεβεβαίου τοῖς πᾶσιν ἄνδρα ὁρᾶν φοβερὸν, καταψύχοντα καὶ δροσίζοντα ταύτην, ὃν καὶ οἱ στρατιῶται ἔβλεπον. εἶθ' οὕτω σφοδροτέρως κολασθεῖσα, ἐν αὐταῖς ταῖς βασάνοις, παρέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Ἀποστόλου Κλεώπα, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωσὴφ Πατριάρχου Κωνσταντινουπόλεως, καὶ τῶν Ἁγίων Μαρτύρων, Ἀστερίου, Κλαυδίου, Νέωνος, καὶ τῆς ἀδελφῆς αὐτῶν Νεονίλλας.

Στ. Κλαύδιος Ἀστέριος, ἀλλὰ καὶ Νέων,
Ἄθλων ξίφους ὤφθησαν ἀστέρες Νέοι.
Ἐπὶ ξύλου ταθεῖσα καὶ Νεονίλλα,
Ξύλου παλαιὰν ἐξερεύγεται βλάβην.

Ἐν ὑπατείᾳ Διοκλητιανοῦ τὸ πρῶτον, ἡγεμονεύοντος Λυσίου τῆς Κιλικίας, ἦσαν οἱ Ἅγιοι οὗτοι Χριστιανοὶ, ἀλλὰ δὲ καὶ αὐτάδελφοι, ἅμα οἰκοῦντες, καὶ χρήματα ἔχοντες ἱκανά. Τῆς οὖν Μητρὸς αὐτῶν τελευτησάσης, ἔσχον Μητρυιάν. καὶ μετὰ ταῦτα τελευτήσαντος καὶ τοῦ Πατρὸς, σπεύδουσα ἡ Μητρυιὰ ἀποκερδῆσαι τῶν γονέων αὐτῶν τὰ πράγματα, προδέδωκεν αὐτοὺς τῷ Ἡγεμόνι ὡς Χριστιανούς. οἱ δὲ νέοι ἀνακρινόμενοι, εἶπον τῷ Ἡγεμόνι· ἡμεῖς μὲν ἤδη καταφρονοῦμεν πάντων ὦ Ἡγεμὼν, καὶ ἕνεκα τῆς Πίστεως ἡμῶν, πᾶν ἐπελθὸν ἡμῖν ὑπομένομεν. ἡ δὲ εἰς τὸν τόπον τῆς Μητρὸς ἡμῶν ἐκλεγεῖσα οὐ καλῶς, οὐ τὴν θρησκείαν ἡμῶν διεκδικοῦσα, παρέστησε τῷ βήματί σου, ἀλλὰ τὴν Πατρῴαν ἡμῶν καὶ Μητρῴαν κληρονομίαν σπεύδουσα ἐναποκερδῆσαι πολλὴν οὖσαν. Ταῦτα ἀκούσας ὁ Ἡγεμὼν, τοῦ αὐτοῦ ἐφάνη καὶ οὗτος γενόμενος σκοποῦ, ἰδίῳ δικαίῳ. καὶ εὐθέως τὸν Κλαύδιον σύραντες ἐκ τεσσάρων, ῥάβδοις τὸν νῶτον αὐτοῦ κατέξαινον. εἶθ' οὕτως ἐξ ἄκρων τῶν χειρῶν κρεμασθεὶς, τοὺς πόδας τοῖς ἄνθραξιν ἐνεπυρίζετο, καὶ τὰς πλευρὰς πλήκτροις κατεχαράσσετο. καὶ ὀστράκοις ἀνατρίψαντες, κατέφλεξαν ἐν παπύροις. ὁ δὲ Ἅγιος, ὡς διόλου ἀκούων ἦν, θῦσον τοῖς θεοῖς, καὶ ἀπαλλάγηθι. ἅπαξ εἰπὼν, περὶ τῆς τοῦ Χριστοῦ μου Πίστεως, καὶ αὐτοῦ τοῦ θανάτου καταφρονῶ, ποίει ὃ θέλεις ἀπεκρίνατο. καὶ καταγαγόντες αὐτὸν ἀπὸ τοῦ ξύλου, τῇ φυλακῇ ἐναπέῤῥιψαν. τὸν δὲ Ἀστέριον παρέστησαν, πρὸς ὃν ὁ Λυσίας φησὶ, τί σου τὸ ὄνομα; καὶ ὡς σιωπῶν ἦν, θλασθῆναι τοὺς ὀδόντας αὐτοῦ προσέταξεν, ἀκούειν δὲ τὸν Ἅγιον διὰ τοῦ κήρυκος, θῦσον τοῖς θεοῖς. ὁ δὲ, ὃ βούλει ὦ Ἡγεμὼν ποιεῖν, ποίει ἀντέφησεν. ἐγὼ γὰρ οὐ πώποτε τὸν Χριστὸν καὶ Θεόν μου ἀρνήσομαι. τότε κρεμασθεὶς, κατεξέετο, καὶ ἀνθρακιᾶς ὑποστρωθείσης, οἱ πόδες αὐτοῦ κατεφλέγοντο· εἶτα ῥάβδοις μαστίξαντες, τῇ φυλακῇ παραδεδώκασι καὶ τὸν Νέωνα παρέστησαν. ὃς καὶ τί τὸ ὄνομα ἐρωτηθείς; ἔφη. εἰ τὸ ὄνομα βούλει

ὦ

Digitized by Google

ὦ Ἡγεμὼν μαθεῖν, Νέων καλοῦμαι, πλέον δὲ τούτου παρ' ἐμοῦ μὴ ἐλπίζῃς. αὐτάδελφος γὰρ ὢν τῶν πρὸ ἐμοῦ τιμωρηθέντων, διαιρεθῆναι ἀπὸ τούτων οὐ δύναμαι. ἀλλ' ὑπὲρ τῆς τοῦ Χριστοῦ μου ὁμολογίας ἤδη πρόκειμαί σοι, καὶ μὴ μέλλε ποιεῖν ὃ βούλει. Τότε τείναντες καὶ αὐτὸν, σφοδρῶς ἔτυψαν, ὑποστρώσαντες καὶ τοῖς ποσὶν αὐτοῦ ἄνθρακας. τύψαντες δὲ ἐπὶ πολλὰς ὥρας, τῇ φυλακῇ ἐναπέθεντο. καὶ τῇ ἑξῆς προκαθίσαντος τοῦ Λυσίου, παρέστησαν τὸν Ἅγιον Κλαύδιον. καὶ ὁ Λυσίας, εἰ σεαυτὸν νουθετήσας καὶ μεταβαλὼν, ἔφη, κρείττονος γέγονας λογισμοῦ, φράσον ἡμῖν. καὶ ὁ Ἅγιος· τολμηρότερός σοι παρίσταμαι ὑπὲρ τὴν χθὲς, ῥωμαλεώτερος, καὶ θαρσαλεώτερος ταῖς βασάνοις σου γεγονώς. καὶ εὐθέως τὰ ἄκρα τῶν χειρῶν καὶ τῶν ποδῶν αὐτοῦ, ἀσφαλῶς δήσαντες, ἀπηώρησαν. καὶ ἀρθρέμβολα καὶ χειρολάβους ἐνεγκόντες, τοὺς ἁρμοὺς τῶν χειρῶν καὶ τῶν ποδῶν αὐτοῦ διήρθρωσαν. καὶ μετὰ πολλὰς ὥρας τῆς ἀναρτήσεως, καταγαγόντες αὐτὸν ἡμιθανῆ, τῇ φυλακῇ παρέδωκαν. καὶ πρὸς τὸν Ἅγιον Ἀστέριον παραστάντα ἀπιδὼν ὁ Λυσίας, σὺ τί λέγεις ἔφη; ἐσκέψω θῦσαι τοῖς θεοῖς, καὶ ἀπαλλαγῆναι τῶν λοιπῶν τῶν βασάνων; καὶ ὁ Ἅγιος· ὁ Θεὸν εἰδὼς ἀληθινὸν, καὶ πᾶσαν ἔχων ἐν αὐτῷ τὰς ἐλπίδας, οὐ φροντίζει θανάτου, κἂν μυρίοις δεινοῖς περιπέσοι. Ὁ Λυσίας εἶπε· κρεμάσαντες αὐτὸν, τὰς πλευρὰς αὐτοῦ ξέσατε, καὶ τὰ ἄκρα τῶν χειρῶν καὶ τῶν ποδῶν ἀφαιρεθήτω. καὶ ὀβελίσκοις πεπυρωμένοις τοὺς μηροὺς αὐτοῦ καταφλέξατε. Τούτων οὕτω γινομένων, ὁ Ἅγιος δριμυτάτων αἰσθόμενος τῶν ὠδίνων, ἴδοι ὁ Θεὸς ἃ πράττεις δυσσεβέστατε διεβόησε, καὶ τὴν ἐκ σοῦ ἐκδίκησιν ἀξίαν ἀποτίσει. καὶ ὁ Ἄρχων, τοῦτον μὲν τῇ φυλακῇ ἀπορριφῆναι προσέταξε, τὸν δὲ ἕτερον εἰς ἐξέτασιν παραστῆναι. Ὡς οὖν παρέστη ὁ Ἅγιος Νέων, καὶ ὁ αὐτὸς πάλιν ἦν, τείναντες καὶ αὖθις, τοῖς βουνεύροις κατέξαινον, καὶ τὰς προτέρας πληγὰς ἐπαναξέσαντες, καὶ ἐν τραύμα τὸ ὅλον σῶμα ἀπαρτίσαντες, τῇ φυλακῇ ἐναπέρριψαν. Τότε καὶ τὴν τῶν Ἁγίων ἀδελφὴν Νεονίλλαν ἀχθῆναι ὁ Ἡγεμὼν ἐκέλευσε. καὶ ὡς καὶ ταύτην εὗρε στερεωτέραν πέτρας τῇ πρὸς Χριστὸν πίστει, τὸ πρόσωπον αὐτῆς τύπτεσθαι προστάσσει, τοὺς πόδας τε ἅμα δεθῆναι, καὶ τὰ πέλματα τῶν ποδῶν αὐτῆς λώροις καταικίζεσθαι. καὶ τούτων γινομένων, ἐκ τῶν ἄκρων χειρῶν δήσαντες ἀπηώρησαν. εἶτα τὴν κεφαλὴν ξυρίσαντες, καὶ ἐκ τεσσάρων τείναντες, λώροις ὠμοῖς κατέξαινον τὰς σάρκας αὐτῆς. μετὰ δὲ ταῦτα ὑπτίαν ἐν τῇ γῇ ἀπλώσαντες, ἀνθρακιὰν τεθείκασι κατὰ τῶν σπλάγχνων αὐτῆς ζέουσαν, καὶ τοῦ ζῆν διὰ ταύτης ἀπήλλαξαν. εἶθ' οὕτω τὸ τίμιον αὐτῆς σῶμα σάκκῳ ἐμβαλόντες, κατὰ μέσον τῆς θαλάσσης ἠκόντισαν. τοὺς δὲ Ἁγίους Κλαύδιον, Ἀστέριον, καὶ Νέωνα, ἔξω τοῦ τείχους καρατομήσαντες οἱ Στρατιῶται, βορὰν τοῖς θηρίοις ἔρριψαν. καὶ οὕτως ἐτελειώθησαν οἱ Ἅγιοι καὶ καλλίνικοι τοῦ Χριστοῦ Μάρτυρες, καὶ αὐτάδελφοι.

Τῇ αὐτῇ ἡμέρᾳ Τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, Τερεντίου, Μάρκου, Ἰούστου, καὶ Ἀρτεμᾶ.

Οὗτοι οἱ Ἅγιοι Ἀπόστολοι εἰσὶν ἐκ τῶν ἑβδομήκοντα, ἐν τῇ πρὸς Θεὸν πίστει πεφωτισμένοι. καὶ ὁ μὲν Τερέντιος, Ἐπίσκοπος γέγονε δεύτερος Ἰκονίου μετὰ Σωσίπατρον. καὶ τούτου τὸ ὑστέρημα ἀνεπληρώθη, καὶ τοὺς παραληφθέντας πάντας τῷ Ἁγίῳ Βαπτίσματι ἀνεκαίνισε, θαυματουργὸς ἐξαίσιος γεγονώς. ἔγραψε δὲ καὶ τὴν πρὸς Ῥωμαίους Ἐπιστολήν. Μάρκος δὲ ὁ τοῦ Βαρνάβα πρὸς ἀδελφοῦ ἀνεψιὸς, οὗ ὁ Ἀπόστολος ἐν ταῖς ἐπιστολαῖς μέμνηται, καὶ αὐτὸς, Ἀπολλωνιάδος Ἐπίσκοπος προεχείριστο. ἐξολοθρεύσας ἐν τῷ τῆς ἀληθείας κηρύγματι τὰ τῶν εἰδώλων σεβάσματα. Ἰοῦστος δὲ, ὁ καὶ Ἰησοῦς, Ἐλευθερουπόλεως Ἐπίσκοπος γέγονε, πάντας ἑλκύσας εἰς ἐπίγνωσιν τῆς ἀληθείας, τῷ λόγῳ τῆς διδασκαλίας αὐτοῦ. Ἀρτεμᾶς δὲ Λύστροις ἐπισκοπεῖ, πᾶσαν δαιμονικὴν λύσας στραγ-


Digitized by Google

γαλιαι, ὡς τοῦ Χριστοῦ δόκιμος ὑπηρέτης. οὗτοι ὑπὲρ τῆς εὐσεβείας ἀγωνισάμενοι, καὶ πειρασμοῖς οὐ τοῖς τυχοῦσι περιπεσόντες, ἐν εἰρήνῃ τὰ πνεύματα αὐτῶν τῷ Κυρίῳ παρέθεντο.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ἀπόστολος Ἀριστόβουλος, ἐν εἰρήνῃ τελειοῦται.

Στίχ. Ψυχὰς Ἀριστόβουλος ἀγρεύσας λόγῳ.
Θεῷ πρόσεισι, μισθὸν αἰτῶν τῆς ἄγρας.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Ῥείθροις αἱμάτων κατασβέσας, παναοίδιμε τὸ πῦρ τῆς ἀσεβείας, τῶν θαυμάτων ἡμᾶς ἑκάστοτε δροσίζεις, τῷ νιφετῷ Ζηνόβιε, τοὺς ἐν πίστει σε ὑμνοῦντας.

Θεῖον εἰς γνόφον ὑπεισδύνας, τὸν ἀθέατον ὡς θέμις ἐθεάσω, τὴν ψυχὴν καὶ τὸν νοῦν, φωτίζοντά σου μάκαρ. εὐσεβοφρόνως μέλποντα, ὁ Θεὸς εὐλογητὸς εἶ.

Μάρτυς ὁμαίμων συμφρονοῦσα, καὶ τὰ ὅσια συμπράττουσά σοι πόθῳ, τῆς ἐκεῖθεν χαρᾶς σὺν σοὶ καταξιοῦται, ἱερουργὲ Ζηνόβιε. μεθ' ἧς πίστει σὲ τιμῶμεν.

Θεοτοκίον.

Τόπος Παρθένε ἀνεδείχθης, ἁγιάσματος ἐξ οὗ Θεὸς ἐφάνη, ἁγιάζων ἡμᾶς τοὺς πίστει μελῳδοῦντας. Εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ὠδὴ η'. Οἱ θεοῤῥήμονες Παῖδες.

Οὐκ ἐδειλίασας ξίφος Ἱεράρχα, οὐκ ἐπτοήθης κινδύνους, οὐ κατεπλάγης τὸν θάνατον, ἀθανάτου σε δόξης δεικνύοντα μέτοχον.

Ἱερουργὸς μυστηρίων ἀνεδείχθης, καὶ σεαυτὸν ἱερατεύσας, θῦμα εὐῶδες γεγένησαι, καὶ τῆς ἄνω τραπέζης Ζηνόβιε ἄξιον.

Θαυματουργίαις ἐκλάμπων Ἱεράρχα, μαρτυρικὰς λαμπηδόνας περιφανῶς ἐναπέστραψας, καὶ τὸν ζόφον τῆς πλάνης εἰς τέλος ἐμείωσας.

Θεοτοκίον.

Τὸν ἀγεώργητον βότρυν συλλαβοῦσα, ἀναπηγάζοντα οἶνον Παρθενομῆτορ ἀφέσεως, τῶν παθῶν με τῆς μέθης, ἀπάλλαξον δέομαι.

Ὁ Εἱρμός.

„Οἱ θεοῤῥήμονες Παῖδες ἐν τῇ καμίνῳ, „σὺν τῷ πυρὶ καὶ τὴν φλόγα, κατα„πατοῦντες ὑπέψαλλον· εὐλογεῖτε τὰ ἔρ„γα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή.

Ἵστασο πρὸ δικαστικῶν, παναοίδιμε βημάτων τὴν σάρκωσιν, διαπρυσίῳ φωνῇ, ἀνακηρύττων τοῦ Παντοκράτορος, καὶ τὰ παθήματα αὐτοῦ, Σταυρόν τε καὶ θάνατον, καὶ τὴν Ἀνάστασιν. δι' ἧς ἔσωσεν ἡμᾶς ὡς φιλάνθρωπος.

Ὢ θαῦμα πῶς μετὰ σαρκὸς, τοὺς ἀσάρκους δυσμενεῖς ἐτροπώσατο, πῶς καταβέβληκε, δι' ἀσθενείας τὸν πολυμήχανον. πῶς Οὐρανίοις λειτουργοῖς, συνήφθη ὁ γνήσιος, ἀγωνισάμενος, ὁ Ζηνόβιος, ὃν νῦν μακαρίζομεν.

Σώματα Μάρτυρες σεπτοὶ, αἰκισμοῖς παντοδαποῖς παρεδώκατε, προσαποβλέποντες, τὴν δι' αἰῶνος μακαριότητα. ἀδελφικῇ γὰρ τῇ στοργῇ, ὁ θεῖος Ζηνόβιος, μαρτυρικαῖς καλλοναῖς, Ζηνοβίᾳ τῇ σεμνῇ λαμπρυνόμενος.

Ἡ μνήμη σήμερον ὑμῶν, φωταυγίᾳ λαμπομένη τοῦ Πνεύματος, πᾶσιν ἐπέλαμψε, θαυμάτων χάριν ἐναπαστράπτουσα. καὶ ἰαμάτων ποταμοὺς, πηγάζει ἑκάστοτε, ἣν ἑορτάζοντες, μακαρίζομεν ὑμᾶς Χριστομάρτυρες.

Θεοτοκίον.

Φώτισον πύλη τοῦ φωτὸς, τῆς καρδίας μου τὰ ὄμματα δέομαι, μακρὰν ἐλαύνουσα, τῆς ἁμαρτίας σκότος βαθύτατον, ἐκ τῆς ἀθλίας μου ψυχῆς· ἵνα μεγαλύνω σε, ἵνα πόθῳ σε ὑμνῶ τὴν Πανύμνητον.

Ὁ Εἱρμός.

„Ἔφριξε πᾶσα ἀκοὴ, τὴν ἀπόρρητον „Θεοῦ συγκατάβασιν, ὅπως ὁ Ὕψιστος „ἑκὼν, κατῆλθε μέχρι καὶ σώματος, Παρ„θενικῆς ἀπὸ γαστρὸς, γενόμενος ἄνθρω„πος. διὸ τὴν Ἄχραντον, Θεοτόκον οἱ „πιστοὶ μεγαλύνομεν.

Ἐξαπος. Γυναῖκες ἀκουτίσθητε.

Φοινίξας ἐρυθρότερον, τὴν ἱεράν σου αἵματι, στολὴν Ζηνόβιε μάκαρ, Χρι-

στῷ

Digitized by Google

τῷ παρίστασαι χαίρων, ὡς Ἱεράρχης ἔνθεος, ὑπὲρ ἡμῶν δεόμενος, καὶ μετὰ τῆς ὁμαιμόνος, τῆς Ἱερᾶς καὶ Παρθένου, καὶ Μάρτυρος Ζηνοβίας. Θεοτοκίον.

Ἡ κιβωτὸν καὶ τράπεζαν, Προφῆται προηγόρευσαν, στάμνον καὶ ῥάβδον καὶ ὄρος, καὶ τόμον ἐγγεγραμμένον, παλάτιον, καὶ κλίμακα, καὶ γέφυραν μετάγουσαν, εἰς ὕψος θείας γνώσεως. ἡμεῖς δέ σε Θεοτόκον, ἀξίως ἀνυμνοῦμεν.

Εἰς τὸν α΄. π. τῆς Ὀκτωήχου.

Εἰς τὴν Λειτουργίαν. Ζήτει εἰς Μάρτυρ.

## Τῷ αὐτῷ Μηνὶ ΛΑ΄.

Τῶν Ἁγίων Ἀποστόλων Στάχυος, Ἀμπλία, Οὐρβανοῦ, Ἀριστοβούλου, Ναρκίσσου, καὶ τοῦ Ἁγίου Μάρτυρος Ἐπιμάχου.

Στιχηρὰ τῶν Ἀποστόλων. Ἦχος α΄.

Παμεύφημοι Μάρτυρες ὑμᾶς.

Εἰς πᾶσαν ἐξέδραμε τὴν γῆν, ὑμῶν ὁ σωτήριος, φθόγγος Κυρίου Ἀπόστολοι, φέγγει τῆς χάριτος, καταυγάζων πάντων, τὰς καρδίας ἔνδοξοι, καὶ λύων τῆς ἀπάτης τὴν ζόφωσιν. διὸ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Στάχυς ὁ πανόλβιος Χριστοῦ, κήρυξ καὶ Ἀπόστολος, καὶ Ἀπελλῆς ὁ θαυμάσιος, καὶ Ἀριστόβουλος, Οὐρβανὸς Ἀμπλίας, καὶ ὁ θεῖος Νάρκισσος, Τριάδα Παναγίαν κηρύξαντες, ἔθνη ἐφώτισαν, καὶ δουλείας ἐλυτρώσαντο, οὓς ἐν πίστει, πάντες μακαρίσωμεν.

Φωστῆρες ὑπέρλαμπροι Χριστοῦ, σκεύη καθαρώτατα, ὅλην τὴν αἴγλην τοῦ Πνεύματος, πίστει χωρήσαντες. Ἐκκλησίας στῦλοι, Οὐρανοὶ περίδοξοι, τὴν δόξαν τοῦ Θεοῦ διηγούμενοι. αὐτῷ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἕτερα τοῦ Μάρτυρος. Ἦχος ὁ αὐτός.

Τῶν Οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων τὰ κάλλη, ποθήσας ἔνδοξε, τὴν τῶν προσκαίρων δόξαν, εἰς οὐδὲν ἐλογίσω. διὸ καὶ ἰσάγγελος, ἐν τῇ σαρκὶ, βιοτεύων ὡς ἄσαρκος, τὰς πολυτρόπους κολάσεις τῶν διωκτῶν, καρτερῶς φέρεις Ἐπίμαχε.

Ἐν οὐρανίαις παστάσι, χορεύων ἔνδοξε, καὶ ἐντρυφῶν τῆς δόξης, τοῦ τῶν ὅλων Δεσπότου, Ἐπίμαχε τρισμάκαρ, δυσώπει αὐτὸν, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε, ἵνα τρυφῆς αἰωνίου καὶ τῆς χαρᾶς, σὺν Ἀγγέλοις ἀπολαύσωμεν.

Φωστὴρ λαμπρότατος ὤφθης, Μάρτυς Ἐπίμαχε, τοῖς ἐν τῷ σκότει φαίνων, τῆς ἀγνοίας τῷ ζόφῳ, τοὺς πάλαι κρατουμένους, φωτίσας ταῖς σαῖς, ἱεραῖς παραινέσεσι. καὶ ἐναθλήσας μονίμως ὑπὲρ Χριστοῦ, νίκης Στέφανον ἀπείληφας.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Μεταβολὴν μοι τοῦ βίου, Παρθένε χάρισαι, ἀπὸ τῶν ἐμπαθῶν μου, μεταφέρουσα τρόπων, πρὸς θείας ἀπαθείας μεῦσιν ὁμοῦ, καὶ οἰκείωσιν ἄρρητον. πένθος χαρμόσυνον βρύειν μου τὴν ψυχὴν, ἀενάως μοι παρέχουσα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὑπὲρ ἡμῶν ὁ Υἱός σου παθεῖν ἠνέσχετο, ἵνα τῷ τούτου πάθει, τὴν ἀπάθειαν πᾶσι, παράσχῃ Θεοτόκε. ὅθεν αὐτὸν, καθικέτευε πάντοτε, παθῶν παντοίων με ῥύσασθαι καὶ ψυχῆς, καὶ τοῦ σώματος πρεσβείαις σου.

Ἀπολυτ. Ἦχος γ΄. Ἀπόστολοι ἅγιοι.

Καὶ τοῦ Μάρτυρος. Ὁ Μάρτυς σου Κύριε.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολ. Κανὼν τῆς Ὀκτωήχου, εἷς. καὶ τῶν Ἀποστόλων, εἷς. καὶ τοῦ Ἁγίου, εἷς. Ὁ Κανὼν τῶν Ἀποστόλων. Οὗ ἡ ἀκροστιχίς.

Πιστῶς ἐπαινῶ τοὺς Θεοῦ ὑπηρέτας.

Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος α΄.

Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Πίστει τοὺς γεραίροντας ὑμῶν, τὸ ἱερὸν θεηγόροι μνημόσυνον, καὶ πανηγυρίζοντας, χαρμονικῶς παθῶν ἀχλύος ῥύσασθε, καὶ τῆς αἰωνίου, χαρᾶς μετόχους ἐργάσασθε.

Ἰχνε-

Digitized by Google

Ἴχνεσιν ἑπόμενοι Χριστοῦ, τοῦ σαρκωθέντος δι' οἶκτον παμόλβιοι· ταῖς τούτου προστάξεσι, θεαρχικαῖς καθυπουργοῦντες ὤφθητε, πάντων πληρωμένων, καθηγηταὶ πρὸς εὐσέβειαν.

Στάχυν καὶ Ἀμπλίαν τὸν σοφὸν, καὶ Οὐρβανὸν Ἀπελλῆν τε καὶ Νάρκισσον, καὶ τὸν Ἀριστόβουλον, τοὺς τοῦ Χριστοῦ Μαθητὰς χρηματίσαντας, πίστει συνελθόντες, χρεωστικῶς μακαρίσωμεν. Θεοτοκίον.

Τὸ περιφανὲς Ὄρος Θεοῦ, τὴν κιβωτὸν τὴν ἁγίαν καὶ τράπεζαν, στάμνον τε τὴν πάγχρυσον, τὸ καθαρὸν τοῦ Κυρίου παλάτιον, τὴν εὐλογημένην, ἐν γυναιξὶ μακαρίσωμεν.

Ἕτερος Κανὼν τοῦ Ἁγίου, Ποίημα τοῦ αὐτοῦ Κυρίου Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος δ΄. Ἄσομαί σοι Κύριε.

Ταῖς θείαις λαμπρότησιν Ἀθλοφόρε, τοὺς τὴν φωσφόρον καὶ σεπτὴν, τελοῦντάς σου πανήγυριν, φωτίζεσθαι ἱκέτευε, Ἐπίμαχε μακάριε.

Χαίρων προσεχώρησας ταῖς βασάνοις, μὴ πτοηθεὶς τῶν διωκτῶν, τὰ θράση παμόλβιε· ἀλλ' ἔρωτι τοῦ Κτίστου σου, ηὐφραίνου ἀναιρούμενος.

Ὡς ἐπὶ βήματος Ἀθλοφόρε, τῇ πανοπλίᾳ τοῦ Σταυροῦ, φραττόμενος ὅλος, γενναίῳ φρονήματι, μεγαλύνων τὸν Κύριον. Θεοτοκίον.

Ἄσομαί σοι Κύριε ὁ Θεός μου, ὅτι ἀσπόρως ἐκ γαστρὸς Παρθένου, ἐτέχθης. δι' ἧς καὶ σώζεις ἅπαντας, ὡς μόνος πολυέλεος.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Ὡς στάχυς πολύφορος σοφὲ, ὡράθης λόγῳ γνώσεως, τοὺς τῷ λιμῷ τηκομένους τῆς Πίστεως, ἐκτρέφων Στάχυ θεομακάριστε, καὶ τροφῆς τῆς κρείττονος, κοινωνοὺς ἐν χάριτι, ἐργαζόμενος θείᾳ τοῦ Πνεύματος.

Σαγήνῃ τῇ γλώττῃ εὐφυῶς, χρησάμενος ἡλίευσας, ἐκ τοῦ βυθοῦ τῆς πλάνης Ἀπόστολε, καὶ προσηγάγου θεῖον ὀψώνιον, τῷ ἐλθόντι Νάρκισσε, σῶσαι τὸ πλανώμενον, Βασιλεῖ καὶ Δεσπότῃ τῆς Κτίσεως.

Ἐπέδραμες οἷάπερ ἀστὴρ, Ἑώας ἐξορμώμενος· καὶ Βρεταννίας Πόλεις ἐπέφθασας, Χριστοῦ κηρύττων τὸ Εὐαγγέλιον, καὶ φωτίζων χάριτι, μάκαρ Ἀριστόβουλε, τοὺς πιστῶς δεχομένους τὸν λόγον σου. Θεοτοκίον.

Παστὰς φωτοφόρος τοῦ Χριστοῦ, καὶ θρόνος ὑψηλότατος, Θεογεννῆτορ ὤφθης Πανάμωμε. ἐν σοὶ γὰρ μόνος ἀναπαυσάμενος, τοὺς ἡμῶν ἀφείλετο, κόπους καὶ τὴν μέλλουσαν, τοῖς ἀξίοις ηὐτρέπισεν ἄνεσιν.

Ἄλλος. Τόξον δυνατῶν.

Θράσος ἀσεβῶν ἠμαύρωσεν, ἐν τῇ παντευχίᾳ, τοῦ Σταυροῦ ἐγκαυχώμενος, τροπαιοῦχος καὶ στεφανίτης, τοῦ Χριστοῦ Μάρτυς Ἐπίμαχος.

Δόξαν παίδων τὴν πρόσκαιρον, καὶ πρὸς τοὺς ἀγῶνας, ἀποδυσάμενος ἔχαιρες, γενναιόφρων ὡς στρατιώτης, τοῦ Χριστοῦ Μάρτυς Ἐπίμαχε.

Σῶμα αἰκισμοῖς παρέδωκας, Μάρτυς τὴν ψυχήν σου, ἀσφαλῶς διετήρησας, θῦμα ἄμωμον τῷ Δεσπότῃ, σεαυτὸν προσάξας πάντιμον. Θεοτοκίον.

Χαίροις Μήτηρ ἀπειρόγαμε, ἡ Θεὸν Λόγον, ἐν γαστρί σου χωρήσασα, καὶ τεκοῦσα σεσαρκωμένον, ὡς Θεὸν ὁμοῦ καὶ ἄνθρωπον. Ὁ Εἱρμός.

„Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες, „περιεζώσαντο δύναμιν. διὰ „τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Εἰς ἅπασαν τὴν γῆν, ὁ σοφὸς ὑμῶν φθόγγος, ἐξῆλθεν ἀληθῶς, τοῦ Κυρίου αὐτόπται, Ἀπόστολοι ἔνδοξοι, Οὐρβανὲ σὺν Ἀμπλίᾳ τε, Ἀριστόβουλε, καὶ Ἀπελλῆ σὺν Ναρκίσσῳ, Στάχυ ἅμα τε, ὑπὲρ ἡμῶν τὸν Σωτῆρα, ἀπαύστως πρεσβεύσατε.

Δόξα. τοῦ Ἁγίου. Ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Ταῖς θείαις λαμπρότησι καλλωπιζόμενος, τὸ σκότος ἐμείωσας τῆς ἀθεΐας σοφὲ, ἀθλήσας δι' αἵματος. ὅθεν τὴν παναγίαν, καὶ φωσφόρον σου μνήμην, πίστει ἐπιτελοῦντες, αἰτούμεθα πάντες, λαβεῖν ἡμᾶς ἔλεος, Μάρτυς Ἐπίμαχε.



Digitized by Google

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἁγνὴ παναμώμητε καὶ ἀπειρόγαμε, ἡ μόνη τὸν ἄχρονον, Υἱὸν καὶ Λόγον Θεοῦ, ἐν χρόνῳ κυήσασα, τοῦτον σὺν τοῖς Ἁγίοις, καὶ σεπτοῖς Πατριάρχαις, Μάρτυσι καὶ Ὁσίοις, καὶ Προφήταις δυσώπει, δωρήσασθαι ἡμῖν, ἱλασμὸν καὶ μέγα ἔλεος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Παρθένε παναμώμητε, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθέ σου, τὴν παναγίαν ψυχήν, ἡνίκα σταυρούμενον, ἔβλεψας ἑκουσίως, τὸν Υἱὸν καὶ Θεόν σου. ὅνπερ εὐλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων, ἡμῖν δωρήσασθαι.

Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι.

Ἀστράψας ἐν γῇ δικαιοσύνης ὁ Ἥλιος, ὥσπερ ἀκτῖνας μυστικάς, προσεπαφῆκεν ἐμφανῶς, Στάχυν τε, καὶ Νάρκισσον, καὶ Οὐρβανὸν Ἀμπλίαν καὶ Ἀριστόβουλον, καὶ Ἀπελλῆν τοὺς ἐν σκότει φωτίζοντας.

Ἰσχύϊ τοῦ Θείου δυναμούμενος Πνεύματος, τοὺς κατοικοῦντας εἰς βυθόν, Υἱοὺς ἀπέδειξας φωτός, Ἀμπλία Ἀπόστολε, ἐπιτελῶν θαυμάτων ἔργα παράδοξα, καὶ καταργῶν τῶν δαιμόνων τὰς φάλαγγας.

Ναμάτων ἐνθέων πεπλησμένος ἐξέδραμες, καθάπερ ῥεῦμα Οὐρβανέ, σωτηριῶδες τὰ πικρά, καὶ ἄποτα νάματα, ἀποσοβῶν καὶ καταρδεύων ἐν χάριτι, τῶν ἀσεβούντων παμμάκαρ τὸ πλήρωμα.

Θεοτοκίον.

Ὡράθης Ἀγγέλων ὑπερέχουσα Δέσποινα. τὸν γὰρ ἐκείνοις φοβερόν, ἀνερμηνεύτως ἐν γαστρὶ χωρῆσαι ἠξίωσαι, καὶ ἐν χερσὶ βαστάσαι καθάπερ νήπιον, τὸν ἡμερῶν τε καὶ χρόνων ἐπέκεινα.

Ἄλλος. Τοὺς Οὐρανοὺς ἡ ἀρετή σου.

Τὴν τῶν ἀθέων μὴ φροντίσας ἀθεότητα, πρὸς τοὺς ἀγῶνας θαρσαλέως παρετάξατο, ὁ εὐκλεὴς Ἐπίμαχος, δόξα σοι κραυγάζων φιλάνθρωπε.

Τῇ ἐλπίδι τῶν μελλόντων ἀγαθῶν μαρυμένος, τῶν ἀλγηδόνων ἀνδρείως κατεφρόνησεν, ἀναβοῶν Ἐπίμαχος, δόξα τῇ δυνάμει σου Κύριε.

Τῶν ἐπιγείων καταπτύσας τὴν λαμπρότητα, διὰ θανάτου Βασιλείαν ἐκληρώσατο, ὁ θαυμαστὸς Ἐπίμαχος, δόξαν ἀναπέμπων τῷ ζῶντι Θεῷ. Θεοτοκ.

Χερουβικῶν ταγμάτων ὑπερέχουσα, καὶ Θεὸν ἐν ἀγκάλαις ἐποχούμενον, μετὰ σαρκὸς βαστάσασα, χαῖρε Θεοτόκε ἀνύμφευτε.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Τοῦ Ποιμένος, τοῦ καλοῦ τὰ ἀμώμητα πρόβατα, μέσον λύκων, ὑπ' αὐτοῦ προφανῶς ἀπεστάλησαν. τούτους τιθασεύοντες, καὶ εἰσελαύνοντες πρὸς μάνδραν, τὴν μονήτην διὰ Πίστεως.

Ὁ μέγας σε, Βυζαντίου Ἀνδρέας κατέστησεν, Ἐπίσκοπον τοὺς ἐκεῖσε, πιστοὺς ἐκδιδάσκοντα, Στάχυ Ἱερώτατε, καὶ κυβερνῶντα πρὸς λιμένας, τοὺς γαληνοὺς θείᾳ χάριτι.

Ὑπέρτιμον, ὥσπερ λίθον σε ἔχειν ἀκρόγωνον, Ἡρακλείας ἡ σεπτὴ Ἐκκλησία στηρίζοντα, Ἀπελλῆ μακάριε, ταύτην ἐν λόγῳ ἀληθείας. ὅθεν ἀξίως ὑμνοῦμέν σε. Θεοτοκίον.

Συνέλαβες, ὑπὲρ λόγον τὸν Λόγον καὶ ἔτεκες, πανύμνητε, ὃν Πατήρ, ἐκ γαστρὸς ἀπεγέννησε, πρὸ αἰώνων ἄχραντε. ὅθεν ὡς τούτου σε Μητέρα, χρεωστικῶς μακαρίζομεν.

Ἄλλος. Τὸν φωτισμόν σου Κύριε.

Θωρακισθεὶς τῇ χάριτι, τῷ ὅπλῳ τοῦ Σταυροῦ, τοῖς ἀσεβέσιν ἐβόα ὁ Μάρτυς, ξίφος οὔτε πῦρ οὐκ ἐκτεμεῖ με τῆς Χριστοῦ ἀγαπήσεως.

Ὁ εὐκλεὴς Ἐπίμαχος, βήματι παρεστώς, τοῖς ἀνόμοις ἐβόα εὐθαρσῶς· γῆν καὶ Οὐρανὸν Θεοὶ μὴ δρῶντες, ἀσεβεῖς ἀπολέσθωσαν.

Ὁ ἀθλητὴς Ἐπίμαχος, Θεόθεν ἐμπνευσθεὶς, Πατέρα Λόγον, καὶ Ἅγιον Πνεῦμα, φύσει ἐν μιᾷ, τοῖς ἀγνοοῦσι, τὴν Τριάδα ἐκήρυξε. Θεοτοκίον.

Τίς ἐξειπεῖν δυνήσεται, τοῦ τόκου σου Ἁγνή, τὸν ὑπὲρ λόγον παράδοξον τρόπον; φύσει γὰρ Θεόν, σεσαρκωμένον ὑπὲρ λόγον ἐκύησας.



Digitized by Google

Ὠδὴ ϛ'. Ἐκύκλωσεν ἡμᾶς.

Θαλάσσας τῶν ἐθνῶν διαταράξαντες, ταῖς θείαις ἐπιβάσεσι, διεσώσατε τοὺς πάλαι τῇ πικρᾷ, ἅλμῃ συμπνιγέντας καὶ προσήξατε, τῷ Λυτρωτῇ διασωθέντας θεομακάριστοι.

Ἐκλέως θελητὴν Θεὸν ἐκήρυξας, καὶ πλάνης ἠλευθέρωσας, θεῖε Νάρκισσε ψυχὰς τῶν εὐσεβῶν, μέγας γεγονὼς Ἀθηνῶν πρόεδρος, καὶ φυτουργὸς φυτῶν ὡραίων θεομακάριστε.

Ὁ θεῖος Οὐρβανὸς λόγον ζωῤῥύτον, καὶ χάριν τῶν ἰάσεων, ἀναβλύσας ἐφειλκύσατο λαοὺς, πρὸς τὸν φωτισμὸν τῆς θείας χάριτος, ὡς μιμητὴς τοῦ σαρκωθέντος, καὶ Κόσμον σώσαντος. Θεοτοκ.

Ὑμνοῦμέν σε δι' ἧς ἐδικαιώθημεν, οἱ πρότερον κατάκριτοι, καὶ συνήφθημεν αὐλοις λειτουργοῖς, καὶ τοῦ Παραδείσου ἠξιώθημεν, ἐν γυναιξὶν εὐλογημένη Θεοχαρίτωτε. Ἄλλος. Ἐβόησε, προτυπῶν.

Κατήργησε, τῶν εἰδώλων τὴν πλάνην Ἐπίμαχος, τῇ δυνάμει, τοῦ σαρκὶ Σταυρωθέντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ στεφάνους δόξης, ἀληθῶς παρ' αὐτοῦ ἐκομίσατο.

Κατέλιπε, τὰ ἐν Κόσμῳ καὶ Κόσμον Ἐπίμαχος, καὶ τὸ σῶμα, ταῖς βασάνοις ἀνδρείως παρέδωκεν, ὑπὲρ τοῦ Δεσπότου, καὶ σὺν τοῖς Ἀθλοφόροις ἀγάλλεται.

Κοινωνήσας, τῶν τοῦ Χριστοῦ παθημάτων Ἐπίμαχος, τῇ δυνάμει, τοῦ σαρκὶ Σταυρωθέντος Θεοῦ ἡμῶν, καὶ τῆς θείας δόξης, ὡς αὐτοῦ μιμητὴς ἀναδείκνυται. Θεοτοκίον.

Δυσώπησον, ὑπὲρ τῶν οἰκετῶν σου Θεόνυμφε, Θεοτόκε, τὸν ἐκ σοῦ σαρκωθέντα Θεὸν ἡμῶν. ὅτι σὲ καὶ μόνην, προστασίαν πιστοὶ ἐπιστάμεθα.

Ὁ Εἱρμός.

„ Ἐβόησε, προτυπῶν τὴν ταφὴν τὴν
„ τριήμερον. ὁ Προφήτης, Ἰωνᾶς ἐν
„ τῷ κήτει δεόμενος. ἐκ φθορᾶς με ῥῦσαι,
„ Ἰησοῦ Βασιλεῦ τῶν Δυνάμεων.

Κοντάκ. Ἦχ. β'. Τοῖς τῶν αἱμάτων σου.

Εἰς τὰ τοῦ Κόσμου δραμόντες πληρώματα, θεογνωσίας τὸν λόγον ἐσπείρατε. καὶ στάχυν πολύχουν δρεψάμενοι, Βασιλεῖ τῶν ἁπάντων προσήξατε. Ἀπόστολοι Χριστοῦ πανοίδιμοι. Ὁ Οἶκος.

Τῶν Ἀποστόλων τὴν μνήμην πάντες ὡς σωτηρίας ἡμέραν εὐφημήσωμεν νῦν, καὶ εὐσεβῶς μακαρίσωμεν. αὕτη καὶ γὰρ πάσῃ τῇ Οἰκουμένῃ, ὥσπερ Ἥλιος λάμπει, φωτὸς ἀκτῖσι πᾶσαν ἀχλὺν ἐκδιώκουσα. καὶ καταλάμπουσα τοὺς πόθῳ τούτων τὴν μνήμην ἐκτελοῦντας, καὶ πίστει γεραίροντας. διὸ προθύμως συνδράμωμεν, ἀνυμνοῦντες αὐτοὺς καὶ κραυγάζοντες, ἐκ τῶν κινδύνων ῥύσασθε ἡμᾶς, Ἀπόστολοι Κυρίου πανοίδιμοι.

Τῷ αὐτῷ Μηνὶ ΛΑ'. Τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα, Στάχυος, Ἀμπλία, Οὐρβανοῦ, καὶ Ναρκίσσου.

Στίχ. Στάχυς δρεπανῷ τῆς τελευτῆς ὡς στάχυς.
Ἐκ τοῦ παρόντος ἐκθερίζεται βίου.
Σιγᾷ στερήσει πνευμάτων ὡς κολάβων.
Ἡ τετράχορδος τῶν Ἀποστόλων λύρα.

Τούτων, ὁ μὲν Ἅγιος Ἀπόστολος Στάχυς προχειρίζεται τοῦ Βυζαντίου Ἐπίσκοπος παρὰ Ἀνδρέου τοῦ Ἀποστόλου. ᾠκοδόμησε δὲ καὶ Ἐκκλησίαν ἐν Ἀργυρουπόλει. ἐν ᾗ συνηθροίζοντο πλήθη Χριστιανῶν οὐκ ἀναρίθμητα, καὶ ἐδίδασκεν αὐτά. καὶ οὕτω διαβιοὺς ἐπὶ ἔτεσι δέκα ἕξ, ἐν εἰρήνῃ ἐκοιμήθη. ὁ δὲ Ἅγιος Ἀμπλίας, καὶ Οὐρβανὸς, Ἐπίσκοποι καὶ αὐτοὶ γεγονότες παρὰ τοῦ αὐτοῦ Ἀποστόλου Ἀνδρέου. ὁ μὲν Ἀμπλίας, Διοσπόλεως, ὁ δὲ Οὐρβανὸς, Μακεδονίας. καὶ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, καὶ τὴν τῶν εἰδώλων καθαίρεσιν, ὑπὸ Ἰουδαίων, καὶ Ἑλλήνων ἀναιρεθέντες, τὰς μακαρίας αὐτῶν ψυχὰς τῷ Θεῷ παρέθεντο. ὁ δὲ Νάρκισσος διαφόρως βασανισθεὶς, παρέδωκε καὶ αὐτὸς τὴν ψυχὴν τῷ Θεῷ, δι' ὃν καὶ τὸ αἷμα αὐτοῦ προθύμως ἐξέχεε.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἐπιμάχου.

Στίχ. Οὐ δειλὸς Ἐπίμαχος ὤφθη πρὸς ξίφος.
Ἀπροσμάχητον σύμμαχον Θεὸν φέρων.

Πρώ-

Digitized by Google

Πρώτῃ καὶ τριακοστῇ Ἐπιμάχου ἀυχμία κέρσαν.

Οὗτος λίαν ὡραῖος τὴν ὄψιν ἦν. καὶ ἐν τῷ ἀγρῷ τὴν οἴκησιν ἔχων, ἐκ Πόλεως τοῦ Πηλουσίου. διαβληθεὶς δὲ πρὸς τὸν Ἡγεμόνα Ἀπελλιανὸν, ἐν Ἀλεξανδρείᾳ πλῆθος Ἁγίων τιμωρουμένων, ἤδη τῆς θυσίας τελουμένης, δραμὼν ὁ Ἐπίμαχος, καταστρέφειν τὸν βωμὸν ἐπεχείρει. παραυτίκα οὖν ἐπὶ ξύλου ἀναρτᾶται. καὶ σιδηροῖς ὄνυξι ξέεται. καὶ λίθοις τὰ ὀστᾶ συνθλάττεται. γυνὴ δέ τις παρεστῶσα ἐκεῖσε, καὶ τὸν ἕνα ὀφθαλμὸν ἔχουσα πεπηρωμένον, ἐπείπερ τῷ Ἁγίῳ ἀκλινῶς ἐνητένιζε, μέγα τι καὶ ἀξιέραστον θαυματουργεῖται ἐν αὐτῇ. ξεομένου γὰρ τοῦ Μάρτυρος, μέρος τι τῶν ἐκείνου σαρκῶν ἐκεῖθεν ἀποσπασθὲν, διαέριόν πως φερόμενον, ἀποστάζει τοῦ αἵματος εἰς τὸν ὀφθαλμὸν, καὶ ὁ σταλαγμὸς παγεὶς, ὢ τοῦ θαύματος, φῶς γίνεται ταύτῃ, καὶ ὑγιῆ τὸν ὀφθαλμὸν ἀποδίδωσιν. ὕστερον δὲ καὶ ὁ Ἅγιος ξίφει τὴν κεφαλὴν ἀποτέμνεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰακώβου, Ἐπισκόπου Μυγδονίας, ἑνὸς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ Ἁγίων Πατέρων τῶν ἐν Νικαίᾳ.

Οὗτος ὁ Ἅγιος Πατὴρ ἡμῶν Ἰάκωβος, γέγονεν Ἐπίσκοπος Ἀντιοχείας τῆς Μυγδονίας, τῆς καὶ Νησίβης λεγομένης. δι' ἄκραν δὲ ἀρετὴν, μέγας θαυματουργὸς χρηματίσας, νεκροὺς τῇ τοῦ Χριστοῦ δυνάμει ἐξανέστησε. καὶ πολλοὺς ἐξ εἰδωλομανίας εἰς θεογνωσίαν ἐπέστρεψε, καὶ πολλοὺς δι' ἀνθρώπινον φόβον τὸν Χριστὸν ἀρνουμένους, παλινδρομῆσαι πρὸς αὐτὸν παρεσκεύασε. καὶ βίβλον πάνυ ὠφέλιμον συνετάξατο. ἐξεκομίζει δέ τινα τῶν τῆς βίβλου ταύτης Θεοδώρητος, ὁ τῆς Κύρου Ἐπίσκοπος, ἐν τῇ φιλοθέῳ αὐτοῦ ἱστορίᾳ. οὗτος, πλείστους πειρασμοὺς ὑποστὰς ὑπὸ τῶν εἰδωλολατρῶν Βασιλέων, καὶ μὴ ἐνδοὺς, διήρκεσε μέχρι τοῦ μεγάλου Βασιλέως Κωνσταντίνου. καὶ ἐν τῇ πρώτῃ Συνόδῳ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ Ἁγίων Πατέρων εἷς ἦν, καὶ τὰ ἐκεῖσε εὐσεβῶς κηρυχθέντα ἐπισφραγίσας μετὰ τῶν σὺν αὐτῷ καὶ βεβαιώσας, εἰσῆλθεν ἐν Κωνσταντινουπόλει, πρὸς τὸν μέγαν Μητροφάνην. καὶ τούτῳ συγκοιμωνήσας, καὶ κοιμηθέντα κηδεύσας αὐτὸν, ὑπέστρεψεν εἰς τὸν ἑαυτοῦ θρόνον. καὶ μικρὸν ἐπιβιοὺς, καὶ σημείοις διαλάμψας, ἀνεπαύσατο ἐν Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Διήγησις Θεοδωρήτου Ἐπισκόπου, περὶ βίου καὶ ἀθλήσεως Ὁμολογητοῦ τινὸς Ἀνωνύμου.

Ἐν ταῖς ἡμέραις τοῦ ἀποστάτου Ἰουλιανοῦ, Νέος τις Ἱερέως Υἱὸς, ἐν δυσσεβείᾳ τραφεὶς, εἰς τὸν τῶν εὐσεβῶν μετέστη χορὸν τρόπῳ τοιῷδε. Γυνή τις ἐπίσημος ἐν εὐλαβείᾳ, καὶ τοῦ τῆς διακονίας ἠξιωμένη χαρίσματος, συνήθης ἦν τῇ τούτου Μητρί. αὕτη τοῦτον μετὰ τῆς Μητρὸς ἀφικνούμενον ἔτι μειράκιον ἠσπάζετό τε, καὶ ἠρέθιζε πρὸς εὐσέβειαν. τῆς οὖν Μητρὸς τελευτησάσης, ἀφικνεῖτο πρὸς αὐτὴν ὁ νέος, καὶ τῆς συνήθους διδασκαλίας ἀπέλαβε. παγιωθεὶς οὖν ἤδη ταῖς διδασκαλίαις τῆς Θεοφιλοῦς γυναικὸς, ἐπυνθάνετο, πῶς ἂν δυνηθῶ, τὴν τοῦ πατρὸς δεισιδαιμονίαν φυγεῖν, καὶ τῆς παρὰ σοῦ κηρυττομένης ἀληθείας μεταχεῖν; ἡ δὲ, χρή σε τὸν πατέρα φυγεῖν ὦ τέκνον φησὶ, καὶ προτιμήσασθαι τὸν σαυτοῦ τε κἀκείνου Δημιουργὸν, καὶ πόλιν ἑτέραν καταλαβεῖν, ἐν ᾗ δυνατὸν διαδρᾶναι τοῦ δυσσεβοῦς Βασιλέως τὰς χεῖρας. ἐπηγγείλατο δὲ καὶ δι' ἑαυτῆς προβῆναι τὴν περὶ τούτου πρόνοιαν. καὶ ὁ παῖς ὡς ἤκουσε, φησὶ, καὶ τὴν ἐμαυτοῦ παραδώσω ψυχήν. ὀλίγων δὲ ἡμερῶν διελθουσῶν, Ἰουλιανὸς μὲν εἰς τὴν Δάφνην Δημοθοινίας ἐπιτελῶν ἀφῆλθε. συναφῆλθε δὲ ὁ τοῦ Παιδὸς Πατὴρ Ἱερεὺς ὤν. καὶ γὰρ συνέπεσθαι εἰωθὼς ἦν τῷ Βασιλεῖ. τῷ δὲ Πατρὶ συνῆν καὶ οὗτος, καὶ ὁ τούτου ἀδελφός. Νεωκόροι γὰρ ἦσαν, καὶ τὰ βασιλικὰ ἐδέσματα περιῤῥαντίζοντες. τῇ οὖν πρώτῃ ἡμέρᾳ παραστὰς ὁ Παῖς τῇ τοῦ Βασιλέως στιβάδι, καὶ τὰ ὄψα κατὰ τὸ ἔθος διαρράνας, καὶ τοῦ μύσους ἐμπλήσας, δρόμῳ χρησάμενος, τὴν Ἀντιόχειαν Πόλιν κατέ-

τέ-

Digitized by Google

τέλαβε, καὶ πρὸς τὴν θαυμασίαν ἐκείνην γυναῖκα ἀφικόμενος, ἐγὼ μὲν ἦλθον, ἔφη, μὴ ψευσάμενος τὴν ὑπόσχεσιν. σὺ δὲ σωτηρίας ἑκατέρας ἐπιμελήθητι, καὶ τὴν ἐπαγγελίαν ἐκπλήρωσον. καὶ παραυτίκα ἀναστᾶσα, πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον Μελέτιον τὸν Παῖδα ἀνήγαγεν. ὁ δὲ, τέως αὐτὸν ἄνω διάγειν, ἐν τῷ καταγωγίῳ προσέταξεν. ὁ δὲ Πατὴρ τὸν Παῖδα ἐπιζητῶν, τήν τε δάφνην περιῄει, καὶ εἰς τὴν πόλιν ἀφικόμενος, τὰς ἀγυιάς τε καὶ τοὺς στενωποὺς πάντοθεν περιάγων τὸν ὀφθαλμὸν, τοῦτον ἀνιχνεύσασθαι. ὡς οὖν παρεγένετο ἔνθα τὸ καταγώγιον εἶχεν ὁ θεῖος Μελέτιος, ἀναβλέψας εἶδεν ἐκεῖνον, ἄνωθεν προσκύπτοντα, καὶ δραμὼν εἵλκυσέ τε καὶ κατήγαγε. καὶ εἰς τὴν οἰκίαν ἀπαγαγὼν, πρῶτον μὲν μάστιξιν αὐτὸν καταξάνας, καὶ ὀβελίσκους πυρακτώσας, ταῖς χερσὶ καὶ τοῖς ποσὶ, καὶ τοῖς νώτοις ἐπέθηκεν, ἔπειτα καθείρξας ἐν τῷ θαλάμῳ, καὶ κλεῖθρα ἔξωθεν περιθεὶς, ἀνῆλθεν εἰς τὴν δάφνην. ταῦτα ἐγὼ τοῦ ἀνδρὸς πρεσβυτέρου ἤδη γεγονότος ἀκήκοα διηγουμένου. προστίθει δὲ καὶ ταῦτα. ὡς εὐθὺς γενόμενος καὶ θείας χάριτος ἐμπλησθεὶς, συνέτριψε μὲν πάντα τὰ τοῦ πατρὸς εἴδωλα, ἐκωμῴδει δὲ αὐτοῦ τὴν ἀσθένειαν. ὕστερον δὲ εἰς νοῦν λαβὼν ὅπερ ἔδρασε, τῆς τοῦ πατρὸς παρουσίας φειδοῖ, τὸν Δεσπότην ἱκέτευεν ἐπινεῦσαι, καὶ συντρίψαι τὰ κλεῖθρα, καὶ τὰς θύρας ἀναπετάσαι. σοῦ γὰρ Κύριε ἕνεκα ταῦτα πέπονθα, καὶ δέδρακα ἔλεγε. ταῦτά μου ἔφη λέγοντος, ἐξέπεσον μὲν τὰ κλεῖθρα. αἱ θύραι δὲ ἠνεῴχθησαν. ἐγὼ δὲ πάλιν εὐθὺς πρὸς τὴν γυναῖκα ἔδραμον. ἡ δὲ, σχῆμα γυναικὸς περιθεῖσά μοι. καὶ σὺν αὐτῇ γε εἰς τὴν καμάραν καθίσασα, τῷ θείῳ με πάλιν Μελετίῳ προσήγαγεν. ὁ δὲ, τῷ τῶν Ἱεροσολύμων παρέδωκε Πατριάρχῃ. Κύριλλος δὲ τηνικαῦτα ἦν. καὶ οὕτω νυκτὸς εἰς τὴν Παλαιστίνην ὡρμήσαμεν. μετὰ δὲ τὴν τοῦ Ἰουλιανοῦ τελευτὴν, καὶ τὸν πατέρα οὗτος εἰς εὐσέβειαν ὡδήγησε. καὶ τοῦτο γὰρ ἡμᾶς μετὰ τῶν ἄλλων ἐδίδαξεν. ὡς Πρεσβύτης γενόμενος, καὶ τὰ στίγματα ἐν τῷ σώματι περιφέρων, καὶ τὴν εὐσέβειαν ὁδηγήσας, μετῆλθε καὶ αὐτὸς πρὸς τὰς αἰωνίους μονάς.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

ᾨδὴ ζ΄. Σὲ νοητὴν Θεοτόκε.

Υπομονῇ, πειρασμῶν ἐῤῥύσθητε, ἐχθροῦ πειράζοντος ὑμᾶς, ἑπόμενοι θείαις λόγου ζωῆς, ἔνδοξοι Ἀπόστολοι· ὅλον κατεπαύσατε, φλογμὸν τῆς πλάνης κραυγάζοντες. ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Περιφανῶς, ἄριστα βεβούλευσαι, καὶ τελεώτατα τοὺς σοὺς, Ἀριστόβουλε φοιτητὰς, μάκαρ ἐξεπαίδευσας, ὡς τὴν ἐνυπόστατον, σοφίαν ἔχων σε παιδεύουσαν, τὸν αἰνετὸν καταγγέλλων, Θεὸν καὶ ὑπερένδοξον.

Ἡ τῶν πιστῶν, ἱερὰ ὁμήγυρις, ἱερωτάταις συμφωνίαις, μακαρίζει σε Ἀπελλῆ. τέλος γὰρ μακάριον, ἔσχες πολιτείαν τε, ἀγγελικὴν μέλπων πάντοτε. ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Θεοτοκίον.

Ῥῦσαι ἡμᾶς, πειρασμῶν καὶ θλίψεων, καὶ συμφορῶν παντοδαπῶν, Βαρβάρων ἐπιδρομῆς, Δέσποινα Πανύμνητε, ὅπως σε δοξάζωμεν, καὶ τὸν ἐκ σοῦ τεχθέντα Θεόνυμφε, τὸν αἰνετὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ἄλλος. Ἀβραμιαῖοι ποτέ.

Καταπατῶν ἀνδρικῶς, σὺν τῷ πυρὶ τὴν πλάνην, τῷ σταυρωθέντι ὁ ἀοίδιμος, ἐβόα Ἐπίμαχος. ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Οὐ κατεπλάγη φλογὸς, οὔτε θηρῶν ἀγρίων, οὔτε βασάνων τὴν ἐπίθεσιν, κράζων Ἐπίμαχος, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Υπομονῆς πειρασμῶν, θεοῖς ἀψύχοις σέβας, ὁ Μάρτυς ὅλως οὐκ ἀπένειμεν, ἀλλὰ πίστει ἐκραύγαζεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ. Θτ.

Ἐν τῇ ἀφλέκτῳ βάτῳ, καὶ δροσοβόλῳ καμίνῳ, σὺ προεγράφης Μητροπάρθε-



Digitized by Google

με, ἀφράστως κυήσασα, σεσαρκωμένον Θεὸν Ἁγνὴ εὐλογημένη.

Ὠδὴ η΄. Ἐν καμίνῳ Παῖδες.

Ἐν τῷ Κόσμῳ ὥσπερ ἀστραπαὶ, ἐφάνητε Θεόπται, φλογίζοντες τὴν πλάνην, τοὺς δὲ μέλποντας Υἱοὺς, ἡμέρας δεικνύοντες. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τῷ νοητῷ ἅλατι τῶν σῶν, Ἀμπλία διδαγμάτων, τῆς πλάνης τὴν σηπεδόνα, ἐκκαθάρας, διὸ, τιμῶντές σε ψάλλομεν. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Συμμελῳδεῖτω Στάχυς ὁ κλεινὸς, Ἀμπλίας Ἀπελλῆς τε, καὶ Νάρκισσος Οὐρβανός τε, καὶ ὁ πάνσοφος βοῶν, πιστῶς Ἀριστόβουλος. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Σὲ καὶ τεῖχος καὶ καταφυγὴν, καὶ κλίμακα πρὸς ὕψος, μετάγουσαν τὸ ἀνθρώπινον, παναμώμητε Ἁγνὴ, εἰδότες κραυγάζομεν. εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε.

Ἄλλος. Τὸν ἐν τῷ Σταυρῷ σαρκί.

Πάθος τὸ σεπτὸν ἐξεικονίζων, ἐν τοῖς σοῖς μέλεσι σοφὲ, ὑπέφερες ἀνδρείως, πεῖραν πολλῶν βασάνων, Χριστὸν τὸν Θεὸν ἡμῶν ἀνακηρύττων.

Ἐστάζουσιν οἱ σοὶ ἱδρῶτες Μάρτυς, θεοσεβείας γλυκασμὸν, ἐξαίροντα πικρίαν, πλάνης ἀθεότητος. διὸ, Ἐπίμαχε δοξάζεις, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἐνχαιρες ποιναῖς προσομιλῶν, παντοδαπαῖς πανάνδρως, Ἐπίμαχε παμμάκαρ. κράζων ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐφώσον με Ἁγνὴ ἡ τὸν Σωτῆρα, ἀποκυήσασα Χριστὸν, ἡμῖν ὁμοιωθέντα. ὅπως ἐν αἰνέσει σε ἀεὶ, μακαρίζωμεν εὐλογημένη.

Ὁ Εἱρμός.

„ Τὸν ἐν τῷ Σταυρῷ σαρκὶ προσηλω„ θέντα, καὶ ὑποδείξαντα ἡμῖν, ὅ„ πλον σωτηρίας, Παῖδες ὑπερυψοῦτε, „ Χριστὸν τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τύπον τῆς Ἁγνῆς.

Τὰ τὰ τῆς γῆς πληρώματα, πεπληρωμένα, πλάνης τῆς πολεμήτορος, καὶ μεμεσωμένα, σκοτασμοῦ ἀθεότητος, τῷ φωτὶ καταυγάσαις τῆς γνώσεως, τὰς σὰς σωτηριώδεις, αὐγὰς Οἰκτίρμων τούτοις ἔπεμψας.

Ὤφθης φερωνύμως ἔνδοξε, σωτηριώδης στάχυς, σῖτον τοῖς χρήζουσι, φέρων στηριγμὸν, θεογνωσίαν παρέχοντα, καὶ λιμοῦ νοητοῦ ἐξαιρούμενον, τοὺς πίστει σε καὶ πόθῳ, Ἱεροκήρυξ μακαρίζοντας.

Στόμα τοῦ Θεοῦ γενόμενος, τὰς τῶν ῥητόρων γλώσσας, ἀλάλους ἔδειξας. καὶ ἐκ φάρυγγος τοῦ δυσμενοῦς Ἀριστόβουλε, ἀνιμήσω ψυχὰς καὶ προσήγαγες, Κυρίῳ σεσωσμένας, διὰ τελείας ἐπιγνώσεως.

Ἤδη Οὐρανοὺς γηθόμενοι, θεοειδεῖς οἰκοῦντες, Θεοῦ Ἀπόστολοι, τοὺς ἐπὶ τῆς γῆς εἰλικρινῶς ὑμᾶς σέβοντας, καὶ γνησίως ὑμᾶς μακαρίζοντας, μετόχους αἰωνίους, καταξιώσατε λαμπρότητος.

Θεοτοκίον.

Φέρεις τὸν τὰ πάντα φέροντα, καὶ γαλουχεῖς, τὸν πᾶσι τροφὴν παρέχοντα. μέγα καὶ φρικτὸν, τὸ ὑπὲρ νοῦν σου Μυστήριον, κιβωτὲ τοῦ σεπτοῦ ἁγιάσματος, Παρθένε Θεοτόκε. ὅθεν πιστῶς σε μακαρίζομεν.

Ἄλλος. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ἰσχύϊ ῥωννύμενος Χριστοῦ, Ἐπίμαχε, Ἀθλοφόρε ἐταπείνωσας, κράτος ἀνίσχυρον δαιμόνων. καὶ νίκης τὸ λαμπρὸν ἦρας τρόπαιον, χοροῖς τῶν Ἀθλητῶν στεφανούμενος. ὅθεν σε πίστει μακαρίζομεν.

Ὤφθη μὲν ὡς κρήνη ἀληθῶς, Ἐπίμαχε, ἡ σὴ θήκη ἀναβλύζουσα, χάριν θαυμάτων παραδόξων. τὸ νέφος τῶν παθῶν ἐκδιώκουσα, τῶν πίστει προσερχομένων σοι πάντοτε, Μάρτυς θεόφρον ἀξιάγαστε.

Συ-

Digitized by Google

Εὐωέτριψας πάσας τοῦ ἐχθροῦ, παμμάκαρ, με, τὰς παγίδας καὶ ἠφάνισας, τούτου τὸ ὄνομα μετ᾽ ἤχου. Χριστὸν ὁμολογήσας ἐνώπιον, Τυράννων, καὶ Βασιλέων Ἐπίμαχε. ὅθεν σε πάντες μακαρίζομεν.

Ἡλίου, λαμπρότερον ἡμῖν ἐξέλαμψε, σοῦ ἡ μνήμη Πανάοίδιμε, πάντων φωτίζουσα καρδίας, ἐν ταύτῃ τῶν πιστῶν εὐφημούντων σε, παμμάκαρ Ἀθλοφόρε Ἐπίμαχε. ὅθεν σε πάντες μακαρίζομεν.

Θεοτοκίον.

Φωτὸς οἰκητήριον Ἁγνὴ γεγένησαι. διὰ τοῦτο ἱκετεύω σε, φώτισον δέομαι τὰς κόρας, τῆς τεταπεινωμένης καρδίας μου, παθῶν ταῖς χαλεπαῖς ἀμαυρότησιν, ὅπως ἐν πίστει μακαρίζω σε.

Ὁ Εἱρμός.

„Εὕα μὲν τῷ τῆς παρακοῆς νοσήματι, τὴν κατάραν εἰσῳκίσατο. σὺ „δὲ Παρθένε Θεοτόκε, τῷ τῆς κυοφορίας βλαστήματι, τῷ Κόσμῳ τὴν εὐ„λογίαν ἐξήνθησας. ὅθεν σε πάντες με„γαλύνομεν.

Ἐξαποστειλάριον.

Πρὸς, Γυναῖκες ἀκουτίσθητε.

Ἐστάχυς Ἀμπλίας Νάρκισσος, καὶ Ἀπελλῆς ὁ ἔνδοξος, καὶ Ἀριστόβουλος Θεῖος, καὶ Οὐρβανὸς οἱ φωστῆρες, νῦν παρ᾽ ἡμῶν καταξίως, φαιδρῶς εὐφημείσθωσαν, ὡς τοῦ Χριστοῦ Ἀπόστολοι, ὑπὲρ ἡμῶν πρεσβεύοντες, τῶν πόθῳ ἐπιτελούντων, τὴν ἱερὰν αὐτῶν μνήμην.

Θεοτοκίον. Ὅμοιον.

Ἐπίβλεψον Πανύμνητε, εἰς τὴν κληρονομίαν σου. καὶ τῇ ἀμάχῳ σου ταύτην, σωτήρησον δυναστείᾳ. τῆς Βασιλείας τὰ σκῆπτρα, ἴθυνον καὶ κραταίωσον. τὰ ἔθνη καταπράϋνον. καὶ ἔκχεον τὴν εἰρήνην, ἐπὶ τὰ πέρατα Κόσμου.

Εἰς τὸν π. π. τῆς Ὀκτωήχου.

Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος. Ζήτει εἰς Ἀποστόλους.

Ἀπὸ δὲ ταύτης τῆς ἡμέρας, ἀρχόμεθα ἀναγινώσκειν τοὺς πέντε Λόγους τοῦ Χρυσοστόμου, τοὺς εἰς τὸν Πλούσιον, καὶ εἰς τὸν Λάζαρον.

ΤΕΛΟΣ.

Digitized by Google

Digitized by Google

Digitized by Google

COLUMBIA UNIVERSITY LIBRARIES
0036746401

935.4
Or89
10

MAY 18 1936

Digitized by Google